


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΠΕΡΙΕΧΟΜΕΝΑ

1 Δογματική θεολογία τῆς Ὀρθοδόξου Ἐκκλησίας
Ἀθῆναι 1858

2 Ἐπιστολαὶ περὶ τῶν ἱερῶν ἀκολουθιῶν τῆς Ὀρθοδόξου Ἐκκλησίας
Ἀθῆναι 1864

3. Παράρτημα τῶν περὶ ἱερῶν ἀκολουθιῶν ἐπιστολῶν
Ἀθῆναι 1857

4. Ἑρμηνεία τοῦ συμβόλου τῆς πίστεως
Ἀθῆναι 1859

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΔΟΓΜΑΤΙΚΗ
ΘΕΟΛΟΓΙΑ
ΤΗΣ
ΟΡΘΟΔΟΞΟΥ ΚΑΘΟΛΙΚΗΣ ΚΑΙ ΑΝΑΤΟΛΙΚΗΣ
ΕΚΚΛΗΣΙΑΣ.

ΠΡΟΤΑΣΣΟΜΕΝΗΣ ΕΙΣΑΓΩΓΗΣ ΕΙΣ ΤΗΝ ΣΕΙΡΑΝ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ.

ΣΥΝΤΕΘΕΙΣΑ

ΥΠΟ ΤΟΥ

ΠΡΥΤΑΝΕΩΣ ΤΗΣ ΕΝ ΚΙΕΒΩ ΕΚΚΛΗΣ. ΑΚΑΔΗΜΙΑΣ,

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΑΝΤΩΝΙΟΥ,

ΔΙΔΑΚΤΩΡΟΣ ΤΗΣ ΘΕΟΛΟΓΙΑΣ.

Διορθωθεῖσα δὲ καὶ τὸ ἕκτον ἐκδοθεῖσα τῷ 1856.

ΕΝ ΚΙΕΒΩ

Ἐξελληνισθεῖσα δὲ ἐκ τοῦ Ῥωσσικοῦ ὑπὸ

ΘΕΟΔΩΡΟΥ ΒΑΛΛΙΑΝΟΥ.

Συνταγματάρχου τῶν Γενικῶν ἐπιτελῶν τοῦ Στρατοῦ τῆς Ἑλλάδος.


ΕΝ ΑΘΗΝΑΙΣ,

ΤΥΠΟΙΣ Χ. ΝΙΚΟΛΑΪΔΟΥ ΦΙΛΑΔΕΛΦΕΩΣ.

(Παρὰ τῇ Πύλῃ τῆς Ἀγορᾶς, ἀριθ. 420.)

1858.

Πᾶν ἀντίτυπον, μὴ φέρον τὴν κάτωθι ὑπογραφὴν, θεωρεῖται ὡς κλοπιμαῖον.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 1591
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

Ἐπίστευσα διὸ ἐλάλησα ψαλμ. 115, 1.

1971

Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ κοινωνία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως Αὐτοῦ (Ἐφ. Γ', 8. 9. 12). Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν Πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοὶ δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παῤῥησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ Εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς δεῖ με λαλῆσαι (Ἐφ. ς', 18. 19. 20). Κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ Οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει Αὐτοῦ· πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως Αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς

κληρονομίας Αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως Αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος Αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ. Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης Αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος Αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν· ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος, καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ. Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, Αὐτῷ ἡ δόξα ἐν τῇ Ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν. (Ἐφ. Α′, 17—20. Γ′. 14—21,)

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Καὶ πέραν τοῦ τάφου, φίλε ἀναγνῶστα, διατελεῖ οἰκοδομῶν ἐν τῇ πίστει τὴν φίλην αὐτῷ Πατρίδα ὁ ἀοίδιμος συνταγματάρχης Θεόδωρος Βαλλιάνος, μεθερμηνεύσας ἐκ τοῦ Ῥωσσικοῦ καὶ τὸ παρὸν πόνημα (1) ἔργον περικλεοῦς Θεολόγου τῆς Ῥωσσίας, ᾧ περ ὡς διδακτικῷ χρῶνται ἐν ἁπάσαις ταῖς Ἐκκλησιαστικαῖς Σχολαῖς τῆς Ῥωσσίας τῇ ἐγκρίσει τῆς ἁγιωτάτης Συνόδου, καὶ ὅπερ ἔκτον ἤδη ἐξεδόθη.

Ἀλλ' ὁ μὲν ἀοίδιμος μεταφραστὴς ἀπεδήμησεν αἴφνης εἰς Κύριον μὴ φθάσας πέρας ἐπιθεῖναι τῷ ἔργῳ· καιρὸς γὰρ ἦν αὐτῷ, καί περ ἀώρως, ἀπαλλαγῆναι τῶν δεινῶν τοῦ Κόσμου τούτου· ἡρπάγη ἵνα μὴ ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ. Ἡ δὲ φιλόστοργος σύζυγος, πληροῦσα τὴν θερμὴν ἐπιθυμίαν τοῦ ἀνδρὸς, ἀνέθετο τὴν ἀποπεράτωσιν τοῦ ἔργου εἰδήμονι τῆς Ῥωσσικῆς Γλώσσης, ἅμα δὲ καὶ Θεολόγῳ, καὶ οὕτω καὶ πάλιν ὁ πάλαι ποτὲ ἀγωνισάμενος ἐν τοῖς προμάχοις τῆς Πατρίδος, ὁ καὶ τὸν ἔσχατον ὀβολὸν

---

(1) Μεθηρμήνευσεν ὁ ἀοίδιμος κατὰ μὲν τὸ 1851 ἔτος, Ἱστορίαν τῆς Ῥωσσικῆς ἐκκλησίας. Ἐπιστολὰς περὶ τῶν ἱερῶν ἀκολουθιῶν. Κατὰ δὲ τὸ 1853, Διάλογον περὶ ὀρθοδοξίας τῆς Ἀνατολικῆς Καθολικῆς Ἐκκλησίας. Λόγον πρὸς τὸν Ῥωμαϊκὸν Κατολικισμόν. Κατὰ δὲ τὸ 1854 Ἀλήθειαν τῆς Οἰκουμενικῆς Ἐκκλησίας, καὶ Παράρτημα καὶ ἄλλα.

τῷ βωμῷ αὐτῆς προσενεγκὼν, ὁ δι' ὅλου τοῦ βίου τὴν πρὸς τὴν πατρίδα ἀγάπην ἀκραιφνῆ καὶ ἐνεργὸν διασώσας, καὶ πάλιν καὶ ἐκ τοῦ τάφου οὐκ ἐπελάθετο τῆς πατρίδος, παρεχόμενος τοῖς εὐσεβέσι τέκνοις αὐτῆς κανόνα ἀσφαλῆ τῆς πίστεως, κεκυρωμένον ὑπὸ ὁμοδόξου Ἐκκλησίας, εὐσύνοπτον, ζωηρὸν, ἐν γλώσσῃ Ἐκκλησιαστικῇ· γένοιτο δὲ, ὅπως χαρῇ ἡ ψυχὴ τοῦ ἀοιδίμου Φιλοπάτριδος, προσενεγκόντος τοῦ ἔργου καρποὺς ὡραίους καὶ γενναίους.

ΕΙΣΑΓΩΓΗ

ΕΙΣ ΤΗΝ ΣΕΙΡΑΝ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ.

τῶν ἐν τῇ εἰσαγωγῇ εἰς τὴν Σειρὰν τῶν Θεολογικῶν Ἐπιστημῶν.

---

§ *1. Τὸ περιεχόμενον. § 2. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὴν σημασίαν καὶ τὴν χρῆσιν τῆς λέξεως § 3. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸ θέμα αὐτῆς. § 4. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸν τρόπον τῆς ἐπιγνώσεως. § 5. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸν τρόπον καὶ τὴν ἔκτασιν τῆς ἐκθέσεως. § 6. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὰς ἀρχὰς ἢ τὰς πηγὰς αὐτῆς. § 7. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸν σκοπόν. § 8. Ὁ ὁρισμὸς τῆς Θεολογίας, ὡς ἐπιστήμης. § 9. Ἀρχαὶ τῆς Θεολογίας. § 10. Πρώτη ἀρχὴ αἱ πηγαί. § 11. Ἡ ἁγία Γραφή. § 12. Μέρη τῆς ἁγίας Γραφῆς. § 13. Ἡ χρῆσις τῆς ἁγίας Γραφῆς. § 14. Ἡ Ἱερὰ παράδοσις. § 15. Ἡ χρῆσις τῆς Ἱερᾶς παραδόσεως. § 16. Ἡ χειραγωγικὴ ἀρχὴ τῆς Θεολογίας. 17 Ὁ λόγος ἐν τῇ ἐπιστήμῃ τῆς χριστιανικῆς Θεολογίας. 18. Ἡ ἀξία τῆς Θεολογίας, ὡς ἐπιστήμης. § 19. Ἡ ἀξία τῆς Θεολογίας ἐξεταζομένης αὐτῆς καθ' ἑαυτήν. § 20. Ἡ ἀξία τῆς Θεολογίας συγκρινομένης προς ἄλλας ἐπιστήμας. § 21. Τὸ σύνολον τῆς Θεολογίας. §. 22. Αἱ προπαρασκευαστικαὶ ἐπιστῆμαι. § 23. Αἱ συστατικαὶ ἐπιστῆμαι. § 24. Αἱ προσηρμοσμέναι ἐπιστῆμαι. § 25. Ἡ μέθοδος τῆς Θεολογίας καὶ τὰ εἴδη αὐτῆς. § 26. Ἡ μέθοδος τῆς ἐκθέσεως. § 27. Διδακτικὴ μέθοδος. § 28. Αἱ ἐλλείψεις, ἃς ὀφείλει τις φεύγειν κατὰ τὴν τῆς Θεολογίας διδασκαλίαν. § 29. Ἡ μέθοδος τῆς ἐκμαθήσεως τῆς Θεολογίας. § 30. Μαθητικοὶ κανόνες. § 31. Κανόνες πρακτικοί.*



ΕΙΣΑΓΩΓΗ

ΕΙΣ ΤΗΝ ΣΕΙΡΑΝ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ.

---

§ 1. *Τὸ περιεχόμενον.*

Εἰσερχόμενοι εἰς τὴν σειρὰν τῶν Θεολογικῶν Ἐπιστημῶν ἀναγκαῖον, ὅπως πρῶτον ἐκθέσωμεν προκαταρκτικάς τινας ἰδέας, καὶ δὴ α) τί ἐστὶ Θεολογία. β) ὁποῖαι αἱ ἀρχαὶ αὐτῆς. γ) ὁποία ἡ ἀξία αὐτῆς· δ) ὁποῖα τὰ συστατικὰ αὐτῆς μέρη καὶ τέλος ε) ὁποία ἡ μέθοδος τῆς ἐκθέσεως καὶ τῆς μελέτης αὐτῆς.

1) Ἡ περὶ Θεολογίας ἔννοια.

§ 2. *Ἡ περὶ Θεολογίας ἔννοια κατά τε τὴν σημασίαν καὶ τὴν χρῆσιν τῆς λέξεως.*

Ἡ Θεολογία, κατὰ μὲν τὴν κατὰ γράμμα σημασίαν αὐτῆς, ἐστὶν ὁ περὶ Θεοῦ λόγος, κατὰ δὲ τὴν χρῆσιν εἶχε κατὰ διαφόρους χρόνους, καὶ διάφορον σημασίαν. Οἱ Ἅγιοι Πατέρες τῆς Ἐκκλησίας ἀπεδίδων τὸ ὄνομα τοῦτο, (πρῶτος δὲ πάντων Διονύσιος ὁ Ἀρεοπαγίτης) τῇ Ἱερᾷ Γραφῇ, διότι αὕτη ἐστὶν ὁ περὶ Θεοῦ λόγος (1). Εἶτα διὰ τοῦ ὀνόματος τῆς *Θεολογίας*

---

(1) Διονύσ. Ἀρεοπαγ. Ὀνρ. Ἱεραρχ. Κεφ. 4.

ἤρξαντο ὀνομάζοντες, πλὴν τῆς Ἁγίας Γραφῆς, πᾶσαν τὴν περὶ τῶν χριστιανικῶν ἀληθειῶν διδασκαλίαν. Ἐν τῇ σημασίᾳ δὲ ταύτῃ ἐγίνετο χρῆσις τοῦ ὀνόματος τούτου, ὁτὲ μὲν πλατυτέρα, ὡς ἐν τῇ ἐφαρμογῇ αὐτῆς εἰς τὴν περὶ Θεοῦ διδασκαλίαν καὶ τὴν καθόλου Θεοσέβειαν, ὅτε δὲ στενωτέρα, ἤτοι ἐν τῇ ἐφαρμογῇ μόνον εἰς τὴν περὶ τῆς Ὑπεραγίας Τριάδος διδασκαλίαν (1), δι' ἣν ἔννοιαν ὁ Ἅγιος Γρηγόριος ὁ Ναζιανζηνὸς ἐπωνομάσθη Θεολόγος, ὁτὲ δὲ καὶ ἔτι στενωτέρα, ὡς τοῦτο ἐν τῇ ἐφαρμογῇ εἰς τὴν διδασκαλίαν ἰδίως περὶ τοῦ δευτέρου προσώπου τῆς Ὑπεραγίας Τριάδος, ἤτοι περὶ τοῦ Θεοῦ Λόγου, δι' ἣν ἔννοιαν, κατὰ τὴν μαρτυρίαν τοῦ Ἁγίου Χρυσοστόμου, ἐπωνομάσθη Θεολόγος ὁ ἅγιος Ἰωάννης ὁ Εὐαγγελιστής (2). Ἢ καὶ ἔτι μᾶλλον στενωτέρα, ὡς ἐν τῇ ἐφαρμογῇ εἰς τὴν περὶ ἐνσαρκώσεως τοῦ Θεοῦ Λόγου ὑπὸ τοῦ ἁγίου Ἀθανασίου Ἀλεξανδρείας. Τέλος, ἐν τῷ ΙΒ΄ αἰῶνι, διὰ τοῦ ὀνόματος τῆς *Θεολογίας* ἤρξαντο ἐννοοῦντες ὁριστικώτερον ἐν ταῖς σχολαῖς τὴν συστηματικὴν τε καὶ διδακτικὴν ἔκθεσιν πασῶν τῶν περὶ Θεοῦ καὶ Θεοσεβείας χριστιανικῶν ἀληθειῶν (3)

§ 3. *Ἡ περὶ Θεολογίας ἔννοια, κατὰ τὸ θέμα αὐτῆς.*

Ἐκ τῶν εἰρημένων φαίνεται, ὅτι ἔκ τε τῆς σημασίας τῆς λέξεως καὶ τῆς χρήσεως αὐτῆς τὸ οὐσιῶδες τῆς Θεολογίας ἐστὶν ὁ *Θεός*. Ἀλλὰ πῶς ὁ Θεὸς ἐστὶ μέλημα σπουδῆς καὶ ἐπιστήμης; Πρὸς τοῦτο ἀναγκαῖον, ὅπως ὑπάρχῃ μεταξὺ Θεοῦ καὶ ἀνθρώπου ἀμοιβαία τις σχέσις, καθ' ἣν, ὁ μὲν Θεὸς φανεροῖ τῷ ἀνθρώπῳ τὰς ἰδιότητας καὶ τὰς ἐνεργείας αὐτοῦ καὶ ἀποκαλύπτει τὸ θέλημα αὐτοῦ, ὁ δὲ ἄνθρωπος ἔχει τὴν

---

(1) Ἀθαν: Ἐπιστ· π Σεραπ, καὶ λόγ; Β΄: κατὰ Ἀρ·

(2) Γρηγ: Νύσ: κατὰ Εὐνομ· Λόγ· 4. Χρυσοστ: Τόμ: Ζ΄· λόγ. 86·

(3) Πρῶτος ὁ μεταχειρισθεὶς ἐν τῇ σημασίᾳ ταύτῃ τὸ ὄνομα τῆς Θεολογίας ἐστὶν ὁ σχολαστικὸς Θεολόγος Πέτρος ὁ Ἀβελάρδος,

δύναμιν τοῦ ἀντιλαμβάνεσθαι τῆς ὑποκαλύψεως ταύτης τοῦ Θεοῦ καὶ κανονίζειν τὸν βίον κατὰ τὸ θέλημα Αὐτοῦ. Καὶ τῷ ὄντι ὑπάρχει τοιαύτη τις σχέσις τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. Τοῦτο μαρτυροῦσιν ἀναμφιβόλως, πρῶτον πᾶς ὁ ὑγιᾶ νοῦν ἔχων, ὅς ὁμολογῶν τὸν Θεὸν Ποιητὴν πάντων τῶν ὄντων οὐδαμῶς δύνατὰι ἀρνεῖσθαι, ὅτι Αὐτὸς ἐστιν ἅμα καὶ ὑπέρτατος Κύριος τοῦ παντὸς, οὐδὲ μὴ ὁμολογεῖν τὴν ἐξάρτησιν πάντων τῶν κτισμάτων, ἄρα καὶ τοῦ ἀνθρώπου, ἀπὸ τῆς δημιουργικῆς καὶ προνοητικῆς *Αὐτοῦ* δυνάμεως. Δεύτερον πᾶς εὐσυνείδητος· διότι οὗτος ἔχων πάντοτε ἐν ἑαυτῷ ζωηρὰν τὴν συνείδησιν τῆς ἐξαρτήσεως ταύτης, τηρεῖ αὐτὴν ἀνεξάλειπτον, καί τοι πνιγομένην ἐνίοτε. Τρίτον δὲ καὶ σαφέστερον, ἡ πρὸς ταῦτα πάγκοινος ὁμοφωνία πάντων τῶν λαῶν, οἵπερ ἀείποτε καὶ ἐν πᾶσι τοῖς βαθμοῖς τῆς ἀναπτύξεως αὐτῶν ἀπεδείκνυον καὶ ἀποδεικνύουσι, κατὰ τὸ μᾶλλον καὶ ἧττον, καθαράντε καὶ ζωηρὰν τὴν συνείδησιν τῆς ἑαυτῶν ἐξαρτήσεως ἀπό τινος ὑπερτάτου ὄντος, ἤτοι τοῦ Θεοῦ. Ἡ τοιαύτη οὖν ὁμοιβαία τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου σχέσις, ἤτοι ἡ τῷ ἀνθρώπῳ ἀποκάλυψις παρὰ τοῦ Θεοῦ τῶν ἰδίων ἰδιοτήτων καὶ ἐνεργειῶν καὶ τοῦ θελήματος, καὶ ἡ ὑπὸ τοῦ ἀνθρώπου ἀποδοχὴ τῆς ἀποκαλύψεως ταύτης καὶ τῆς μετ' αὐτοῦ συναφείας διάτε τῆς ἐπιγνώσεως καὶ τῆς *λατρείας τοῦ Θεοῦ*, ὀνομάζεται θρησκεία, ἥτις καὶ ἐστὶ τὸ θέμα τῆς ἐπιστήμης τῆς Θεολογίας.

§ 4. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸν τρόπον τῆς Ἐπιγνώσεως.

Ἡ βάσις τοῦ συνδέσμου τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου, ἤτοι τῆς θρησκείας, ἐτέθη ἐν τῷ βάθει τῆς ἀνθρωπίνης οὐσίας ὑπ' αὐτοῦ τοῦ Θεοῦ κατ' αὐτὴν τὴν πλάσιν τοῦ ἀνθρώπου, δηλ. ἐν τῇ εἰκόνι τοῦ Θεοῦ, ἣν ὁ Θεὸς ἔδωκε τῷ ἀνθρώπῳ, κοι-

νωνήσας αὐτῷ διὰ ταύτης τὴν πρώτην περὶ ἑαυτοῦ ἀποκάλυψιν, ἤτοι ἐν τῇ συνειδήσει τοῦ ἀνθρώπου, δι' ἧς οὗτος δέχεται τὴν ὑπὸ τοῦ Θεοῦ δωρηθεῖσαν ἀποκάλυψιν. Ὅ,τι δὲ ἐπὶ τῇ βάσει τῶν λειψάνων τῆς ἀρχετύπου ταύτης ἀποκαλύψεως περὶ θρησκείας, ἤτοι θεογνωσίας καὶ θεοσεβείας, δι' ἰδίων τοῦ ἀνθρωπίνου νοὸς δυνάμεων κατορθοῦται, καλεῖται *θρησκεία ἢ θεογνωσία φυσικὴ*, καὶ ἀποτελεῖ τὸ θέμα τῆς φιλοσοφικῆς Θεολογίας. Ἀλλ' ἐπειδὴ ἀπὸ τῆς πτώσεως τοῦ ἀνθρώπου διὰ τὴν διαφθορὰν τῆς ἀνθρωπίνης φύσεως ἡ πρωτόγοτος αὕτη ἀποκάλυψις τοῦ Θεοῦ ἐπεσκοτίσθη ἐν τῷ πνεύματι τοῦ ἀνθρώπου, διὰ τοῦτο ἡ θρησκεία, ἡ ἐπὶ τοιαύτης βάσεως θεμελιουμένη, καθίσταται ἀνεπαρκής. Καὶ καθ' ἃ ἐκ πείρας γιγνώσκομεν ἦσαν καὶ ὑπάρχουσι καὶ διάφοροι θρησκεῖαι, ἄρα καὶ ψευδεῖς. Ἐπειδὴ δὲ ἀληθὴς θρησκεία ἐστὶ βεβαίως μία καὶ μόνη, ὁ Θεὸς οὐκ ἀφῆκε τὸν ἄνθρωπον χειραγωγεῖσθαι ἐν τῷ ἔργῳ τῆς θρησκείας ὑπὸ μόνου τοῦ νοὸς καὶ τῆς πρωτογόνου ἀποκαλύψεως, ἀλλ' ἔδωκεν αὐτῷ ἑτέραν, καθαρωτάτην ἀποκάλυψιν, δι' ἧς ἐκοινώνησε τὴν μόνην ἀληθῆ καὶ τελειοτάτην θρησκείαν. Αὕτη δ' ἐστὶν ἡ χριστιανικὴ θρησκεία. Καὶ ἡ θρησκεία αὕτη ἡ καλουμένη, πρὸς διάκρισιν ἀπὸ τῆς φυσικῆς, *ἀποκεκαλυμμένη*, ἀποτελεῖ ἰδίως τὸ θέμα τῆς Θεολογίας, ἥπερ καλεῖται διὰ τοῦτο *ἐπιστήμη τῆς χριστιανικῆς* θρησκείας.

§ 5. *Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸν τρόπον καὶ τὴν ἔκτασιν τῆς ἐκθέσεως.*

Ἡ θεία ἀποκάλυψις, δι' ἧς ἐκοινωνήθη τοῖς ἀνθρώποις ἡ χριστιανικὴ θρησκεία, ἐδόθη τῷ ἀνθρωπίνῳ γένει κατὰ τὰς ἀνάγκας αὐτοῦ, καὶ δὴ οὐχὶ διὰ μιᾶς, ἀλλὰ βαθμηδόν, καὶ ἐν διαστήματι αἰώνων πολλῶν. Ἤρξατο δὲ διδομένη ἅμα τῇ πτώσει τοῦ πρώτου ἀνθρώπου, μετὰ ταῦτα δὲ μετεδίδοτο πρῶτον διὰ

τῆς ἀπὸ στόματος παραδόσεως, μετὰ ταῦτα δὲ συμπεριελήφθη ἐν τῇ Γραφῇ διὰ τῶν προφητῶν, καὶ τέλος συνεπληρώθη ὑπ' αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ παρεδόθη τοῖς Ἀποστόλοις, οἵτινες ἐκήρυξαν αὐτὴν παντὶ τῷ ἀνθρωπίνῳ γένει. Διὰ τοῦτο ἡ Χριστιανικὴ θρησκεία διεκοινώθη οὐχὶ ἐν εἴδει κανονικοῦ συστήματος, ἀλλ' ἱστορικῶς καὶ βαθμηδόν, καθὼς ἀπήτει ἑκάστοτε ἡ κατάστασις τοῦ ἀνθρωπίνου γένους, καὶ αἱ ἰδιαίτεραι περιστάσεις τῶν προσώπων, οἷς αὕτη ἐκοινωνεῖτο, καὶ τῶν χρόνων καθ' οὓς ἐκοινωνεῖτο. Ἡ δὲ Θεολογία, ἡ ἑρμηνεύουσα τὴν χριστιανικὴν θρησκείαν, πρὸς ἐπιτυχεστέραν ἐκμάθησιν αὐτῆς συνάπτει καὶ παρατίθησι τὰς ἀληθείας αὐτῆς ἐν ἑνὶ ὅλῳ καὶ κανονικῷ συστήματι ἐπιστήμης. Ἀλλ' ἡ συστηματικὴ ἔκθεσις τῆς χριστιανικῆς θρησκείας διαφέρει πολλάκις καὶ κατὰ τὴν ἔκτασιν αὐτῆς. Ἔστι δὲ, ἡ κεφαλαιώδης καὶ σύντομος, περιλαμβάνουσα τὰ κεφαλαιώδη μόνον τῆς θρησκείας τὰ ἱκανὰ πρὸς προκαταρτικὴν παίδευσιν, καὶ ἀποτελοῦντα τὸ *γάλα*, οὕτως εἰπεῖν, τῶν νηπίων τοῦ χριστιανισμοῦ (1 Κορ: 3, 1. 2 Πετρ: 2, 2), ἡ λεπτομερὴς πλήρης καὶ ἐντελὴς, περιέχουσα τὴν θρησκείαν ἐκ πάντων τῶν ἐφικτῶν μερῶν αὐτῆς, καὶ καθισταμένη τοιουτοτρόπως τροφὴ στερεὰ τῶν ἠὐξημένων ἐν τῇ ἐπιγνώσει τοῦ χριστιανισμοῦ καὶ τῶν ἐπὶ τὴν *τελειότητα φερομένων* (Ἑβρ. 5, 12-14. 6, 1). Οὕτω δὲ κατὰ μὲν τὸ πρῶτον εἶδος, ἡ χριστιανικὴ θρησκεία ἐστὶ θέμα τῆς *Κατηχήσεως*· κατὰ δὲ τὸ δεύτερον τῆς Θεολογίας ἰδίως, δι' ὃ αὕτη *συστηματικὴ* καθίσταται καὶ πληρεστάτη καὶ θεμελιώδης ἔκθεσις τῆς *χριστιανικῆς θρησκείας*.

§ 6. Ἡ *περὶ Θεολογίας ἔννοια, κατὰ τὰς ἀρχὰς ἢ τὰς πηγὰς αὐτῆς.*

Ἡ ὑπὸ Θεοῦ ἀποκαλυφθεῖσα θρησκεία, ἥτις ἐν μὲν τῇ Πα-

λαιᾷ Διαθήκῃ ἐκηρύχθη ὑπὸ τῶν προφητῶν, ἐν δὲ τῇ Καινῇ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων Αὐτοῦ, παρεδόθη τοῖς ἐπερχομένοις αἰῶσι κατὰ δύω τρόπους· εἴτε διὰ τῶν γραφῶν, εἴτε *ἀπὸ στόματος*, ὡς ἀποδεικνύει τοῦτο ὁ Ἀπόστολος Παῦλος, λέγων· « *στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν* » (Θεσσαλ. 2, 15). Παραλαβοῦσα δ' αὐτὴν ἡ Οἰκουμενικὴ Ἐκκλησία, καὶ ὁρίσασα καὶ ἑρμηνεύσασα, τηρεῖ αὐτὴν ἀδιαλείπτως ὅλως πλήρη καὶ καθαράν· διὸ καὶ ὁ Ἀπόστολος καλεῖ αὐτὴν *στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας* (1. Τιμ. 3, 15). Καὶ οὕτως ἡ Θεολογία, ἑρμηνεύουσα τὴν χριστιανικὴν θρησκείαν συστηματικῶς, ἔχει καθῆκον ἱερὸν τὸ ὠφελεῖσθαι δεόντως ἐκ τῶν ἑτοίμων τούτων πηγῶν, τουτέστιν ἐκ τῶν Ἱερῶν Γραφῶν καὶ τῆς Ἱερᾶς Παραδόσεως, ὡς καὶ ἐκ τῆς ἑτοίμου χειραγωγίας ἐν τῇ χρήσει αὐτῶν, ἤτοι τῆς μαρτυρίας τῆς Οἰκουμενικῆς Ἐκκλησίας. Τοῦτο δὲ ἐστὶν ὁ κύριος καὶ οὐσιώδης χαρακτὴρ τῆς ἀληθοῦς Θεολογίας καὶ καλεῖται *Ὀρθοδοξία*. Ἡ δὲ ἐπιστήμη, ἡ ἐπισφραγιζομένη διὰ τοῦ χαρακτῆρος τούτου, ἀποκαλεῖται *Θεολογία Ὀρθόδοξος*. Διὰ τοῦτο ἡ Θεολογία διακρίνεται προσέτι καὶ διὰ τῶν ἑξῆς. Ὅτι *αὕτη ἐστὶ συστηματικὴ ἔκθεσις τῶν ἀληθειῶν τῆς Χριστιανικῆς Θρησκείας κατὰ τὸ πνεῦμα τῆς Ὀρθοδοξίας, τουτέστι στηριζομένη ἐπὶ τῆς Ἁγίας Γραφῆς καὶ τῆς Ἁγίας Παραδόσεως κατὰ τὴν διδασκαλίαν τῆς Οἰκουμενικῆς Ἐκκλησίας.*

§ 7. Ἡ περὶ Θεολογίας ἔννοια κατὰ τὸν σκοπόν.

Σκοπὸς τῆς τῷ γένει τῶν ἀνθρώπων δοθείσης θείας ἀποκαλύψεως, δι' ἧς ἐκοινωνήθη αὐτοῖς ἡ ἁγιωτάτη Χριστιανικὴ θρησκεία, ἐστὶν, ὅπως *διδάξῃ τὸν ἄνθρωπον τὸ γινώσκειν τὸν μόνον ἀληθινὸν Θεὸν* καὶ τὸ ἅγιον Αὐτοῦ θέλημα, ἵνα διὰ

τούτου ἀπολαύσῃ ζωὴν *αἰώνιον* (Ἰωάν. 17, 3), *ἢ σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ*, (2 Τιμ. 3, 15). Διὸ σκοπὸς τῆς Θεολογίας οὐδεὶς ἕτερος ἐστὶν, ἢ ἡ ἀσφαλὴς ἐπίτευξις τοῦ ποθουμένου. Ἡμεῖς καταγγέλλομεν, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, *νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ* (Κολοσ. 1, 28). Ἐπειδὴ δὲ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ὑπάρχουσι, κατὰ τὴν Θεοσύστατον τάξιν, καί τινες ὀφείλοντες οὐ μόνον γινώσκειν τὴν ἁγιωτάτην θρησκείαν τοῦ Χριστοῦ, ἀλλὰ καὶ ἄλλους διδάσκειν αὐτὴν, καὶ οὐ μόνον οἰκοδομεῖν τὴν ἰδίαν σωτηρίαν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων· καὶ ἐπειδὴ ὑπάρχουσιν ἅμα, πλὴν τῆς μιᾶς ἀληθινῆς Χριστιανικῆς θρησκείας, καὶ ἄλλαι ψευδεῖς, καὶ αὐτὴ δὲ ἡ Χριστιανικὴ θρησκεία ὁμολογεῖται ὑπό τινων Χριστιανικῶν κοινωνιῶν οὐκ ὀρθῶς, διὰ ταῦτα ἡ Θεολογία περιλαμβάνει πλὴν τοῦ κοινοῦ σκοποῦ, καὶ τὸν ἰδιαίτερον τοῦ μορφῶσαι τοὺς ἀνθρώπους κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, *δυνατοὺς καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν* (Τιτ. 1, 9). Τουτέστι θέλει, τοὺς ἄνω εἰρημένους, ἱκανοὺς περὶ τὸ διδάσκειν καὶ ἄλλους τὴν ἀληθινὴν περὶ τῆς Χριστιανικῆς θρησκείας ἐπίγνωσιν, δυνατοὺς περὶ τὸ συζητεῖν μετὰ τῶν ἀπιστούντων καὶ τῶν μὴ ὀρθοπιστούντων, καὶ ἱκανοὺς ἐν γένει εἰς τὸ μεταχειρίζεσθαι τὴν Χριστιανικὴν θρησκείαν, οὐχὶ πρὸς ἰδίαν σωτηρίαν μόνον, ἀλλὰ καὶ πρὸς τὴν τῶν ἄλλων.

§ 8. *Ὁρισμὸς τῆς Θεολογίας ὡς Ἐπιστήμης*

Ἐκ πάντων τῶν προειρημένων ἀπορρέει ὁ ἐξῆς πληρέστατος ὁρισμὸς τῆς Θεολογίας. *Ἡ Ὀρθόδοξος Θεολογία ἐστὶν ἐπιστήμη ἐξηγοῦσα συστηματικῶς, κατά τε τὴν Ἁγίαν*

Γραφὴν καὶ τὰς Ἁγίας Παραδόσεις, καὶ κατὰ τὴν Οἰκουμενικὴν Ἐκκλησίαν, τὰς ἀληθείας τῆς Χριστιανικῆς Θρησκείας, πρὸς πλήρη καὶ θεμελιώδη ἐπίγνωσιν καὶ ἐπιτυχῆ χρῆσιν αὐτῆς πρὸς σωτηρίαν ἰδίαν τε καὶ τῶν ἄλλων.

2) Ὁρισμὸς τῶν ἀρχῶν τῆς Θεολογίας.

§ 9. *Ἀρχαὶ τῆς Θεολογίας.*

Ἐπειδὴ ὁ χαρακτὴρ τῆς Ὀρθοδόξου Θεολογίας ἐστὶ τὸ θεμελιοῦσθαι αὐτὴν ἐπὶ ἀρχῶν ἀληθῶν, διὸ ἀναγκαῖον ὅπως ὁρισθῶσι σαφέστερον αἱ ἀρχαὶ αὐτῆς. Ὅθεν ἐν τῇ Θεολογίᾳ διακρίνομεν α) τὴν ἀρχὴν τῶν πηγῶν καὶ β) τὴν χειραγωγικήν.

§ 10. Πρώτη *Ἀρχὴ αἱ Πηγαί.*

Ἡ πηγὴ τῆς Θεολογίας, ὅθεν λαμβάνει αὕτη τὰς ἀληθείας, καὶ ἀρύεται τὰς ἀποδείξεις αὐτῆς, ἐστὶν ἡ Θεία ἀποκάλυψις. Ἐπειδὴ δὲ ἡ Θεία ἀποκάλυψις ἐκοινωνήθη διὰ δύο τρόπων, ἤτοι διὰ τῆς Γραφῆς, καὶ τῆς Παραδόσεως, ὡσαύτως καὶ ἡ Θεολογία ἐρανίζεται τὰς ἀληθείας αὐτῆς, καὶ ἀντλεῖ τὰς μαρτυρίας, ἔκτε τῆς Ἁγίας Γραφῆς, καὶ τῆς Ἱερᾶς Παραδόσεως.

§. 11. *Ἡ Ἁγία Γραφή.*

Ἁγία γραφὴ λέγονται αἱ βίβλοι τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, αἱ γραφεῖσαι κατ' ἔμπνευσιν τοῦ Ἁγίου Πνεύματος, διὸ ἐπονομάζονται καὶ Θεόπνευστοι. Διότι πᾶν ὅ,τι οἱ ἅγιοι

συγγραφεῖς ἔγραψαν, ἐγράφη ὑπὸ τὴν ἄμεσον ἐπίπνοιαν καὶ ὁδηγίαν τοῦ Ἁγίου Πνεύματος, οὐ μόνον προφυλαττομένων ὑπ' αὐτοῦ ἀπὸ τῆς πλάνης, ἀλλὰ καὶ *θετικῶς λαμβανόντων τάς τε ἰδέας καὶ τοὺς λόγους*, ἄνευ ὅμως παραβιάσεως τῶν φυσικῶν αὐτῶν πλεονεκτημάτων· καταφαίνεται δὲ τοῦτο ἐκ τῶν ἑξῆς· καὶ πρῶτον ἐξ αὐτοῦ τοῦ περιεχομένου τῆς Γραφῆς. Διότι ἐν αὐτῇ εὑρίσκονται πολλὰ, ὑπερβαίνοντα τὸν νοῦν τοῦ κοινοῦ ἀνθρώπου, οἷα τὰ βαθύτατα μυστήρια τῆς Ὑπεραγίας Τριάδος, τῆς ἀπολυτρώσεως, τῆς ἐνσαρκώσεως, καὶ αἱ προφητεῖαι. Δεύτερον ἐκ τῆς καταστάσεως καὶ τοῦ χαρακτῆρος τῶν συγγραφέων· διότι οὗτοι ἠσθάνοντο καθαρῶς, καὶ ὡμολόγουν ἐν ἑαυτοῖς τὴν ἄμεσον ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, καὶ ἐπεμαρτύρησαν ταύτην ἐνώπιον τῶν ἄλλων διὰ πολυαρίθμων θαυμάτων (Δευτερ. 18, 18. Ἱερεμ. 1, 6. 7. Ἐξόδ. 17, 14. ψαλμ. 44, 2). Τρίτον ἐκ τῶν λόγων τοῦ Ἀποστόλου Παύλου, ἐν τῇ Β'. ἐπιστολῇ πρὸς Τιμόθεον (3, 16), ἔνθα ἀποκαλεῖ τὴν Παλαιὰν Διαθήκην ῥητῶς *θεόπνευστον*· καὶ ὁ Ἀπόστολος Πέτρος λέγει, ὅτι οὐ *θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι* (2 Πέτρ. 1, 21). Περὶ δὲ τῆς Καινῆς Διαθήκης, ὁ Ἀπόστολος Παῦλος λέγει ὡσαύτως, ὅτι οἱ Ἀπόστολοι *νοῦν Χριστοῦ ἔχουσιν* (1 Κορ. 2, 16), καὶ ὅτι, ἐν τῷ ἔργῳ τῆς διακονίας τῆς καινῆς διαθήκης, οὗτοι καὶ λογίσασθαι οὐδὲν δύνανται ἀφ' ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης αὐτῶν ἐκ Θεοῦ ἐστιν (2 Κορ. 3, 5. 6). Τέταρτον ἐκ τούτου, ὅτι αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐπηγγείλατο καταπέμψαι τοῖς ἀποστόλοις, καὶ ὄντως κατέπεμψε τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα διδάξῃ αὐτοὺς πάντα, καὶ ὑπομνήσῃ αὐτοῖς πάντα καὶ ἀναγγείλῃ τὰ μέλλοντα (Ἰωάνν. 14, 26. 16, 13). Ἐπηγγείλατο δ' ὡσαύτως δοῦναι αὐτοῖς *στόμα καὶ σοφίαν* (Λουκ. 21, 15), ἅπερ ὄντα αὐτοῖς ἀναπόφευκτα πάντοτε, πολὺ μᾶλλον ἀναγκαῖα ἦσαν, ὅτε οὗτοι ἐξέθεντο ἐν ταῖς γραφαῖς τὴν δι-

δασκαλίαν τοῦ Ἰησοῦ Χριστοῦ, ἵνα πάσαις ταῖς ἐπερχομέναις γενεαῖς λυσιτελὴς γένηται. Πέμπτον ἐκ τῆς ἐκτάκτου ἐνεργείας τοῦ θείου λόγου ἐπὶ τῆς καρδίας τῶν ἀνθρώπων, καὶ τῶν εὐεργετικῶν ἀποτελεσμάτων, ἅτινα ἐπήγαγε καὶ ἐπάγει ἡ πεποίθησις περὶ τῶν ἀληθειῶν, τῶν δι' Αὐτοῦ κοινωνουμένων· ταῦτα δὲ οὐ μόνον ἑνὶ ἀνθρώπῳ, δεχομένῳ αὐτὰς μετὰ πίστεως, ἀλλὰ καὶ λαοῖς, καὶ παντὶ τῷ γένει τῶν ἀνθρώπων. Διότι οὐδεὶς ἀμφιβάλλει, ὅτι αἱ ἐν τῇ Ἁγίᾳ Γραφῇ κηρυχθεῖσαι ἀλήθειαι ὑπὲρ πάσας ἄλλας προσήνεγκον τῷ ἀνθρώπῳ τὸ ἀληθινὸν ἀγαθόν.

§ 12. *Τὰ μέρη τῆς ἁγίας Γραφῆς.*

Ἡ ἁγία Γραφὴ σύγκειται ἐκ τῶν ἑξῆς βιβλίων· α) Ἐκ τῶν *βιβλίων τῆς Παλαιᾶς* καὶ τῶν *βιβλίων τῆς Καινῆς Διαθήκης*. Τούτων δὲ, τὰ μὲν ἐγράφησαν ὑπὸ τῶν Θεοπνεύστων ἀνδρῶν πρὸ Χριστοῦ γεννήσεως, τὰ δὲ συνετάχθησαν μετὰ τὴν Χριστοῦ γέννησιν. β) Ἐκ *βίβλων κανονικῶν καὶ μὴ κανονικῶν*. Κανονικὰ δὲ βιβλία εἰσὶν, ὅσα ἡ Ἐκκλησία παρέλαβεν ὡς ἀναντιῤῥήτως θεόπνευστα, καὶ διὰ τοῦτο ὡς γνησίαν πηγὴν τῆς Χριστιανικῆς διδασκαλίας καὶ κανόνα τῆς πίστεως, καὶ τοῦ πρακτικοῦ βίου τῶν χριστιανῶν. Ὁ δὲ κανὼν, ὅστις ὡρίσθη διά τε τοῦ 85 ἀποστολικοῦ κανόνος, καὶ τῶν κανόνων τῶν Συνόδων Λαοδικείας καὶ Καρθαγένης, καὶ τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἀλεξανδρείας (1), σύγκειται ἐκ τῶν ἑξῆς βίβλων. Πρῶτον ἐκ τῶν τῆς *Παλαιᾶς Διαθήκης*, ἤτοι τῶν πέντε βίβλων τοῦ Μωϋσέως, τοῦ Ἰησοῦ τοῦ Ναυῆ, τῶν Κριτῶν, τῆς Ῥοὺθ, τῶν τεσσάρων Βατιλειῶν, τῶν δύο Παραλειπομένων, τοῦ ἑνὸς Ἔσδρα, τοῦ Νεεμία, τῆς Ἐσθὴρ, τοῦ Ἰὼβ, τῶν ψαλμῶν, τῶν Παροιμιῶν τοῦ Σολομῶντος, τοῦ Ἐκκλησια-

(1) Λαοδ. Συν, 60. Καρθ. Β. Ἀθαν. 13. 30.

στοῦ, τοῦ Ἄσματος τῶν Ἀσμάτων, τῶν τεσσάρων μεγάλων Προφητῶν Ἡσαΐου, Ἱερεμίου (μετὰ τῶν θρήνων αὐτοῦ καὶ τῆς βίβλου τοῦ Βαρούχ) Ἰεζεκιὴλ καὶ Δανιὴλ, καὶ τῶν δώδεκα μικρῶν προφητῶν. Δεύτερον ἐκ τῶν τῆς *Καινῆς Διαθήκης*. ἤτοι τῶν τεσσάρων Εὐαγγελίων, τῶν πράξεων τῶν Ἀποστόλων, τῶν ἑπτὰ οἰκουμενικῶν Ἐπιστολῶν, τῶν δεκατεσσάρων Ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου, καὶ τῆς ἀποκαλύψεως Ἰωάννου τοῦ Θεολόγου. Μὴ κανονικὰ δὲ βιβλία εἰσὶ τὰ ἐν τῷ Ἱερῷ *Κώδηκι τῆς Βίβλου* εὑρισκόμενα μὲν, καὶ εὔχρηστα ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ μὴ ἰσοτιμούμενα τοῖς κανονικοῖς καὶ θεοπνεύστοις. Ἤτοι ἡ βίβλος τοῦ Τωβίτ, τῆς Ἰουδεὶθ, τῆς Σοφίας Σολομῶντος, τῆς Σοφίας Ἰησοῦ Υἱοῦ Σιρὰχ, τὸ δεύτερον καὶ τρίτον βιβλίον τοῦ Ἔσδρα τὰ τρία βιβλία τῶν Μακκαβαίων, καί τινα χωρία εὑρισκόμενα ἐν ταῖς κανονικαῖς βίβλοις (1)

§ 13. *Ἡ χρῆσις τῆς Ἁγίας Γραφῆς.*

Ἡ Ἱερὰ Γραφὴ ἡ ἐκ τῶν εἰρημένων βιβλίων συγκειμένη ἐστὶ πηγὴ τῆς Θεολογίας.

α) Διὰ τῶν κανονικῶν βίβλων τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, αἵπερ συγκροτοῦσιν ὅλον τι, καὶ ἀναπληροῦσι καὶ ἐξηγοῦσιν ἀλλήλας, καὶ ἐπὶ τούτων στηρίζεται ἡ σωτήριος γνῶσις τῆς τοῦ Χριστοῦ θρησκείας, διὸ καὶ ὁ Ἀπόστολος Παῦλος λέγει. *Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ* (Ἐφεσ. 2, 20).

β) Πρὸς τούτοις ὠφέλιμός ἐστὶ τῷ Θεολόγῳ καὶ ἡ χρῆσις

---

(1) Τοῖς μὴ κανονικοῖς βιβλίοις μὴ συγχέωμεν τὰ καλούμενα ἀπόκρυφα, ἅπερ οὐδὲν ἕτερον εἰσὶν ἢ βίβλοι ὑποβολεμαῖοι, γεγραμμέναι ὡς ἐπὶ τὸ πλεῖστον ὑπὸ αἱρετικῶν, πρὸς ἀνατροπὴν τῆς ἀληθείας, ὡς π. χ. τὰ ὑποβολιμαῖα εὐαγγέλια περὶ τῆς νηπιότητος τοῦ Ἰησοῦ Χριστοῦ, ἡ Βίβλος τοῦ Νικοδήμου κτλ. ὧν ἡ χρῆσις ἀπαγορεύεται ὑπὸ τῆς Ἐκκλησίας.

τῶν λοιπῶν (τῶν εὑρισκομένων ἐν τῷ Ἱερῷ Κώδηκι) τῶν μὴ κανονικῶν βιβλων Διότι καὶ ταύτας παρέλαβεν ἡ Ἐκκλησία, ὡς περιεχούσας ἀληθῆ καὶ ἀλάνθαστον διδασκαλίαν.

Ἐξ ἀμφοτέρων δὲ τῶν πηγῶν τούτων ἡ Θεολογία ἀρύεται ταῦτα. α) Ἀληθείας κατὰ γράμμα περιεχομένας καὶ ἐκφρασθείσας, ὡς π. χ. τὸ δόγμα περὶ τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ, τὸ κατὰ γράμμα περιεχόμενον ἐν τοῖς λόγοις τοῦ Ἀποστόλου. *Μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκὶ* (1 Τιμ. 3, 16)· οὕτω καὶ πολλὰ ἄλλα.

β) Ἀληθείας, εἰ καὶ κατὰ γράμμα μὴ ἐκφρασθείσας, ἀλλ' ἐξαγομένας ἐκ πολλῶν χωρίων δι' ὀρθοῦ συλλογισμοῦ (κατὰ διάνοιαν)· οὕτω π. χ. λέγεται ἐν τῇ Ἱερᾷ Γραφῇ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ὁτέ μὲν ὡς περὶ ἁπλοῦ ἀνθρώπου, ὁτέ δὲ ὡς περὶ Θεοῦ· ἐντεῦθεν δὲ ἀρυόμεθα τὸ δόγμα περὶ τῆς ἑνότητος τοῦ προσώπου καὶ τῶν δύο φύσεων ἐν Χριστῷ Ἰησοῦ.

§ 14. *Ἡ Ἱερὰ Παράδοσις.*

Εἰ καὶ ἐν τῇ Ἱερᾷ Γραφῇ περιελήφθησαν πᾶσαι αἱ θεμελιώδεις ἀλήθειαι, αἱ ἀναπόφευκτοι πρὸς σωτηρίαν· ὅμως ἀλήθειαί τινες, συντελοῦσαι εἰς τὴν πίστιν καὶ τὸν Χριστιανικὸν βίον, οὐ περιέχονται ἐν αὐτῇ σαφῶς π. χ. ἡ περὶ τῶν ὁρατῶν σημείων καὶ τοῦ τελετουργικοῦ τῶν μυστηρίων, περὶ τοῦ σημείου τοῦ σταυροῦ κτλ. Πρὸς δὲ τούτοις, εἰ καὶ ἡ Ἱερὰ Γραφὴ ἁπάσῃ τῇ Ἐκκλησίᾳ ἐντελῶς σαφὴς, ἀλλ' οὐ πᾶσιν ἀνθρώποις καὶ ἑκάστῳ τῶν μελῶν τῆς ἐκκλησίας ἐπίσης καθαρὰ καὶ εὐκατάληπτος, ὡς τοῦτο μαρτυρεῖ ὁ Ἀπόστολος Πέτρος περὶ τῶν ἐπιστολῶν τοῦ Ἁγίου Ἀποστόλου Παύλου· (2 Πετρ. 3, 16), καὶ ἐπιβεβαιοῖ ἡ πεῖρα. Διὰ τοῦτο καὶ οὐ πάντες ἱκανοί, οὐδὲ ἔχουσι τὸ δικαίωμα τοῦ ἑρμηνεύειν αὐτήν· διότι ἄλλως εἰσχωρεῖ αὐθαιρεσία καὶ καταβιβάζεται τὸ ἀξίωμα τῆς ἀληθείας, φθορᾷ καὶ ἀλλοιώσει παραδιδομένης.

Διὸ καὶ ἡ Ὀρθόδοξος Ἐκκλησία, πλὴν τῆς Ἱερᾶς Γραφῆς, παραδέχεται ἔτι τὴν Παραδόσιν, ὡς δευτέραν πηγὴν, ἐν ᾗ ὡσαύτως περιέχεται ἡ θεία Ἀποκάλυψις. Ὑπὸ τὸ ὄνομα δὲ τῆς Ἱερᾶς Παραδόσεως νοοῦνται *δογματικαὶ, τελετουργικαὶ καὶ ἱστορικαὶ ἀλήθειαι*, αἱ μὴ περιεχόμεναι κατὰ γράμμα ἐν τῇ Ἱερᾷ Γραφῇ, ἀλλ' ἐντελῶς σύμφωνοι αὐτῇ, καὶ παραληφθεῖσαι ἀπὸ στόματος ὡς θεῖαι ἢ ἀμέσως παρ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, ὅτε οὗτος μετὰ τὴν ἀνάστασιν, ἐμφανιζόμενος δι' ἡμερῶν τεσσαράκοντα, ἔλεγε τοῖς μαθηταῖς αὐτοῦ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ (Πραξ. 1,3), ἢ ἐμμέσως παρὰ τῶν Ἀποστόλων διὰ τῶν διαδόχων αὐτῶν, καὶ διατηρηθεῖσαι ἐν τῇ Οἰκουμενικῇ Ἐκκλησίᾳ ἀδιαλείπτως ἀπ' αὐτῶν τῶν πρώτων χρόνων. Ἡ δὲ πραγματικὴ ὕπαρξις ἐν τῇ Ἐκκλησίᾳ καὶ τὸ μέγα κῦρος τῶν τοιούτων ἀποστολικῶν παραδόσεων καταφαίνονται,

ἀ) Ἐκ τῆς Ἁγίας Γραφῆς. Ὁ Ἀπόστολος Παῦλος λέγει τοῖς πρεσβυτέροις τῶν Ἐφεσίων, ὅτι *ἀνήγγειλεν αὐτοῖς πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ* (Πραξ. 20, 27), ἀλλ' οὐδαμοῦ λέγει, ὅτι ἔγραψεν· διὸ καὶ γράφει πρὸς τοὺς Θεσσαλονικεῖς, ἵνα οὗτοι ἀναμιμνήσκωνται καὶ τηρῶσιν, οὐ μόνον πᾶν ὅ,τι ἔγραφεν αὐτοῖς, ἀλλὰ καὶ ὅ,τι ἔλεγε· *στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν* (2 Θεσσ. 2, 15), καὶ παραγγέλλει αὐτοῖς ἐν *ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβε παρ' ἡμῶν* (αὐτόθι 3, 6). Τιμοθέῳ δὲ ὡσαύτως παραινεῖ. Ὦ Τιμόθεε, *τὴν παραταθήκην φύλαξον* (1 Τιμ. 6, 20), καὶ τοὺς Κορινθίους ἐπαινεῖ. *Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε* (1 Κορ. 11, 2.) Τοῦτο δὲ ἀφορῶσι καὶ τὰ χωρία. (Ἰωάν. 20, 30. 31. 21, 25. 2 Τιμ. 1, 13. 2, 2. 2 Ἰωαν. 12. 3 Ἰωαν. 13).

β) Ἐκ τῶν ἀρχαιοτάτων παραδειγμάτων τῆς Ἐκκλησίας τῆς τε παλαιᾶς καὶ τῆς καινῆς διαθήκης. Διότι ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως ἡ ἀληθὴς πίστις καὶ εὐσέβεια ἐτηροῦντο ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἄνευ γραφῆς διὰ μόνης τῆς ἀπὸ στόματος παραδόσεως. Ὡσαύτως δὲ καὶ ἐν τῇ τῆς καινῆς διαθήκης Ἐκκλησίᾳ τὸ Εὐαγγέλιον κατὰ πρῶτον ἐκηρύττετο ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων ἀπὸ στόματος καὶ ἐτηρεῖτο καὶ διεδίδοτο κατὰ παράδοσιν· αἱ δὲ γραφαὶ τῶν Ἁγίων Ἀποστόλων, ἐμφανισθεῖσαι ἤδη μετὰ ταῦτα, ἦσαν μόνον σύντομα ὑπομνήματα τῆς λεπτομεροῦς ἀπὸ στόματος διδασκαλίας (2 Ἰωάν. 12 3 Ἰωάν. 13. 14). Διὰ τοῦτο καὶ ὅτε ἐπερατώθη ὁ κανὼν τῶν τῆς καινῆς διαθήκης βίβλων (ὅστις ἐν τούτοις καὶ αὐτὸς κυροῦται διὰ τῆς παραδόσεως), αἱ ἀποστολικαὶ παραδόσεις ἦσαν ἐν γενικῇ χρήσει παρὰ τοῖς ἁγίοις πατράσι τῆς Ἐκκλησίας καὶ ἐθεωροῦντο ἐπίσης ἀναγκαῖαι, ὡς καὶ ἡ Γραφή. Οὕτως ἐπὶ τῶν Οἰκουμενικῶν Συνόδων οἱ πατέρες κατεπάλαιον τοὺς αἱρετικοὺς οὐ μόνον διὰ τῆς Γραφῆς, δι' ἧς ἠμύνοντο καὶ οἱ αἱρετικοί, ἀλλ' ἰδίως διὰ τῶν παραδόσεων τῶν πατέρων. Οἱ Ἅγιοι πατέρες τῆς Ζ'. Οἰκουμενικῆς Συνόδου εἶπον. «Φυλάττομεν ἀκαινοτομήτους πάσας τὰς ἐκκλησιαστικὰς ἐγγράφους ἢ ἀγράφους τεθεπισμένας ἡμῖν παραδόσεις.» Καὶ τὴν τῆς παραδόσεως χρῆσιν ὠνόμασαν *Βασιλικὴν ὁδόν*.

γ) Ἐκ τῶν μαρτυριῶν τῶν πατέρων τῆς Ἐκκλησίας. Ὁ Ἅγιος Εἰρηναῖος λέγει· καὶ οὕτω τὴν παράδοσιν τῶν Ἀποστόλων τὴν γνωστὴν ἅπαντι τῷ κόσμῳ δύναται ἰδεῖν ἐν ἑκάστῃ Ἐκκλησίᾳ πᾶς ὁ θέλων ἰδεῖν τὴν ἀλήθειαν» (1) ὁ Ἅγιος Βασίλειος λέγει· «Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς

(1) Εἰρ. κατὰ Αἱρ. 3, 3.

τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστικῷ παρεδεξάμεθα, ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. » Παρακατιὼν δὲ δεικνύει τὸ ἀναπόφευκτον τῶν παραδόσεων. « Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς οὐ μεγάλην ἔχοντα τὴν δύναμιν, παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον· μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιΐστῶντες τὸ κήρυγμα ». Μετὰ τοῦτο δεικνύει τινὰ παραδείγματα ἐκ τῶν μάλιστα ἀναγκαίων παραδόσεων περὶ τοῦ σταυροῦ, περὶ τῆς κατ' ἀνατολὰς προσευχῆς, περὶ τοῦ τρόπου τῆς τελέσεως τοῦ μυστηρίου τῆς Μεταλήψεως, περὶ ἁγιασμοῦ τοῦ ὕδατος καὶ τοῦ μύρου τῶν πρὸς τὸ μυστήριον τοῦ βαπτίσματος καὶ τοῦ χρίσματος, περὶ τῆς τριττῆς καταδύσεως. Τέλος δεικνύει καὶ τὴν αἰτίαν, δι' ἣν οὐ τὰ πάντα ἐγράφησαν κατ' ἀρχάς. « Οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι· οὐ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις» (1). Ὁ Ἅγιος Χρυσόστομος λέγει. « Ἐντεῦθεν δῆλον, ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτα ἐστὶν ἀξιόπιστα· Ὥστε καὶ τὴν παράδοσιν τῆς Ἐκκλησίας ἀξιόπιστον ἡγώμεθα· παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει » (2).

§ 15. *Ἡ χρῆσις τῆς Ἱερᾶς* Παραδόσεως.

Ἡ Ἱερὰ Παράδοσις, ἤτοι ὁ λόγος τοῦ Θεοῦ ὁ ἄγραφος, εὔχρηστος ἐν τῇ Θεολογίᾳ, ὡς ἀρχὴ α) τῆς ὀρθῆς κατανοήσεως καὶ ἐξηγήσεως τῆς Ἁγίας Γραφῆς καὶ τῆς ἀλανθάστου ἐξαγωγῆς ἐξ αὐτῆς συμπερασμάτων, καὶ ἐν γένει, καὶ ἰδίᾳ ἐν τοῖς χω-

(1) Περὶ Ἁγ. Πνεύμ. 27, 2.
(2) Χρυσοστ. πρὸς Θεσσαλ. Β'. ὁμιλ. 4.

ρίοις, ἅτινα περιέχουσιν ἐν ἑαυτοῖς τὴν περὶ τῶν βαθυτάτων καὶ μυστηριωδῶν ἀληθειῶν τῆς πίστεως διδασκαλίαν, οἷα εἰσὶ τὸ μυστήριον τῆς Ἁγίας Τριάδος, τὸ μυστήριον τῆς ἐνσαρκώσεως καὶ τὰ ὅμοια τούτοις, ὡς καὶ ἐν ἐκείνοις τοῖς χωρίοις, ἅτινα ἐκ πρώτης ὄψεως εἰσὶ δύσληπτα καὶ περιέχουσιν ἐν ἑαυτοῖς ἀληθείας τινὰς οὐχὶ κατὰ γράμμα, οὕτως εἰπεῖν, ἀλλὰ μᾶλλον κατὰ πνεῦμα, ὡς βεβαίως ἐνόουν ταῦτα οἱ Ἀπόστολοι, διὸ καὶ οἱ σύγχρονοι αὐτῶν, οἷς παρεδόθησαν καὶ διὰ στόματος ἡρμηνεύθησαν, τοιαύτην ἑρμηνείαν ἔδωκαν. Τοιαῦτα δέ εἰσι τὰ δόγματα περὶ τῆς ἀειπαρθένου Θεοτόκου, περὶ σεβασμοῦ καὶ ἐπικλήσεως τῶν Ἁγίων, καὶ τὰ τοιαῦτα.

β) Τῶν ἀληθειῶν ἐκείνων, αἵτινες, εἰ καὶ ἐν τῇ Γραφῇ λείπουσιν, ἀλλ' ὅμως ἀναπόφευκτοι πρὸς τὴν πίστιν καὶ τὸν χριστιανικὸν βίον. Ἐνταῦθα ἀνάγονται δόγματά τινα καὶ διατάξεις χριστιανικαὶ, π. χ. περὶ τοῦ τρόπου τῆς τελέσεως τῶν μυστηρίων, περὶ τοῦ σεβασμοῦ τῶν ἁγίων εἰκόνων, καὶ τοῦ μνημοσύνου ὑπὲρ τῶν κεκοιμημένων, περὶ τῶν ἁγίων νηστειῶν, ἰδίως δὲ ἅπασα ἡ περὶ τῆς ἐκκλησ. τελετουργίας καὶ τάξεως τῆς Ἐκκλησιαστικῆς ἀκολουθίας διδασκαλία. Οὕτω λοιπὸν ἡ Ἱερὰ Παράδοσις, ἐπειδὴ ἐστιν ὡσαύτως λόγος τοῦ Θεοῦ, ὡς καὶ ἡ Γραφὴ, ἀναμφιβόλως ἔχει ἐν τῇ Θεολογίᾳ τὴν αὐτὴν σπουδαιότητα καὶ ἀξίαν.

§ 16. *Ἡ χειραγωγικὴ ἀρχὴ τῆς Θεολογίας.*

Ἡ Ἱερὰ Γραφὴ καὶ ἡ Ἱερὰ Παράδοσις περιλαμβάνουσιν ἐν ἑαυταῖς ὅλον τὸ πλήρωμα τῆς χριστιανικῆς θρησκείας, καὶ ἐκτὸς αὐτῶν οὔτε ἐστὶν οὔτε δύναται εἶναι ἄλλη τις θεία ἀποκάλυψις, ἀφορῶσα τὴν θρησκείαν (Γαλ. 1, 8. 9). Ἀλλ' ἵνα ἡ χρῆσις αὐτῶν ἐν τῇ Θεολογίᾳ ᾖ ὀρθὴ καὶ τὸ σωτήριον ἔργον τῆς ἐπιγνώσεως τῆς ἁγιωτάτης τοῦ Χριστοῦ θρησκείας, τὸ θεμελιούμενον ἐπ' αὐτῶν, ὑπάρχῃ ἀναμφίβολον, στε-

ρεὸν καὶ ἀσάλευτον, διὰ τοῦτο ἀναγκαία ἐν τῇ χρήσει αὐτῶν *χειραγωγία* πιστὴ καὶ βεβαία. Τοιαύτη δὲ χειραγωγία ἡ χειραγωγικὴ ἀρχὴ ἐν τῇ Θεολογίᾳ, ὡς ἀφ' ἑαυτοῦ δῆλον, οὐ δύναται εἶναι ἑνὸς ἢ καὶ πολλῶν Θεολόγων ἀπόφανσις· διότι ἕκαστος ἰδίᾳ ὑπόκειται πλάνῃ· δύναται δὲ καὶ ὀφείλει εἶναι *ἡ κοινὴ φωνὴ τῆς Οἰκουμενικῆς Ἐκκλησίας*, τουτέστι σύμφωνος μαρτυρία πάντων τῶν χριστιανῶν ποιμένων καὶ διδασκάλων, ἰδίως δὲ τῶν πρώτων αἰώνων τοῦ χριστιανισμοῦ, καθ' οὓς ἐνεφυτεύθη καὶ ἐστερεώθη ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἐν τῇ Οἰκουμένῃ. Διότι *ἡ Οἰκουμενικὴ Ἐκκλησία ἐστὶ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας*, ὡς λέγει ὁ Ἀπόστολος (1 Τιμ. 3, 15). Διότι ταύτῃ ἐνεπιστεύθη ὑπὸ Ἰησοῦ Χριστοῦ τὸ κειμήλιον τῆς ἁγιωτάτης Αὐτοῦ θρησκείας, καὶ αὕτη ἐστὶ τὸ θησαυροφυλάκιον τοῦ λόγου τοῦ Θεοῦ, τοῦ τε γραπτοῦ, καὶ τοῦ ἀγράφου· ἐν ταύτῃ δὲ, κατὰ τὸν Ἅγιον Εἰρηναῖον (1), οἱ Ἀπόστολοι ἔθηκαν τὸ πλήρωμα πάσης ἀληθείας, ἥτις τηρεῖται, κατὰ τὴν θείαν ἐπαγγελίαν, ἀδιαλείπτως ὑπὸ τοῦ ἀχωρίστως παρ' αὐτῇ διαμένοντος Ἰησοῦ Χριστοῦ *πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος* (Ματθ. 28, 20), *καὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, τοῦ διδάσκοντος αὐτὴν πᾶσαν τὴν ἀλήθειαν* (Ἰωαν. 14, 16. 26). Διὸ καὶ ἀπαραίτητον χρέος τοῦ Ὀρθοδόξου Θεολόγου, ὅπως ἀνατρέχῃ εἰς αὐτὴν, καὶ ἐν ταύτῃ ζητῇ τὴν ὀρθὴν καὶ ἀληθῆ κατανόησιν τῆς Ἁγίας Γραφῆς, καὶ τῶν ἀναντιῤῥήτων Ἀποστολικῶν Παραδόσεων, καὶ διὰ τῆς φωνῆς αὐτῆς κανονίζῃ καὶ στηρίζῃ τὴν ἑαυτοῦ διδασκαλίαν. Ἡ δὲ φωνὴ τῆς Οἰκουμενικῆς Ἐκκλησίας περιέχεται.

α) Ἐν τοῖς ἀρχαιοτάτοις Συμβόλοις, τουτέστιν ἐν ταῖς συντόμοις ὁμολογίαις τῆς πίστεως ταῖς παραδεδεγμέναις ὁμο-

(1) Κατὰ Αἱρ: 3, 1, 4, 36 48.

φώνως παρ' ἁπάσῃ τῇ Οἰκουμενικῇ Ἐκκλησίᾳ, καὶ πάλαι καὶ μετὰ ταῦτα, ἀδιαλείπτως,, ὡς ἀσφαλὴς κανὼν τῆς πίστεως καὶ τοῦ βίου. Τοιαῦτα εἰσὶ τὸ Ἀποστολικὸν σύμβολον, τὸ τῆς Νικαίας καὶ Κωνσταντινουπόλεως Σύμβολον, τὸ τοῦ Ἁγίου Ἀθανασίου Ἀλεξανδρείας τὸ τοῦ Ἁγίου Γρηγορίου Νεοκαισαρείας. Ἐν τούτοις δὲ περιλαμβάνεται τὸ ἀληθὲς πνεῦμα τῆς Ἁγίας Γραφῆς καὶ τῆς Ἁγίας Παραδόσεως περὶ τῶν κυριωτέρων χριστιανικῶν δογμάτων.

β') Ἐν τῇ *συμφώνῳ καὶ κοινῇ χρήσει* ἔκπαλαι παρὰ τῇ Οἰκουμενικῇ Ἐκκλησίᾳ δοξασιῶν τινῶν καὶ ἐθίμων καὶ διατάξεων. Τοιαῦτα δὲ εἰσὶν ἡ ἀλήθεια τῆς ἀειπαρθενίας τῆς Θεομήτορος, τὸ σημεῖον τοῦ σταυροῦ, τὸ βάπτισμα τῶν νηπίων, αἱ νηστεῖαι, αἱ ἑορταὶ αἱ τελεταὶ ἐπὶ τῶν Μυστηρίων καὶ τὰ τοιαῦτα.

γ'. Ἐν τοῖς ὅροις καὶ *διατάξεσι τῶν Συνόδων*, τῶν τε Οἰκουμενικῶν καὶ τῶν τοπικῶν, παρ' ἁπάσῃ τῇ Ἐκκλησίᾳ παραδεδεγμένων. Διότι ἐπὶ τῶν Συνόδων τούτων οἱ πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας, ἐνεργοῦντες ὁμοφώνως, οὐδὲν συνέταξαν νέον δόγμα πίστεως, ἢ νέους κανόνας τοῦ βίου, ἀλλ' ὥρισαν καὶ ἐπεκύρωσαν τὰ ἀρχαῖα, τὰ ἐν τῇ Γραφῇ καὶ τῇ Παραδόσει π. χ. τὸ δόγμα περὶ τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, περὶ τῶν δύο φύσεων ἐν τῷ Ἰησοῦ Χριστῷ, ἡ διάταξις περὶ τοῦ σεβασμοῦ τῶν Ἁγίων εἰκόνων, περὶ τῶν νηστειῶν καὶ τὰ τοιαῦτα.

δ) Ἐν *τοῖς συγγράμμασι τῶν Ἁγίων Πατέρων*, οἵτινες καὶ διὰ τὴν πρὸς τοὺς ἀποστολικοὺς χρόνους προσέγγισιν, καὶ διὰ τὴν ἁγιότητα τοῦ βίου, ἅμα δὲ καὶ καθαρότητα τοῦ θεοφωτίστου νοὸς αὐτῶν, ἠδύναντο διδάσκειν μόνον ὑγειᾶ, ἀληθῆ καὶ ὅλως σύμφωνον τῇ θείᾳ Ἀποκαλύψει διδασκαλίαν. Διὸ καὶ πολλὰ ἐκ τῶν συγγραμμάτων αὐτῶν ἐπεδοκιμάσθησαν ὑφ' ἁπάσης τῆς Ἐκκλησίας ἐπὶ τῶν Συνόδων, τινὲς δ' ἐκ τῶν Πατέρων καὶ ὠνομάσθησαν οἰκουμενικοὶ Διδάσκαλοι καὶ

στύλοι τῆς Ὀρθοδοξίας. Ἡ τοιαύτη χρῆσις τῆς μαρτυρίας τῆς Οἰκουμενικῆς Ἐκκλησίας, ὡς χειραγωγικῆς ἀρχῆς, ἐν τῇ Θεολογίᾳ ἔχει κῦρος, καὶ ἴσον τῇ θείᾳ Γραφῇ. Καὶ ἐπειδὴ « ἓν καὶ τὸ αὐτὸ Ἅγιον Πνεῦμα ἀμφοτέρων δημιουργὸν, ἴσον ἐστὶ πάντως ὑπὸ τῆς Γραφῆς καὶ ὑπὸ τῆς Καθολικῆς Ἐκκλησίας διδάσκεσθαι... Τὴν δὲ Καθολικὴν Ἐκκλησίαν, ὡς μηδέποτε λαλήσασαν ἢ λαλοῦσαν ἀφ' ἑαυτῆς, ἀλλ' ἐκ τοῦ Πνεύματος τοῦ Θεοῦ, ἀδύνατον πάντῃ ἁμαρτῆσαι, ἢ ὅλως ἀπατῆσαι καὶ ἀπατηθῆναι, ἀλλ' ἔστιν ὡσαύτως τῇ θείᾳ Γραφῇ ἀδιάπτωτος καὶ ἀέννααν τὸ κῦρος ἔχουσα » (1).

§. 17. *Ὁ λόγος ἐν τῇ Ἐπιστήμῃ τῆς Χριστιανικῆς Θεολογίας.*

Ὅτι ἀφορᾷ τὴν ἐν τῇ ἐπιστήμῃ τῆς Θεολογίας χρῆσιν τοῦ λόγου, παρατηρητέον τὰ ἀκόλουθα.

1) Οὗτος οὔτε ἐκπηγάζουσά τις ἀρχὴ τῶν Θεολογικῶν γνώσεων δύναται εἶναι, ὥστε ἐξ αὐτοῦ μόνου καὶ ἐπ' αὐτοῦ μόνου στηρίζεσθαι οἵας δήποτε Θεολογικὰς ἀληθείας, οὔτε χειραγωγικὴ ἀρχὴ, πολὺ δὲ ὀλιγώτερον ὑπέρτατος κριτὴς τῶν Θεολογικῶν ἀληθειῶν, τῶν ἐκ τῆς ἀποκαλύψεως λαμβανομένων, ὑπάγων ταύτας καὶ κανονίζων κατὰ τὰς ἰδίας ἀρχάς. Διότι τοῦτο οὐκ ἔστιν ἴδιον τοῦ περιωρισμένου λόγου, μάλιστα δὲ μετὰ τὴν βλάβην αὐτοῦ τὴν ὅτε καὶ νῦν, ὅτε οὗτος, κατὰ τοὺς λόγους τοῦ Σοφοῦ, *καὶ μόλις εἰκάζει τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκει μετὰ πόνου*, πολὺ δὲ ὀλιγώτερον ἀφ' ἑαυτοῦ ἐξιχνιάσει *τὰ ἐν Οὐρανοῖς* (Σοφ. 9, 16)· ἀπάδει δὲ καὶ πρὸς τὴν ἀξίαν καὶ τὸν σκοπὸν τῆς θείας ἀποκαλύψεως, ἥτις, ὡς προϊὸν τοῦ ἀπείρου νοὸς τοῦ Θεοῦ, δύναται καὶ ὑπερβαίνει τὸν νοῦν τοῦ ἀνθρώπου, καὶ ἐδόθη οὐχὶ, ἵνα εὐχαριστῇ ταῖς ἀπαιτήσεσι τοῦ λόγου καὶ τῇ κρίσει αὐτοῦ, ἀλλ' ἵνα αἰχμαλωτίζῃ αὐτὸν τοῦτον εἰς *τὴν ὑπα-*

(1) Ἐπισ: Πατρ: ὄρ: 2.

κοὴν τοῦ *Χριστοῦ* (2 Κορ, 10, 5), καὶ *χορηγῇ* τὴν βοήθειαν καὶ σωτηρίαν καὶ αὐτῷ τούτῳ, ὡς καὶ ἁπάσῃ τῇ ψυχῇ τοῦ πεσόντος ἀνθρώπου. Ἀλλ' ἄμα 2) ἀναμφίβολον, ὅτι πολὺ ἐπωφελὲς τὸ ἔργον τοῦ λόγου ἐν τῇ Θεολογίᾳ, καὶ ὅτι ἡ ἐν τῇ θείᾳ Ἀποκαλύψει πρέπουσα χρῆσις αὐτοῦ οὐ μόνον ἀκίνδυνος, ἀλλὰ καὶ ὠφέλιμος καὶ παρ' αὐτῆς τῆς ἀποκαλύψεως συγχωρεῖται. Ἀκίνδυνος μὲν· διότι εἷς ἐστὶν ὁ αἴτιος καὶ τοῦ λόγου καὶ τῆς ἀποκαλύψεως, καὶ ἑπομένως μεταξὺ αὐτῶν οὐδὲ ὑπάρχει, οὐδὲ δύναται ὑπάρχειν ἐν οὐδενὶ ἀληθής τις ἀντίφασις. Ὠφέλιμος δὲ, ἐπειδὴ ἄνευ τῆς συμμετοχῆς αὐτοῦ εὐκόλως εἰσέρχονται εἰς τὴν πίστιν πλάναι, προλήψεις, δεισιδαιμονίαι, καὶ αὐτὴ ἡ ὀρθὴ πίστις καθίσταται ἐπιπόλαιος καὶ ἀμφιῤῥεπὴς, διὰ δὲ τῆς ὀρθῆς χρήσεως τοῦ λόγου ἀπαλάττεται ἡ πίστις τῶν τοιούτων ἐλλείψεων. *Συγχωρεῖται ὑπ' αὐτῆς τῆς Ἀποκαλύψεως. Οὕτω λέγει ὁ Ἰησοῦς Χριστός· ἐρευνᾶτε τὰς Γραφὰς* (Ἰωάν. 5, 39), *καὶ αὐτὸς διήνοιξε τὸν νοῦν τῶν μαθητῶν αὐτοῦ, τοῦ συνιέναι τὰς Γραφὰς* (Λουκ. 24, 45). Ὡσαύτως, καὶ ὁ Ἀπόστολος Παῦλος παραινεῖ τοῖς μαθηταῖς αὐτοῦ· *πάντα δοκιμάζετε τὸ καλὸν κατέχετε* (1 *Θεσσαλ.* 5· 19), *ἔτι δὲ, καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει· εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα* (Φιλιπ. 1, 9. 10) Ὡσαύτως καὶ ὁ Ἀπόστολος Ἰωάννης γράφει·— *Ἀγαπητοὶ, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν* (1 Ἰωάν. 4, 1). Διότι ἡ Ἀποκάλυψις προφυλάττει ἡμᾶς μόνον ἀπὸ τῆς κακοφωνίας καὶ ἀντιθέσεως τοῦ ψευδωνύμου λόγου, ἐπαιροομένου *κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ ἀπὸ τῆς κενῆς ἀπάτης καὶ φιλοσοφίας κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστὸν* (1 Τιμ. 6,20. 21. 2 Κορ. 10, 5. Κολ. 2,8). Ἄρα 3) ἀναγκαῖον, ὅπως ὁρισθῇ καὶ κανονισθῇ ἡ χρῆσις τοῦ λόγου ἐν τῇ θεολογίᾳ. Τοῦτο δὲ ὁρίζει ὁ Ἀπόστολος Παῦλος λέγων, ὅτι ὁ νοῦς

ὀφείλει αἰχμαλωτίζεσθαι εἰς τὴν ὑπακοὴν τῆς πίστεως,,ὡς βοηθητικὸν ὄργανον,τουτέστιν ἐν τῇ ἐπιστήμῃ τῆς Θεολογίας. συνίσταται δὲ ἡ ἐνέργεια αὐτοῦ ἐν τούτῳ, ἵνα, δεχόμενος μετὰ τελείας ὑπακοῆς τὰς παρὰ Θεοῦ ἀποκαλυφθείσας ἀληθείας τῆς πίστεως, α) συντελῇ πρὸς κρείττονα οἰκείωσιν αὐτῶν. Διὰ τοῦτο καὶ ἔργον αὐτοῦ τὸ συλλέγειν καὶ κατατάσσειν εἰς ἓν ὅλον καὶ κανονικὸν σύστημα ἐπιστήμης τὰς ἀληθείας τῆς θρησκείας, τὰς ἐκτεθειμένας ἐν τῇ Ἁγίᾳ Γραφῇ καὶ τῇ Ἁγίᾳ Παραδόσει κατὰ μέρος καὶ σποράδην, ἅμα δὲ καὶ διασαφίζειν αὐτὰς διὰ πιστῶν καὶ ἀκριβῶν ὁρισμῶν, ἐπιδεικνύειν τὰς βάσεις, ἐφ' ὧν αὗται στηρίζονται, καὶ οἰκοδομεῖν ἐπὶ τούτων ὀρθὰ συμπεράσματα. β) ἵνα συντελῇ εἰς *ἐφαρμογὴν* τῶν χριστιανικῶν ἀληθειῶν πρὸς τὸν βίον· διὰ τοῦτο χρέος αὐτοῦ, ὅπως δεικνύῃ τὴν χρῆσιν αὐτῶν ἐν τῷ βίῳ τοῦ χριστιανοῦ, ἐξάγῃ ἐξ αὐτῶν ἀγαθὰ ἠθικὰ μαθήματα, καὶ χειραγωγῇ πρὸς ἐπιτυχεστέραν ἐκπλήρωσιν αὐτῶν, πρὸς τε ἰδίαν ὠφέλειαν καὶ τῶν ἄλλων. Τέλος γ) ἵνα συντελῇ πρὸς ὀχύρωσιν τῆς χριστιανικῆς θρησκείας κατὰ τῆς ἀπιστίας καὶ τῆς κακοδοξίας. διὰ τοῦτο ἔργον αὐτοῦ ἐστὶ τὸ λύειν τὰς ἀπορίας, δισταγμοὺς, καὶ ἀναιρεῖν τὰς ἐνστάσεις,αἵτινες ἀναφύονται κατὰ τὸ πνεῦμα ταύτης ἢ ἐκείνης τῆς ἐποχῆς ἐκ τῶν πολεμίων τῆς ἀληθοῦς θρησκείας, καταπολεμούντων ἅμα τὴν ἀξίαν, τὴν ἁγιότητα, τὸ ἀγαθοεργὸν καὶ τὴν ἀνάγκην, ἢ τῶν γενικῶν αὐτῆς ἀληθειῶν, ἢ τινῶν κατ' ἰδίαν.

3) Ἡ ἀξία τῆς Θεολογίας ὡς ἐπιστήμης.

§ 18. Αἱ σχέσεις, καθ' ἃς ἐξετάζεται ἡ ἀξία τῆς Θεολογίας

Ἡ Ἐπιστήμη τῆς Θεολογίας, ὅσον καὶ ἂν ᾖ ἐντελὴς, ὑποδεε-

στέρα ὅμως πάντοτε ἐστὶ, συγκρινομένη πρὸς τὰς πρωτοτύπους πηγὰς τὴν θείαν Ἀποκάλυψιν, ἐξ ἧς ἀπαρύεται τὰς θεολογικὰς ἀληθείας· διότι ἐστὶν ἔργων ἀνθρωπίνου νοὸς, καίτοι ἐν τῇ ὑπακοῇ τῆς πίστεως ἐργαζομένου, ἀλλὰ καὶ οὕτως ἔχει ἀναντίῤῥητον ἀξίαν, καὶ α) αὐτὴ καθ' ἑαυτὴν, καὶ β) συγκρινομένη πρὸς τὰς ἄλλας ἐπιστήμας.

19. Ἡ ἀξία τῆς Θεολογίας ἐξεταζομένης αὐτῆς καθ' ἑαυτήν.

Ἡ Θεολογία ἐξεταζομένη αὐτὴ καθ' ἑαυτὴν ἔχει ἀναμφίβολον τὴν ἑαυτῆς ἀξίαν· διότι α) ἐν αὐτῇ αἱ ἁγιώταται ἀλήθειαι τῆς χριστιανικῆς θρησκείας παρίστανται ὑπὸ μίαν γενικὴν ἔποψιν, ἐν ἁρμονικῷ συνδέσμῳ καὶ συναφείᾳ, σαφῶς ἐξηκριβωμέναι καὶ λεπτομερῶς ἐπεξειργασμέναι, διὰ πόνων οὐχὶ ἑνὸς, ἀλλὰ πολλῶν, ὥστε ἐπιτήδειαι καθίστανται πρὸς εὐχερεστέραν παραδοχὴν καὶ κατανόησιν τοῖς διδασκομένοις.

β) Ἐπειδὴ δὲ ἴδιον τοῦ ἀνθρωπίνου νοὸς τὸ ἀνάγειν ἁπάσας αὐτοῦ τὰς γνώσεις εἰς συστηματικὴν ἐπίγνωσιν, καὶ μόνον τοιαύτη ἐπιστήμη ἀρκεῖ αὐτῷ· διὰ τοῦτο ἡ θεολογία παρέχουσα τοιαύτην ἐπίγνωσιν τῆς Χριστιανικῆς θρησκείας, καθίστησι ταύτην ἱκανὴν τῷ νοῒ καὶ ἐντυποῖ εὐκρινῶς καὶ βασίμως.

γ) Ἰδίως δὲ τοῖς μέλλουσι ποιμαίνειν τὴν Ἐκκλησίαν ὠφέλιμος καὶ ἀναγκαία ἐστὶν ἡ συστηματικὴ ἐκμάθησις τῆς χριστιανικῆς θρησκείας, ὡς τὰ μάλιστα σύμφωνος πρὸς τὸν σκοπὸν τῆς διακονίας αὐτῶν. Διότι ἀπαιτεῖται, ὅπως ὦσιν οὗτοι, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, *ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος* (Πετρ. 3, 15), καὶ οὐ μόνον γινώσκωσι τὴν θρησκείαν τοῦ Χριστοῦ καὶ πρὸς τὸ ἴδιον ἀγαθὸν μεταχειρίζωνται, ἀλλὰ καὶ εἰς σωτηρίαν τῶν ἄλλων, καὶ προφυλάττωσιν αὐτὴν ἀπὸ τῆς ἀπιστίας καὶ κακοδοξίας παντὸς εἴδους· πρὸς τοῦτο δὲ, ὡς ἀφ' ἑαυτοῦ

δῆλον, συντελεῖ πρὸ πάντων ἡ συστηματικὴ ἐκμάθησις τῆς θρησκείας, ἡ ὑπὸ τῆς θεολογίας παρεχομένη.

§ 20. *Ἡ ἀξία τῆς Θεολογίας συγκρινομένης πρὸς τὰς ἄλλας Ἐπιστήμας.*

Καί τοι ἡ Θεολογία ἀνάγεται, ὡς ἐπιστήμη, εἰς τὸν κύκλον τῶν λοιπῶν ἀνθρωπίνων γνώσεων, διότι ἅπασαι συνδέονται πρὸς ἀλλήλας, ἀλλ' ὑπερβαίνει αὐτὰς κατὰ τὴν ἀξίαν καὶ ἐπέχει μεταξὺ αὐτῶν ὑψηλοτέραν θέσιν.

Τοῦτο δὲ καταφαίνεται ἐκ τῆς συγκρίσεως αὐτῆς πρὸς τὰς ἄλλας ἐπιστήμας.

α) Ἐκ *τοῦ ὑποκειμένου*, περὶ ὃ ἡ Θεολογία ἀσχολεῖται. Τοῦτο δὲ ἐστὶν ἡ ἁγιωτάτη θρησκεία τοῦ Χριστοῦ, ἐν ᾗ μόνῃ περιέχεται ἡ λύσις πάντων τῶν ἀναγκαιοτάτων ζητημάτων τοῦ ἡμετέρου πνεύματος· οἷον περὶ Θεοῦ, περὶ κόσμου, περὶ ψυχῆς, περὶ ἀθανασίας, περὶ ἠθικοῦ νόμου, καὶ ἡ ἐπάρκεια πάσαις ταῖς ὑψηλοτέραις ἀνάγκαις τοῦ ἀνθρώπου, οἷον ἡ πρὸς τὴν ἀλήθειαν, τὴν δικαιοσύνην, καὶ τὴν μακαριότητα τάσις.

β) Ἐκ *τοῦ σκοποῦ*, ὃν ἔχει ἡ ἐπιστήμη αὕτη. Τοῦτο δὲ οὐκ ἔστιν ἐπίγειός τις ἢ πρόσκαιρος ὠφέλεια τῶν διδασκομένων, ἀλλ' ἡ αἰώνιος σωτηρία ἑαυτῶν τε καὶ τῶν ἄλλων.

γ) Ἐκ *τῶν πηγῶν*, ἐξ ὧν αἱ θεολογικαὶ ἀλήθειαι πηγάζουσιν. Αὗται δὲ εἰσὶν οὐχὶ ἀνθρώπιναί τινες ἀρχαὶ νοὸς ἢ πείρας ἑνὸς ἢ πολλῶν σοφῶν ὑποκειμένων πάντοτε πλάνῃ, ἀλλ' ἡ θεία Ἀποκάλυψις ἡ καθαροτάτη πηγὴ τῆς ἀληθείας καὶ τῆς γνώσεως.

4) Τὰ συστατικὰ τῆς Θεολογίας μέρη.

§ 21. *Τὸ σύνολον τῆς Θεολογίας.*

Ἐπειδὴ ἡ Θεολογία ἐστὶν ἐπιστήμη, χειραγωγοῦσα τοὺς

μαθητευομένους πρὸς θεμελιώδη καὶ πλήρη γνῶσιν τῆς χριστιανικῆς θρησκείας καὶ χρῆσιν αὐτῆς πρὸς σωτηρίαν ἰδίαν τε καὶ τῶν ἄλλων, ἕπεται ὅτι καὶ ἡ ἑρμηνεία αὐτῆς ὀφείλει εἶναι, οὐχὶ μονομερής τις, ἀλλ' ἐκ πάντων τῶν δυνατῶν μερῶν, καὶ ἐν τῇ διδασκαλίᾳ αὐτῆς ἀναγκαῖον περιλαμβάνεσθαι πᾶν, ὅ,τι ἀναγκαῖον πρὸς ἐπιτυχίαν τοῦ προκειμένου αὐτῇ σκοποῦ· ὀφείλει ἄρα περιλαμβάνειν τὴν θρησκείαν· α) ἐκ τῶν πηγῶν αὐτῆς· β) ἐκ τοῦ ἐσωτερικοῦ αὐτῆς περιεχομένου· γ) ἐκ τῆς ἐφαρμογῆς αὐτῆς εἰς τὰ πράγματα. Ἐντεῦθεν τὴν πλήρη σειρὰν τῆς Θεολογίας ἀποτελοῦσι τρεῖς τάξεις ἐπιστημῶν.

α'. Τάξις Ἐπιστῆμαι προπαρασκευαστικαὶ

β'. Τάξις Ἐπιστῆμαι συστατικαὶ

γ'. Τάξις Ἐπιστῆμαι προσηρμοσμέναι

§ 22. *Ἐπιστῆμαι προπαρασκευαστικαί.*

Αἱ προπαρασκευαστικαὶ ἐπιστῆμαι ἔχουσι θέμα τὴν θεμελιώδη γνῶσιν τῶν πηγῶν τῆς χριστιανικῆς θρησκείας. Ἐπειδὴ δὲ αἱ πηγαὶ αὗται εἰσὶν ἡ Ἁγία Γραφὴ καὶ ἡ ἱερὰ Παράδοσις, κατὰ τὴν χειραγωγίαν τῆς Οἰκουμενικῆς Ἐκκλησίας, διὰ τοῦτο ἐν τῇ τάξει τῶν προπαρασκευαστικῶν θεολογικῶν ἐπιστημῶν κατατάσσονται αἱ ἀκόλουθοι Ἐπιστῆμαι.

α) Ἡ *χειραγωγικὴ πρὸς ἀνάγνωσιν καὶ κατανόησιν τῆς Ἁγίας Γραφῆς*. Ἡ ἐπιστήμη αὕτη ἀναπτύσσει τὴν πρώτην πηγὴν τῆς Θεολογίας, τὸν γραπτὸν τοῦ Θεοῦ λόγον. Διὰ τοῦτο αὕτη, *πρῶτον* μετὰ τὰς γενικὰς ἰδέας περὶ τῆς Ἁγίας Γραφῆς, τοῦ Θεοπνεύστου αὐτῆς, τῆς ἀκεραιότητος καὶ τὰ παρόμοια, ἀσχολεῖται περὶ τὴν ἐξωτερικὴν κατάστασιν τῶν Ἱερῶν βίβλων, καταδεικνύουσα τὴν καταγωγὴν αὐτῶν, τὴν τύχην, τὴν γνησιότητα, τὸ γράψαν πρόσωπον, τὸν σκοπὸν καὶ τὸ κύριον θέμα καὶ ἄλλας περιστάσεις, ὡς καὶ τὴν σημασίαν καὶ χρῆσιν αὐτῶν κατὰ διαφόρους σχέσεις. Τοῦτο δὲ

καλεῖται *Εἰσαγωγὴ εἰς τὴν Ἁγίαν Γραφὴν, ἢ χειραγωγία πρὸς ἀνάγνωσιν τῆς Ἁγίας Γραφῆς. Δεύτερον* ἀσχολεῖται περὶ αὐτὸ τὸ ἐσωτερικὸν περιεχόμενον τῆς Ἁγίας Γραφῆς, ἀναπτύσσουσα πρῶτον τοὺς κανόνας τῆς ἐξηγήσεως αὐτῆς, ἔπειτα δὲ καὶ ἔργῳ κατ' αὐτοὺς ἐξηγουσα τὴν ἔννοιαν αὐτῆς, μάλιστα δ' ἐν ἐκείνοις τοῖς χωρίοις, ἅτινα ὡς βάσεις ὑπόκεινται ταῖς σπουδαιοτάταις χριστιανικαῖς ἀληθείαις, ὡς π. χ. ἐν ταῖς δογματικαῖς προφητείαις περὶ τοῦ Ἰησοῦ Χριστοῦ· ἡ ἐπιστήμη δὲ αὕτη ἐστὶν ἡ *Ἱερὰ Ἑρμηνευτικὴ*, ἤτοι ἡ *χειραγωγία πρὸς κατανόησιν τῆς Ἁγίας Γραφῆς.*

β) Ἡ Ἐκκλησιαστικὴ ἱστορία. Ταύτης δὲ ἔργον τὸ ἐξεικονίζειν, τίνι τρόπῳ ἡ Χριστιανικὴ θρησκεία καὶ ἡ ἐπ' αὐτῆς θεμελιωθεῖσα Ἐκκλησία μετέβη ἀπὸ γενεᾶς εἰς γενεὰν, καὶ ὁποία ἦν ἡ τύχη αὐτῆς κατὰ τὰς διαφόρους ἐποχὰς τοῦ ἀνθρωπίνου γένους, οὐ μόνον ἐν τῇ ἐξωτερικῇ αὐτῆς καταστάσει, ἀλλὰ καὶ ἐν τῇ ἐσωτερικῇ, ἤτοι ἐν τῇ διδασκαλίᾳ τῆς πίστεως, τῆς εὐσεβείας, τῶν τελετῶν, τῶν νόμων καὶ διατάξεων.

γ) Ἡ Πατρολογία, ἤτοι ἡ τῶν Πατέρων Θεολογία.

Ἡ ἐπιστήμη αὕτη μεταδίδωσι γνώσεις περὶ τῶν συγγραμμάτων τῶν Ἁγίων Πατέρων τῆς Ἐκκλησίας διδάσκουσα τὸν Θεολόγον εὑρίσκειν ἐν αὐτοῖς πάντοτε ἑτοίμην, ἄφθονον καὶ καθαρὰν πηγὴν καὶ τύπον τῆς πρωτοτύπου διδασκαλίας τῆς Ἁγίας Ἐκκλησίας περὶ τῶν Χριστιανικῶν ἀληθειῶν. Ὥστε αἱ δύω αὗται ἐπιστῆμαι ἀποκαλύπτουσιν *ἑτέραν* πηγὴν τῆς Χριστιανικῆς Θρησκείας, τὸν ἄγραφον μὲν λόγον τοῦ Θεοῦ, ἀλλὰ παραδοθέντα διὰ στόματος καὶ τηρηθέντα ἐν τῇ Οἰκουμενικῇ Ἐκκλησίᾳ, ἔν τε ταῖς πράξεσιν αὐτῆς, καὶ ἐν τοῖς συγγράμμασι τῶν Ἁγίων καὶ θεοσόφων Πατέρων.

§ 23. *Ἐπιστῆμαι συστατικαί.*

Αἱ συστατικαὶ ἐπιστῆμαι ἔχουσι θέμα τὴν ἐπίγνωσιν αὐτῆς

ήδη τῆς Χριστιανικῆς Θρησκείας καὶ τὴν διδασκαλίαν τῆς ἐφαρμογῆς αὐτῆς εἰς σωτηρίαν τῶν μαθητευομένων. Ἡ δὲ Χριστιανικὴ Θρησκεία ἐξετάζεται *πρῶτον μὲν*, ὅπως αὕτη ὀφείλει ὑπάρχειν ἐν ἑκάστῳ ἀνθρώπῳ· *δεύτερον* δὲ ὅπως αὕτη ἐκφράζεται ἐν τῇ κοινωνίᾳ πολλῶν ἀνθρώπων συνδεδιμένων δι' αὐτῆς πρὸς ἀλλήλους, καὶ ἀποτελούντων ἕν ὅλον. Καὶ κατὰ μὲν τὴν πρώτην αὐτῆς ἰδιότητα ἡ Χριστιανικὴ Θρησκεία παρέχει τὰ ἑπόμενα συστατικὰ μέρη τῆς Θεολογίας.

Α) Ἐπειδὴ ἡ Χριστ. Θρησκεία ἐστὶν ἀποκάλυψις τοῦ τί ὀφείλει ὁ ἄνθρωπος *γινώσκειν* περὶ Θεοῦ, ἡ δὲ ἀποκάλυψις αὕτη παραλαμβάνεται παρὰ τοῦ ἀνθρώπου *διὰ τῆς πίστεως*, ὁ δὲ καρπὸς αὐτῆς ἐστὶν ἡ *Θεογνωσία*· ἐντεῦθεν τὸ *πρῶτον* συστατικὸν μέρος τῆς Θεολογίας ἐστὶν ἡ *δογματικὴ Θεολογία*, ἥτις ἔχει θέμα τὴν χριστιανικὴν πίστιν, σκοπὸν δὲ τὴν στερέωσιν τῶν διδασκομένων ἐν τῇ σωτηριώδει Χριστιανικῇ *πίστει* καὶ διὰ αὐτῆς *τὴν Θεογνωσίαν*.

Β) Ἐπειδὴ ἐστὶν ἀποκάλυψις τοῦ τί ὁ ἄνθρωπος ὀφείλει πρὸς τὸν Θεὸν, ταύτην δὲ τὴν ἀποκάλυψιν οἰκειοῦται ὁ ἄνθρωπος διὰ τῆς *ἀγάπης*, καρπὸς δὲ ταύτης ἐστὶν ἡ *Θεοσέβεια*, ἤ ἡ εὐσέβεια· ἐντεῦθεν *τὸ δεύτερον* συστατικὸν μέρος τῆς Θεολογίας *ἡ πρακτικὴ Θεολογία*, ἥ *η ἠθικὴ*, ἔχουσα θέμα μὲν τὴν τῶν Χριστιανικῶν καθηκόντων διδασκαλίαν, σκοπὸν δὲ τὴν στερέωσιν τῶν μαθητευομένων ἐν τῇ Χριστιανικῇ εὐσεβείᾳ.

Γ) Κατὰ δὲ τὴν δευτέραν ἰδιότητα ἡ Χριστιανικὴ Θρησκεία, (δηλαδὴ ὅπως αὕτη ἐκφράζεται ἐν τῇ κοινωνίᾳ τῶν ἀνθρώπων τῶν ὁμολογούντων αὐτὴν, συνδέουσα αὐτοὺς εἰς ἕν ὅλον, καὶ μορφοῦσα τὴν Βασιλείαν τοῦ Θεοῦ, ἤτοι τὴν Ἐκκλησίαν), παρέχει τέλος τὸ *τρίτον* συστατικὸν μέρος τῆς Θεολογίας, τὴν *Ἐκκλησιαστικὴν Θεολογίαν*· Ἐπειδὴ δὲ ἐν τῇ Ἐκκλησίᾳ ἡ Θρησκεία ἐκφράζεται, ἢ ἐν τῇ εὐπρεπεῖ τάξει τῆς Ἐκκλησιαστικῆς ἀκολουθίας, δι' ἧς οἰκοδομεῖται καὶ τρέφεται τὸ εὐσεβὲς χριστιανικὸν αἴσθημα, ἢ ἐν τοῖς νόμοις καὶ θε-

σπίσμασι, δι' ὧν κυβερνῶνται τὰ μέλη αὐτῆς· διὸ ἐν τῇ Ἐκκλησιαστικῇ Θεολογίᾳ περιέχονται αἱ ἀκόλουθοι ἐπιστῆμαι.

1) *Ἡ διδασκαλία περὶ τῆς Ἐκκλησιαστικῆς ἀκολουθίας*, ἥτις ἔχει ἀντικείμενον *τὴν Ἱεροτελεστικὴν τάξιν τῆς Ὀρθοδόξου Ἐκκλησίας*, σκοπὸν δὲ τὴν ἐπίγνωσιν τῆς τάξεως αὐτῆς, καὶ ἰδίως τὴν *μόρφωσιν* τοῦ εὐσεβοῦς Χριστιανικοῦ *αἰσθήματος*. 2) Τὸ *Κανονικὸν Δίκαιον*, ὅπερ ἔχει ἀντικείμενον τὰ δικαιώματα, τοὺς νόμους καὶ τὰ θεσπίσματα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, σκοπὸν δὲ τὸν ὁρισμὸν τῆς *ἀμοιβαίας* σχέσεως τῶν μελῶν τῆς Ἐκκλησίας.

§ 24. *Ἐπιστῆμαι προσηρμοσμέναι.*

Αἱ προσηρμοσμέναι Ἐπιστῆμαι ἔχουσι θέμα τὴν διδασκαλίαν περὶ τῆς προσφορωτέρας χρήσεως τῆς ἁγιωτάτης Χριστιανικῆς Θρησκείας τοῦ Χριστοῦ πρὸς σωτηρίαν τῶν ἄλλων, ἡ μεταδιδομένης τῆς σωτηριώδους γνώσεως καὶ τῆς ἀγαθουργοῦ ἐνεργείας αὐτῆς ἐπὶ τῶν πιστευόντων, ἡ σωζομένης καὶ τηρουμένης αὐτῆς ἀπὸ τῶν ἀπίστων καὶ κακοδόξων, ἐξελεγχομένης τῆς πλάνης αὐτῶν. Ἐντεῦθεν

1) *Ἡ Ποιμαντορικὴ Θεολογία*, λαβοῦσα τὴν ἐπωνυμίαν ταύτην ἐκ τῶν προσώπων, οἷς ἀνατέθειται τὸ διδάσκειν τὴν Χριστιανικὴν Θρησκείαν πρὸς σωτηρίαν τῶν ἄλλων, οἵτινες καλοῦνται Ποιμένες. Ἡ Ἐπιστήμη δὲ αὕτη πρῶτον ἀναπτύσσει ἐν γένει τὴν διδασκαλίαν περὶ τοῦ Ποιμαντορικοῦ ἔργου τῶν Ποιμένων τῆς Ἐκκλησίας· *δεύτερον* δὲ τὰ διάφορα εἴδη τῆς Ποιμαντορικῆς διακονίας· ἀναπτύσσονται δὲ ἐνταῦθα

α) Κανόνες περὶ Ἐκκλησιαστικῆς ὁμιλίας (Ὁμιλητική.)

β) Κανόνες περὶ τῆς Ἱεροπραξίας (Λειτουργική).

γ) Κανόνες περὶ συνετῆς οἰκονομίας τοῦ ποιμνίου (Ποιμαντορικὴ παιδαγωγία)

2) *Θεολογία ἐλεγκτικὴ ἢ ἀπολογητικὴ Χριστιανική.* Αὕτη α) ὑπερασπίζει τὴν Χριστιανικὴν θρησκείαν κατὰ τῶν ἀπίστων ἐλέγχουσα τὴν πλάνην αὐτῶν. ἐντεῦθεν δὲ ἡ *Ἀπολογητικὴ τῆς Χριστιανικῆς πίστεως*· β) ὑπερασπίζει τὴν Ὀρθόδοξον Ἐκκλησίαν ἀπὸ τῶν κακοδόξων, ἐλέγχουσα τὴν πλάνην αὐτῶν. ἐντεῦθεν δὲ ἡ *Ἀπολογητικὴ τῆς Ὀρθοδόξου Ἐκκλησίας.*

5) Ἡ Μέθοδος τῆς Θεολογίας

§ 25. *Αἱ διάφοροι Μέθοδοι τῶν Θεολογικῶν Ἐπιστημῶν.*

Διττὴ ἡ μέθοδος ἐν τῇ Θεολογίᾳ· 1) ἡ μέθοδος τῆς ἐκθέσεως καὶ τῆς διδασκαλίας. 2) ἡ μέθοδος τῆς ἐκμαθήσεως· καὶ ἡ μὲν πρώτη διδασκάλων ἰδία, ἡ δὲ διδασκομένων.

§ 26. *Μέθοδος τῆς Ἐκθέσεως τῆς Θεολογίας.*

Ἡ μέθοδος τῆς ἐκθέσεως τῆς θεολογίας, διὰ τὴν διαφορὰν τῶν θεολογικῶν Ἐπιστημῶν, διάφορος καὶ αὕτη ἐστίν. ἔστι δε.

1) *Ἱστορική.* Αὕτη δὲ προσήκει μᾶλλον ταῖς προεισαγωγικαῖς ἐπιστήμαις, τουτέστι τῇ εἰσαγωγῇ τῆς Ἁγίας Γραφῆς τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ καὶ τῇ Πατρολογίᾳ· ἀλλ' ἀναγκαία ἅμα καὶ ἐν ταῖς λοιπαῖς ἐπιστήμαις, ὡς καὶ ἐν ταῖς συστατικαῖς αὐταῖς· διότι καὶ ἐν τῇ ἐκθέσει τῶν ἀληθειῶν τῆς Χριστιανικῆς θρησκείας ἀπαραίτητον τὸ ἀναθεωρεῖν αὐτὰς κατὰ τὴν χρονολογικὴν σειρὰν τῆς ἀποκαλύψεως αὐτῶν, καὶ τὰς περιστάσεις, καθ' ἃς αὗται ἀπεκαλύφθησαν καὶ καθ' ἃς ἀνεπτύχθησαν κατὰ διαφόρους χρόνους τῆς Ἐκκλησίας. Διότι οὕτω μόνον ὀρθῶς κατανοοῦνται.

2) *Μέθοδος ἐξηγητική.* Αὕτη ἰδιάζει μᾶλλον τῷ πρακτικῷ

τῆς ἑρμηνευτικῆς. ἀλλ' εὔχρηστος καὶ ἐν ταῖς συσταϊκαῖς ἐπιστήμαις· διότι πρὸς στερέωσιν τῶν Χριστιανικῶν ἀληθειῶν ἀναγκαία ἐστὶν ἡ πρέπουσα κατανόησις ἡ ἐξ ἑρμηνείας τοῦ θείου λόγου.

3) *Μέθοδος κριτικὴ ἢ ἐλεγκτική.* Αὕτη ἰδιάζει μᾶλλον τῇ Χριστιανικῇ Ἀπολογητικῇ, ἥτις ἐλέγχει καὶ ἀναιρεῖ τὰς πλάνας τῆς ἀπιστίας καὶ τῆς κακοδοξίας. Αἱ δὲ ἐπιστῆμαι, αἱ τῆς συστατικῆς Θεολογίας ἀναπτύσσουσι θετικῶς μᾶλλον τὰς ἀληθείας αὐτῶν, εἰ καὶ ἐπὶ τούτων γίνεται ἐν παρόδῳ μνεία καὶ ἐμμέσως ἀναιροῦνται ἀφ' ἑαυτῶν αἱ κυριώτεραι πλάναι. Ἁπάσαις ὅμως ταῖς Θεολογικαῖς ἐπιστήμαις ἀναγκαίως ἀνήκουσιν αἱ ἑπόμεναι μέθοδοι.

4) *Ἡ Συστηματικὴ μέθοδος*, ἥτις ἢ ἀναλυτικὴ, ἢ συνθετικὴ, ἢ καὶ ἀμφότερα ἐστίν.

α) Κατὰ ταύτην αἱ Θεολογικαὶ ἀλήθειαι ἐκτίθενται ἐν κανονικῇ τάξει, καὶ συναφείᾳ, ὅπως δύνηταί τις, ὡς ἀπό τινος περιωπῆς, καθορᾶν καὶ δι' ἑνὸς βλέμματος ὁλόκληρον τὸ σύστημα τῆς Θεολογίας, καὶ καθαρῶς τὴν ἀμοιβαίαν σχέσιν τῶν μερῶν πρὸς ἄλληλα.

β) Ἡ δὲ ἔκθεσις καθίσταται βάσιμος, στηριζομένη ἐπὶ βάσεων ἐξ ἀποδείξεων ἀναντιῤῥήτων καὶ ἀδιστάκτων, τὸ δὲ ὕφος τοῦ λόγου καθίσταται στερεὸν καὶ ἕδραῖον, ὅπερ μάλιστα προσήκει τῷ θεοπρεπεῖ οἰκοδομήματι της Θεολογίας. γ) ἐν ταύτῃ δὲ ἁπλότης καὶ σαφήνεια εὐκρινῶς καὶ σαφῶς ἀναλυομένων καὶ συντιθεμένων τῶν μερῶν· διότι, εἴ καὶ κατ' οὐσίαν πολλάκις ἀκατάληπτοι εἰσὶν αἱ χριστιανικαὶ ἀλήθειαι, ἀλλὰ κατὰ τὴν πρακτικὴν σχέσιν αὐτῶν σαφεῖς

5) *Μέθοδος Πρακτική.* Κατὰ ταύτην ἐντυποῦνται οὐ μόνον ἐν τῷ νῷ καὶ τῇ μνήμῃ τῶν μαθητῶν, ἀλλὰ μάλιστα ἐν τῇ καρδίᾳ αὐτῶν, δεικνυομένης ἅμα καὶ τῆς ἐφαρμογῆς αὐτῶν ἐν τῷ βίῳ· ἡ μέθοδος δ' αὕτη ἀπαιτεῖ. α) Ὅπως ἡ παράδοσις ᾖ ζωηρὰ πλήρης συμπαθείας καὶ ἀγάπης πρὸς τὰς χριστιανικὰς ἀληθείας, ὅπως ἐξέρχωνται οὐ μόνον

ἐκ τῶν χειλέων ἀλλὰ καὶ ἐκ τῆς καρδίας οἱ λόγοι· ἐμπνέηται δὲ ὁ λόγος τῆς ζωῆς οὐ μόνον τῇ ἀκοῇ, ἀλλὰ καὶ τῇ καρδίᾳ τῶν μαθητῶν· β) ἵνα ἐπὶ παραδόσεως γίνωνται ἠθικαὶ παραινέσεις καὶ νουθεσίαι, κατὰ τὴν ἰδιότητα καὶ τὸν προορισμὸν τῶν μαθητῶν, μάλιστα δὲ τῶν μελλόντων ποιμένων· γ) ὅπως προσέχῃ ὁ διδάσκων καὶ τὸ πνεῦμα τῆς ἐποχῆς καὶ τὸ τῶν μαθητῶν, τοῦ μὲν καλοῦ καὶ ἀγαθοῦ ἐπαινουμένου λαμπρῶς, τοῦ δὲ στρεβλοῦ καὶ κακοῦ κατακρινομένου πικρῶς, μάλιστα δὲ καὶ σφοδρῶς τῆς ἀδιαφορίας μὲν καὶ ψυχρότητος ἐν τῷ θεωρητικῷ, φιλαυτίας δὲ καὶ ἀδρανείας καὶ τοῦ Φαρισαϊκοῦ πνεύματος ἐν τῷ πρακτικῷ, διότι ταῦτα εἰσὶ τὰ ἐλαττώματα τοῦ ἡμετέρου αἰῶνος, ὡς ἡ πεῖρα διδάσκει.

§ 27. *Διδακτικὴ μέθοδος τῆς Θεολογίας.*

Καθ' ὅσον δ' ἀφορᾷ τὸν τρόπον τῆς παραδόσεως τῶν Θεολογικῶν ἐπιστημῶν παρατηρητέον τὰ ἀκόλουθα.

α) Ἐπειδὴ αὗται ἔχουσι κύριον θέμα τὰς θετικὰς ἀληθείας, ἃς ὀφείλει τις μανθάνειν, ὅπως ἐδόθησαν καὶ περιέχωνται ἐν τῇ Ἁγίᾳ Γραφῇ ἐν τῇ Ἐκκλησίᾳ καὶ Ἱστορίᾳ· διὰ τοῦτο καὶ ἡ παράδοσις αὐτῶν ὀφείλει γίνεσθαι ἰδίως κατὰ *μέθοδον ἀκροαματικήν*· δηλονότι ὁ διδάσκων ἐξηγεῖ αὐτὸς τὸ μάθημα κατὰ συνέχειαν, μὴ διακόπτων αὐτὸ δι' ἐρωτήσεων πρὸς τοὺς μαθητάς· ἀλλ' ἅμα ἀναπτύσσων αὐτὸ μᾶλλον κατὰ τοὺς κανόνας τῆς ἁπλῆς ζωηρᾶς καὶ οἰκιακῆς ὁμιλίας, ἢ κατὰ τοὺς τῆς ἀπαγγελίας· Ἀλλ' ἅμα,

β) Ἀπαιτῶν λόγον τῶν μαθημάτων παρὰ τῶν μαθητῶν ὁ διδάσκαλος, ἀναγκαίως μεταχειρίζεται τὴν *ἐρωτηματικὴν μέθοδον*, καθ' ἣν ἕκαστον μάθημα μετὰ τὴν ἐξήγησιν ἀναλύεται εἰς τὰ συστατικὰ αὐτοῦ μέρη καὶ μάλιστα εἰς τὰ κύρια αὐτοῦ ἄρθρα, ὥστε τοιουτοτρόπως οἱ μαθηταὶ ἔχουσιν ἀπόκρισιν πρὸς ἕκαστον ἰδιαίτερον ζήτημα καὶ πρὸς τὰ ἔχοντα σχέσιν πρὸς αὐτό.

§ 28. *Αἱ ἐλλείψεις, ἃς ὀφείλει φεύγειν τις κατὰ τὴν τῆς Θεολογίας διδασκαλίαν.*

Τηρουμένων τῶν προειρημένων μεθόδων ἐν τῇ ἀναπτύξει καὶ παραδόσει τῆς Θεολογίας, ἀναγκαῖον ὅπως φεύγῃ τις τὰ ἀκόλουθα ἐλλατιώματα· καὶ δή.

1) Τὴν ὑπερβάλλουσαν σχολαστικὴν μέθοδον, τουτέστι τὴν ξηρότητα, τὰς σκοτεινὰς ἐκφράσεις τὴν μονοτονίαν τοὺς σχολαστικοὺς ὅρους, τὰς διαλεκτικὰς λεπτότητας καὶ τὴν ἐκ τοῦ νοὸς πρὸς τὸν νοῦν λαλοῦσαν ἑρμηνείαν, πολὺ δὲ μᾶλλον τὴν χαλαρότητα καὶ τὴν ἀψυχίαν· διότι τοιαύτη παράδοσις φέρει ἀθυμίαν καὶ ψυχραίνει τὴν πρὸς τὴν ἀλήθειαν ἀγάπην, αἱδὲ ἁγιώταται ἀλήθειαι, αἵτινες ὀφείλουσι ζωογονεῖν καὶ ἐμψυχοῦν τοὺς μαθητὰς, ἐλαττοῦνται πολὺ τῆς δυνάμεως αὐτῶν, ἐνίοτε δὲ καὶ καθίστανται ὅλως ἄκαρποι.

2) Τὸ ὑπερβάλλον *φιλοσοφικὸν πνεῦμα*· τουτέστι διάθεσιν πρὸς τὸ κατασκευάζειν φιλοσοφικὰς θεωρίας ἐπὶ τῶν θεολογικῶν ἀληθειῶν· διότι οὕτω, κατατασσομένων τούτων ἐν τῇ σειρᾷ τῶν φιλοσοφημάτων ἀρχαίων καὶ νεωτέρων, γεννᾶται ἐν τῇ ψυχῇ τῶν μαθητῶν οὐχὶ ζῶσα καὶ ἐνεργὸς πίστις εἰς τὰς Θεολογικὰς ἀληθείας, ἀλλὰ πνεῦμα περιεργείας καὶ μόνον φιλοσοφικὴ πεποίθησις.

3) Τὸ ἄμετρον μυστικὸν πνεῦμα, ἤτοι τὴν διάθεσιν πρὸς τὸ εὑρίσκειν πανταχοῦ καὶ ἄνευ λόγου μυστικὴν ἔννοιαν· διότι οὕτω, παρεκτρεπόμενός τις ἀπὸ τοῦ ἁπλοῦ καὶ ὑγιοῦς λόγου, τρέφει μόνον τὴν φαντασίαν, μὴ παρατιθεὶς οὐσιώδη τροφὴν τῷ νῷ καὶ τῇ καρδίᾳ.

4) Τὸ ἄμετρον πολεμικὸν πνεῦμα τὸ ἐναντίον τῆς ἀνεξιθρησκείας· τουτέστι τὴν διάθεσιν πρὸς τὸ φιλονεικεῖν, οὐχὶ πρὸς σκοπὸν συνετίσεως, ἀλλὰ πρὸς κατάκρισιν τῶν ἑτεροδόξων, διὸ φευκτέον καὶ τὸ ἐλεγκτικὸν ὕφος τοῦ λόγου. Διότι τοῦτο ἀπάδει πρὸς τὴν χριστιανικὴν πραότητα, καὶ ἀπαγορεύεται ὑπὸ τοῦ Ἀποστόλου λέγοντος. *Δοῦλον δὲ Κυρίου οὐ δεῖ*

μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον· ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους (2 Τιμ. 2, 24. 25). Ἀλλ' οὐχ ἧττον φευκτέον καὶ τὸ ἐλάττωμα τὸ ἀκόλουθον.

5) Τὴν ἄμετρον *ἀνεξιθρησκείαν καὶ ἀδιαφορίαν* πρὸς τὴν ἀληθῆ πίστιν καὶ τὴν καθαρότητα αὐτῆς. Διότι τοῦτο ἐναντίον καὶ πρὸς τὸ φυσικὸν αἴσθημα τῆς ἀληθείας, μάλιστα δὲ ἀσύμφωνον πρὸς τὸν χριστιανικὸν ζῆλον, ὅστις ὀφείλει πληροῦν τὴν ψυχὴν τοῦ Θεολόγου ὑπὲρ τῆς Εὐαγγελικῆς ἀληθείας, εἰς δόξαν Θεοῦ καὶ σωτηρίαν ἰδίαν τε καὶ τῶν ἄλλων.

§ 29. *Μέθοδος τῆς ἐκμαθήσεως τῆς Θεολογίας.*

Ἡ μέθοδος τῆς ἐκμαθήτεως καὶ τῆς τῶν θεολογικῶν ἐπιστημῶν μελέτης ὁρίζεται ἐκ τοῦ σκοποῦ τῆς θεολογίας. Ἐπειδὴ δὲ ὁ σκοπὸς οὗτος ἐστὶν, καὶ ἡ ἐπίγνωτις τῆς σωτηρίου θρησκείας τοῦ Χριστοῦ, καὶ ἡ ἀπόδειξις αὐτῆς ἐν τῷ βίῳ πρὸς ἰδίαν σωτηρίαν καὶ τῶν ἄλλων, διὰ τοῦτο διττοὶ καὶ οἱ κανόνες, μαθητικοὶ καὶ πρακτικοί.

§ 30. *Κανόνες μαθητικοί.*

Οἱ κανόνες οὗτοι εἰσὶν οἱ ἀκόλουθοι.

1) Ἡ ταπεινὴ καὶ εὐλαβὴς ὑποταγὴ τοῦ νοὸς τῇ ὑπακοῇ τῆς πίστεως. Τοῦτο ἐστὶν ὁ θεμέλιος καὶ ἀκρογωνιαῖος λίθος, ἐφ' οὗ οἰκοδομεῖται ἡ ἀληθὴς θεολογικὴ γνῶσις, καὶ ἄνευ τούτου αὕτη ἀδύνατος. Διότι *ἡ γνῶσις*, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, μόνον *φυσιοῖ* (1 Κορ. 8, 1), ἀλλ' οὐκ οἰκοδομεῖ ἐν τῷ ἔργῳ τῆς θρησκείας· διότι πολλαὶ θεολογικαὶ ἀλήθειαι, ὡς ἀποκαλύψεις τοῦ θείου νοὸς, ὑπερβαίνουσι τὰ ὅρια τοῦ ἀνθρωπίνου νοὸς, διὸ κενόσπουδος καὶ μάλιστα ἀλαζὼν νοῦς οὐχ εὑρίσκει ἐν αὐταῖς τὸ ζητούμενον. Ἐν τοσούτῳ, τὰ ἀπὸ σοφῶν καὶ συνετῶν κεκρυμμένα μυστήρια ταῦ-

τα ἀποκαλύπτονται κατὰ τὸν λόγον τοῦ Σωτῆρος τοῖς νηπίοις (Ματθ. 11, 25), τουτέστι τοῖς δεχομένοις αὐτὰ μετ' ἐντελοῦς ὑπακοῆς, ἐν ἁπλότητι πιστευούσης καρδίας. Διὰ τοῦτο ὁ θέλων ἐπιτυχίαν εἰς ἐκμάθησιν τῆς Θεολογίας, ἐχέτω θεμέλιον οὐχὶ τὴν τοῦ λόγου πεποίθησιν, ἀλλὰ τὴν πίστιν, καὶ ἡ πίστις κατ' ὀλίγον μεταβληθήσεται εἰς λογικὴν πεποίθησιν. *Καὶ ἐὰν μὴ πιστεύσητε οὐδὲ μὴ συνῆτε*, κατὰ τὸν λόγον τοῦ Προφήτου (Ἡσ. 7, 9)

2) Βαθύτατον σέβας καὶ ἀγάπη πρὸς τὴν ἐπιστήμην καὶ θερμὸς ζῆλος πρὸς ἐκμάθησιν αὐτῆς. Διότι καὶ τοῦτο ἀναγκαῖος ὅρος εἰς ἐκμάθησιν πάσης ἐπιστήμης, πολλῷ δὲ μᾶλλον τῆς Θεολογίας· διότι τὰ ἀντικείμενα αὐτῆς εἰσὶν ὑψηλότατα, σπουδαιότατα καὶ σωτηριωδέστατα. Πρὸς δὲ τούτοις ὁ προορισμὸς τῶν μαθητῶν ἐστὶ σπουδαιότατος· διότι ἡ διακονία, πρὸς ἣν παρασκευάζονται, ἐστὶν ἱερά, ὑψηλὴ καὶ σωτήριος.

3) Ἡ μετὰ προσοχῆς ἀκρόασις τῶν μαθημάτων καὶ στερέωσις αὐτῶν ἐν τῇ μνήμῃ, μετὰ πάσης ἀκριβείας, ἐντελείας καὶ συναφείας. Ἡ ὠφέλεια τούτου ἐστὶ καταφανής. Ἀλλὰ πρὸς οἰκείωσιν καὶ στερεὰν ἐκμάθησιν τῶν μαθημάτων, ἐκτὸς τῆς συνήθους μελέτης, ἀπαιτεῖται καὶ ἰδιαιτέρα ἐργασία, διὰ τοῦτο ἀναγκαῖα πρὸς τούτοις.

4) Ἡ ἀνάγνωσις τῆς Ἁγίας Γραφῆς, ἰδίως τῆς Καινῆς Διαθήκης, καὶ μάλιστα πολλάκις καὶ μετὰ προσοχῆς· διότι οὕτω μόνον καὶ τὸ γράμμα καὶ τὸ πνεῦμα τῆς Ἁγίας Γραφῆς ἐντυποῦνται, καὶ οὕτω τίθεται στερεὰ βάσις τῆς ἀληθοῦς Θεολογίας. Ἐπίσης ἡ ἀνάγνωσις τῶν Πατέρων τῆς Ἐκκλησίας. διότι αὕτη παρέχει καθαρὰν ἐπίγνωσιν τῶν ἀληθειῶν τῆς θρησκείας καὶ καθίστησι τὴν ἰδέαν στερεὰν καὶ βάσιμον, πρὸ πάντων δὴ πλουτίζει τὸν μέλλοντα Ποιμένα τῆς Ἐκκλησίας ἀληθοῦς Ποιμαντορικοῦ πνεύματος. Πρὸς τούτοις ἡ ἀνάγνωσις τῶν βίβλων τῆς ἀκολουθίας· διότι αὕτη περιέχει καλὰς ἰδέας πρὸς κατανόησιν πολλῶν Θεολογικῶν ἀληθειῶν, καὶ πλὴν

τούτου οἰκειοῖ τοὺς μέλλοντας διακόνους τῆς Ἐκκλησίας ἑαυτῇ τε καὶ τῷ πνεύματι καὶ τῇ τάξει τῶν Ἱερῶν Ἀκολουθιῶν. Πρὸς τούτοις ἡ ἀνάγνωσις τῶν Ἱεροκηρύκων· Τοῦτο ἐστὶν ὠφέλιμον κήρυξι τοῦ Εὐαγγελίου πρὸς μόρφωσιν ἑαυτῶνεἰς τὸ κήρυγμα. Ἀναγκαία ἅμα ἡ ἀνάγνωσις τῶν βίων τῶν Ἁγίων Πατέρων· αὕτη πλουτίζει τὸν νοῦν ἀναγκαίων παραδειγμάτων πρός τε χειραγωγίαν τῶν μαθητῶν καὶ πρὸς διδαχάς.

Πρὸς ταῦτα προσθετέον.

5) Διάλογον περὶ τῶν τῆς θρησκείας· διότι ἐν αὐτῷ ἄριστα ἀσκεῖται ὁ νοῦς καὶ τὸ δῶρον τοῦ λόγου. Καὶ ὁ μὲν νοῦς πλουτίζεται διὰ νέων ἰδεῶν, καὶ κατορθοῖ εὐστροφίαν καὶ ὀξύτητα περὶ τὸ συλλογίζεσθαι, ἡ δὲ γλῶσσα ἕξιν περὶ τὸ ὁμιλεῖν καλῶς καὶ αὐτοσχεδίως. Οὐχ ἧττον δὲ αὐξάνει καὶ τὸ θρησκευτικὸν αἴσθημα· διότι τρέφεται καὶ αὔξει ἐν διαλόγοις.

6) Σκέψιν ὅτι δὲ ἐκ ταύτης ὠφέλεια ἀναντίῤῥητον. Διότι, ὡς διὰ τῆς ἀσκήσεως καθίσταται εὐτράπελον τὸ σῶμα. οὕτω καὶ ὁ νοῦς. μάλιστα δὲ χρήζει σκέψεως ὁ Θεόλογος· διότι τὰ περὶ τὴν θρησκείαν εἰσὶ γονιμώτατα τῷ νῷ καὶ τῇ καρδίᾳ ὑπὲρ πᾶσαν ἄλλην ἐπιστήμην.

7) Ἄσκησιν ἐν τῷ γράφειν. Τοῦτο δὲ τὰ μάλιστα συντελεῖ εἰς στερέωσιν ἐν τῇ μνήμῃ τῶν ἀληθειῶν, μάλιστα δὲ ἀναγκαῖον τοῖς μέλλουσι διδάσκειν τὰς ἀληθείας ταύτας.

§ 32. *Κανόνες* Πρακτικοί.

Οἱ Πρακτικοὶ κανόνες, οἱ πρὸς ἐπιτυχεστέραν καρποφορίαν ἐν τῇ σπουδῇ τῆς Θεολογίας, εἰσὶν οἱ ἑπόμενοι.

1) Ζωηρὰ καὶ καθαρὰ ἀναπαράστασις τοῦ σκοποῦ τῆς Θεολογίας καὶ γνώμη πρὸς ἐπίτευξιν αὐτοῦ· Διότι ἡ ἰδέα, ὅτι συνεργοῦμεν εἰς ἰδίαν ἡμῶν σωτηρίαν καὶ τὴν τῶν ἄλλων, ὀφείλει κατακυριεύειν διὰ παντὸς καὶ ζωογονεῖν τὸν σπουδάζοντα τὴν Θεολογίαν καὶ κανονίζειν τὰς σπουδὰς καὶ τὸν βίον αὐτοῦ, ἐξάπτειν δὲ καὶ τὸν ζῆλον πρὸς ἐπιμέλειαν.

2) Βαθυτάτη προσοχὴ ἑαυτῷ καὶ ἐπαγρύπνησις ἐπὶ τῆς ἰδίας ψυχῆς, ἐπὶ τῶν ἕξεων αὐτῆς καὶ τοῦ χαρακτῆρος. Διότι ἡ νεανικὴ ἡλικία ἐστὶ κρίσιμος, καὶ ἐν ταύτῃ αἱ ἅπαξ ῥιζωθεῖσαι ἕξεις αἱ ἀγαθαὶ, εἴτε κακαὶ, μεταβάλλονται πολλάκις εἰς φύσιν καὶ παγιοῦται ὁ χαρακτὴρ. Ὥστε ἀσυγχώρητον τὸ ἀμελεῖν καὶ μὴ φροντίζειν, ὅπως τὸ μέγα τοῦτο ἔργον τοῦ βίου ἡμῶν, τουτέστιν ἡ ἀνάπτυξις καὶ ἡ στερέωσις τοῦ χαρακτῆρος, γίνηται ὑπὸ τὴν εὐεργετικὴν ἐπενέργειαν τῆς Θεολογίας ἐν καιρῷ τῶν σπουδῶν ἡμῶν.

3) Ἐπιμελὴς τήρησις τῆς συνειδήσεως ἐν τῇ ἀθωότητι, καὶ καθαρότητι τῆς καρδίας, κἂν τοῦτο ἀπατῇ μεγάλους πόνους καὶ πολὺν ἀγῶνα. Διότι ἐκ τῆς νεαρᾶς ἤδη ἡλικίας ὀφείλει ἕκαστος ἀσκεῖν ἑαυτόν· διότι τοῦτο τὸ οὐσιῶδες γνώρισμα τοῦ Χριστιανικοῦ βίου· πρὸς τούτοις εἰς *κακότεχνον πικρὰν ψυχήν*, κατὰ τὸ ῥῆμα τοῦ Σοφοῦ, *οὐκ εἰσέλθῃ ἡ σοφία*, καὶ μόνον *οἱ καθαροὶ τῇ καρδίᾳ*, κατὰ τὴν διδαχὴν τοῦ Χριστοῦ Σωτῆρος, τὸν Θεὸν *ὄψονται* (Ματ. 5; 8). Καὶ τοῦτο ἐστὶ τὸ σπουδαιότερον ἔργον ἐν τῇ ἐπιστήμῃ ταύτῃ. Διότι ἐν μὲν ταῖς ἄλλαις ἐπιστήμαις ἀπαιτοῦνται μεγάλα φυσικὰ δῶρα, αὐστηρὰ μνήμη, ὀξεῖα κρίσις, ἀγχίνοια· ἐν δὲ τῇ Θεολογίᾳ πρὸ πάντων ἡ ἀγαθότης καὶ ἡ καθαρότης τῆς καρδίας. Τοῦτο δὲ καταφαίνεται ἐκ τοῦ παραδείγματος τῶν ἀρχαίων Ἀσκητῶν, ὧν τινες, ἄνευ μαθήσεως, διὰ μόνης τῆς ὁδοῦ τοῦ εὐσεβοῦς βίου, εἰσέδυον εἰς τὸ βάθος τῶν θεολογικῶν γνώσεων.

4) Πρὸς τὸ καθῆκον τοῦτο ἀντιβαίνουσιν οὐ μόνον βαρέα ἁμαρτήματα, ἅτινα καταστρέφουσι τὰ φυσικὰ πλεονεκτήματα καὶ ἀποδιώκουσι τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, ἀλλὰ καὶ ἡ ἀκηδία καὶ ἡ κουφότης τοῦ νοὸς, τὰ συνήθη ἐλαττώματα τῆς νεότητος. Διότι ἡ μὲν ἀκηδία γεννᾷ ἐν τῇ καρδίᾳ κενὸν, ἀθυμίαν ἀποστροφὴν ἀπὸ τῶν σπουδαίων ἀσχολιῶν, πολλῷ δὴ μᾶλλον τῆς Θεολογίας, ἡ δὲ κουφότης τοῦ νοὸς συνεπάγει πλῆθος ὀλεθρίων ἐπακολουθημάτων.

5) Παραιτέρω ἀναγκαῖον, ὅπως αὔξῃ τις παντὶ σθένει, καρτρέφῃ ἐν ἑαυτῷ τὸ εὐσεβὲς αἴσθημα τοῦ χριστιανισμοῦ, ὅπερ ζωογονεῖ τὴν θεολογικὴν σπουδήν· ἀλλὰ πρὸς τοῦτο ἄριστον μέσον ἐστὶν ἡ κατὰ τὸ δυνατὸν συνεχὴς φοίτησις εἰς τὸν ναὸν τοῦ Κυρίου καὶ ἡ ἀκρόασις τῶν Θείων Ἀκολουθιῶν. Ὁ χρόνος δὲ οὗτος ὀφείλει εἶναι τῷ Θεολόγῳ ἢ μᾶλλον εὐφροσύνος ἀνάπαυσις. Πλὴν δὲ τούτου τῷ μέλλοντι Ποιμένι τῆς Ἐκκλησίας ἀναγκαῖον τοῦτο· διότι μανθάνει τὴν Ἐκκλησιαστικὴν τάξιν καὶ ἀκολουθίαν, καὶ ἐθίζει ἑαυτὸν ἐγκαίρως πρὸς ταύτην. Πρὸς τούτοις ἀναγκαῖον, ὅπως λαμβάνῃ μέρος ἐνεργὸν ἐν ταῖς Ἱεραῖς Ἀκολουθίαις εἴτε ψάλλων κτλ.

6) Τέλος πάντα ταῦτα ὀφείλει ἐπισφραγίζειν καὶ τελειοῦν ἡ *προσευχή*. Πρὸς ταύτην δεῖ προσέρχεσθαι συνεχέστερον πάντων, καὶ ἐκ ταύτης πρὸ πάντων ἀναμένειν ἐπιτυχίαν. Καὶ ἐπ' αὐτῶν τῶν θεολογικῶν μαθημάτων χρὴ προσέχειν καὶ ἀσχολεῖσθαι οὐκ ἄλλως, εἰμὴ ἐν εὐλαβείᾳ καὶ καταστάσει προσευχομένου. Διότι ἀναμνηστέον πάντοτε, ὅτι ὁ μόνος ἀληθὴς διδάσκαλος τῆς Θεολογίας ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· Αὐτὸς οὗτος, κατὰ τὴν ἀψευδῆ ἐπαγγελίαν, διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, διδάσκει τοὺς μαθητὰς αὐτοῦ *πᾶσαν τὴν ἀλήθειαν* καὶ δίδωσι *Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως* ἐν ἐπιγνώσει Αὐτοῦ (Ἐφεσ. I, 17). Ἀλλ' ἵνα ἀκούωμεν τὴν φωνὴν τοῦ μυστικοῦ τούτου καὶ ἀγαθουργοῦ Διδασκάλου, πρὸς τοῦτο ὑπάρχει ἓν μόνον μέσον ἡ ἐνδελεχὴς καὶ ἔνθερμος προσευχή. Αὕτη μόνη καὶ κινεῖ εἰς ἀπαγγελίαν τῶν ἁγίων μαθημάτων καὶ διανοίγει τὴν πνευματικὴν ἀκοήν. Ἄνευ δ' αὐτῆς ἅπασαι αἱ παραινέσεις τῶν διδασκάλων ὀλίγον ὠφελοῦσιν. Ὅτι δὲ ὠφελεῖ ἡ προσευχὴ τῷ Κυρίῳ ἐν τῷ ἔργῳ τούτῳ, δῆλον· διότι ἡ ἐκμάθησις τῆς Θεολογίας ἔχει σκοπὸν τὴν δόξαν τοῦ ὀνόματος Αὐτοῦ.

ΔΟΓΜΑΤΙΚΗ

ΘΕΟΛΟΓΙΑ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν. Ῥωμ. 12, 3.

ΕΙΣΑΓΩΓΗ

ΕΙΣ ΤΗΝ ΔΟΓΜΑΤΙΚΗΝ ΘΕΟΛΟΓΙΑΝ.

---

§ 1. *Ὁρισμὸς τῆς Δογματικῆς Θεολογίας.*

Δογματικὴ Θεολογία ἐστὶν ἡ Ἐπιστήμη ἡ ἐκτιθεῖσα ἐν συστηματικῇ καὶ πλήρει ταξει τὰ δόγματα, εἴτε ἐν γένει τὰς θεωρητικὰς χριστιανικὰς ἀληθείας, καὶ χειραγωγοῦσα τὸν χριστιανὸν, πῶς δεῖ πιστεύειν εἰς δικαιοσύνην καὶ ὁμολογεῖν εἰς σωτηρίαν τὴν πίστιν.

§ 2. *Τὸ θέμα αὐτῆς.*

Θέμα τῆς Δογματικῆς Θεολογίας, ὡς φαίνεται ἐκ τῆς περὶ αὐτῆς ἐννοίας, εἰσὶ τὰ *Δόγματα τῆς χριστιανικῆς πίστεως*· Δόγματα δὲ κυρίως (1), κατὰ τὴν χρῆσιν τῆς λέξεως ταύτης παρὰ τοῖς Πατράσι τῆς Ἐκκλησίας, καλοῦνται τοιαῦται ἀλήθειαι, αἵτινες α) ἀποτελοῦσι τὸ θεωρητικὸν τῆς χριστιανικῆς πίστεως. β) Ὡρίσθησαν καὶ ὁμολογοῦνται ἐπὶ τῇ βάσει τῆς θείας Ἀποκαλύψεως, καὶ τῆς κοινῆς τῆς Οἰκουμενικῆς Ἐκκλησίας φωνῆς· καὶ γ) εἰσὶν ἀπαραίτητοι ἑκάστῳ χριστιανῷ, ὅπως τηρῇ τὴν μετὰ τῶν ἀληθῶν χριστιανῶν κοινωνίαν.

---

(1) Δόγμα, ἐκ τοῦ δοκέω, κατὰ γράμμα σημαίνει γνώμην, διδασκαλίαν, ὅρον, ἀπόφασιν.

Οἱ ἅγιοι Πατέρες τῆς Ἐκκλησίας συνήθως ὀνομάζουσιν αὐτὰ δόγματα Θεοῦ, Χριστοῦ, Ἀποστολικά, Ἐκκλησιαστικά, τῆς εὐσεβείας, ὑγιᾆ, ὀρθά, τῶν Πατέρων, σωτήρια, χριστιανικά, Ἐκκλησιαστικὴν σώζουσαν ὁμολογίαν, καινὰς ἐννοίας. Ἐν τοιαύτῃ σημασίᾳ τὰ δόγματα α) διακρίνονται τῶν πρακτικῶν χριστιανικῶν ἀληθειῶν, ἤτοι τῶν κανόνων τοῦ βίου καὶ τῆς χριστιανικῆς ἐνεργείας, ὡς καὶ τῶν ἄλλων ἀληθειῶν, ἤτοι τελετουργικῶν, ἱστορικῶν καὶ τῶν τοιούτων, τῶν περιεχομένων μέν ἐν τῇ θείᾳ ἀποκαλύψει, ἀλλὰ μὴ ἀφορώντων τὴν χριστιανικὴν διδασκαλίαν τῆς πίστεως. Διακρίνονται ὡσαύτως τῶν ἰδιαιτέρων γνωμῶν διδασκάλων τινῶν τῆς Ἐκκλησίας περὶ τῶν τῆς πίστεως, αἵτινες μὲν ἐκυρώθησαν ὑπὸ τῆς Οἰκουμενικῆς Ἐκκλησίας, καὶ διὰ τοῦτο ἀδιάφορος ἡ παραδοχὴ αὐτῶν ἢ μή (1).

β) Ἀντικεινται ταῖς γνώμαις τῶν ἀπιστούντων ἢ ταῖς κακοδοξίαις καὶ κατακεκριμέναις ὑπὸ τῆς Οἰκουμενικῆς Ἐκκλησίας, ὡς καὶ ταῖς καινοτομίαις ἀνθρωπίνης σοφίας.

§. 3. Τὸ γνῶσις καὶ ὁ ἐσωτερικὸς χαρακτήρ.

Ἐκ τῆς τοιαύτης ἐννοίας περὶ τῆς Δογματικῆς Θεολογίας καταφαίνεται τὸ κύριον χρέος τῆς ἐπιστήμης ταύτης. Καὶ δή, ἐπειδὴ τὰ δόγματα τῆς πίστεως εἰσὶν ἀλήθειαι ὑπὸ τοῦ Θεοῦ ἀποκεκαλυμμέναι, ὁρισθεῖσαι καὶ ἑρμηνευθεῖσαι ὑπὸ τῆς Οἰκουμενικῆς Ἐκκλησίας· διὰ τοῦτο οὐδεὶς ἔχει δικαίωμα, οὔτε συντιθέναι καινὰ δόγματα, οὔτε κινεῖν τὰ ἀρχαῖα, συντιθεὶς αὐτὰ ἄλλως πως καὶ ἑρμηνεύων κατὰ τὸ δοκοῦν. Ἆρα καὶ ἡ δογματικὴ θεολογία οὐδὲν ἕτερον ἐρεῖλει, ἢ ἀκολουθοῦσα ἁπαρα-

(1) Τοιαύτη π. χ. ἡ γνώμη τῶν Πατέρων, ὅτι ὁ παράδεισος, ἐν ᾧ ἦσαν οἱ πρωτόπλαστοι, δὲν εἶχεν ἐπὶ τῆς γῆς, ἀλλ' ἐν οὐρανῷ, καὶ ὅτι ἐν τῷ ἀνθρώπῳ εἶναι τρία συστατικὰ μέρη, καὶ τὰ τοιαῦτα

τρέπτως τῇ πίστει τῶν ἐκλεκτῶν Θεοῦ καὶ ἐπιγνώσει ἀληθείας τῆς κατ' εὐσέβειαν, ὡς λέγει ὁ Ἀπόστολος (Τίτ. 1, 1)· α) παραδιδόναι μόνον τὰ δόγματα, ἅτινα τηρεῖ ἐπὶ τῇ βάσει τῆς θείας ἀποκαλύψεως ἡ Ἐκκλησία· β) πάντα ὅσα τηρεῖ· γ) ἀκριβῶς ταῦτα, καταδεικνύουσα τὰς βάσεις, ἐφ' ὧν ἕκαστον δόγμα στηρίζεται, ἵνα τοιουτοτρόπως στηρίζῃ τὴν ὀρθὴν πίστιν τῶν μανθανόντων, καὶ διδάξῃ αὐτοὺς, πῶς τῇ καρδίᾳ πιστεύειν εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖν εἰς σωτηρίαν τὴν ἑαυτῶν πίστιν (Ῥωμ. 10, 10). Ἐν τούτῳ δὲ συνίσταται ὁ οὐσιώδης χαρακτὴρ τῆς ἀληθοῦς Δογματικῆς Θεολογίας τουτέστιν ἡ Ὀρθοδοξία. Πᾶν δὲ τὸ ἀνόμοιον τούτοις καὶ ἡ ἀποπλάνησις ἀπὸ τῆς πίστεως τῶν ἐκλεκτῶν τοῦ Θεοῦ καὶ τῆς ἐπιγνώσεως τῆς ἀληθείας τῆς κατ' εὐσέβειαν εἰς αὐθαίρετα καὶ σοφιστικὰ ἐπινοήματα τῆς ψευδωνύμου γνώσεως ἐπαιρομένης κατὰ τῆς γνώσεως τοῦ Θεοῦ (2 Κορ. 10, 5) πρὸς τὴν κενὴν ἀπάτην κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, καὶ οὐ κατὰ Χριστὸν (Κολ. 2, 8), ταῦτα πάντα ἐστὶ κακοδοξία, αἵρεσις, σχίσμα, ἡ δὲ ἐπιστήμη ἡ τοιαῦτα ἐν ἑαυτῇ ἔχουσα, οὐκ ἔστιν ἀληθῶς χριστιανικὴ Δογματική.

§ 4. *Αἱ ὑποτυπώσεις τῆς ὀρθοδόξου ὁμολογίας.*

Ἵνα δὲ τὸ ὑποδειχθὲν χρέος τῆς Δογματικῆς Θεολογίας πληρωθῇ ἐπιτυχέστερον καὶ καθαρὸς ὁ χαρακτὴρ τῆς ὀρθοδοξίας ἐγχαραχθῇ, ἀναγκαῖον ἵνα ἔχωμεν πρὸ ὀφθαλμῶν *ὑποτύπωσιν ὑγιαινόντων λόγων*, ὡς λέγει ὁ Ἀπόστολος (2 Τιμ. 1, 13), πρὸς χειραγωγίαν διηνεκῆ καὶ κριτήριον ἀσφαλές. Τοιαύτη δὲ ὑποτύπωσις ὑγιαινόντων λόγων ἐστὶν ἡμῖν τὸ τῆς *Νικαίας καὶ Κωνσταντινουπόλεως* Σύμβολον τῆς πίστεως, ἤτοι ἡ συνοπτικὴ ἔκθεσις τῶν δογμάτων τῆς πίστεως, συνταχθεῖσα ἐν τῇ Α΄. καὶ Β΄. Οἰκουμενικαῖς Συνόδοις, καὶ παραδεδειγμένη ἔκτοτε εἰς γενικὴν χρῆσιν παρ' ἁπάσῃ τῇ Ἐκ-

κλησίᾳ καὶ πάντοτε καὶ πανταχοῦ ἔχουσα ἀναντίῤῥητον κῦρος. Διότι ἐν αὐτῇ ἐκφράζεται ἅπαν τὸ πνεῦμα τῆς ὀρθοδόξου πίστεως, καὶ μάλιστα ὡς ἐπὶ τὸ πλεῖστον δι' αὐτῶν τῶν λέξεων τῆς Ἁγίας Γραφῆς, ἐπὶ τῇ ζάπτει τῆς ἱερᾶς Παραδόσεως καὶ ἐκ μέρους τῆς Οἰκουμενικῆς Ἐκκλησίας. Ἀλλ' ἐπειδὴ ἐν τῇ ὑποτυπώσει τοῦ ἤ τῆς πίστεως δόγματά τινα φανερῶς οὐ περιέχονται ἀλλὰ μόνον προϋποτίθενται, ἢ ἐξάγονται ἐξ αὐτῆς, ἡ δὲ Δογματικὴ Θεολογία χρέος ἔχει παραδιδόναι τὰ δόγματα τῆς πίστεως πληρέστατα καὶ λεπτομερῆ, διὰ πρὸς τῇ κυρίᾳ χειραγωγίᾳ τοῦ Συμβόλου τούτου, ἀναγκαῖαι καὶ αἱ λοιπαὶ λεπτομερέστεραι ὑποτυπώσεις τῆς πίστεως εἶον

1) *Τὸ Ἀποστολικὸν Σύμβολον*, τὸ γνωστὸν ἐπὶ βαθυτάτῃ ἀρχαιότητι, καὶ κατὰ παράδοσιν ἐξ αὐτῶν τῶν Ἁγίων Ἀποστόλων τὴν ἀρχὴν ἔχον.

2) *Τὸ Σύμβολον τοῦ Ἁγίου Γρηγορίου Νεοκαισαρείας*, γραφὲν κατὰ θείαν ἀποκάλυψιν ὑπὸ τοῦ θεοφωτίστου τούτου ἀνδρός, καὶ μετ' ἐξ χου ακριβείας ἀναπτύσσον τὴν περὶ τῆς Ἁγίας Τριάδος διδασκαλίαν.

3) *Τὸ Σύμβολον τοῦ Ἁγίου Ἀθανασίου τοῦ Μεγάλου* τὸ ἀναπτύσσον μετὰ πολλῆς λεπτομερείας τὰ δόγματα τῆς Ὑπεραγίας Τριάδος καὶ τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως.

4) *Οἱ δογματικοὶ ὅροι τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων*, ἐν οἷς ὡρίσθησαν τὰ περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ Ἁγίου Πνεύματος δόγματα, τὰ περὶ τῶν δύω φύσεων ἐν Χριστῷ Ἰησοῦ, περὶ αἰωνιότητος τῶν ἐκάνων, περὶ τοῦ σεβασμοῦ τῶν Ἁγίων, καὶ τῆς τιμῆς τῶν εἰκόνων.

5) *Οἱ δογματικοὶ ὅροι τινῶν τοπικῶν Συνόδων*, παραδεδεγμένοι ἐπίσης ἐν τῇ Οἰκουμενικῇ Ἐκκλησίᾳ π. χ. ὁ ὁρισμὸς τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κατὰ τῆς αἱρέσεως τοῦ Σαβελλίου καὶ Παύλου τοῦ Σαμωσατέως, τῆς ἐν Καρθαγένῃ καὶ Λαοδικείᾳ περὶ τοῦ κανόνος τῶν Ἁγίων βίβλων καὶ τὰ τούτοις ὅμοια.

6) Ἐνταῦθα δὲ ἀνήκουσιν αἱ ὁμολογίαι τῆς πίστεως καὶ αἱ ἐγκύκλιοι ἐπιστολαὶ τινῶν Ἁγίων Πατέρων, ἀναγνωσθεῖσαι καὶ ἐγκριθεῖσαι ὑπὸ τῆς Οἰκουμενικῆς Ἐκκλησίας, ὡς καὶ τὰ δογματικὰ συγγράμματα ἐκείνων, οἵτινες ὁμοφώνως πρὸ ἁπάσῃ τῇ Ἐκκλησίᾳ ἀνεκηρύχθησαν Οἰκουμενικοὶ Διδάσκαλοι καὶ στύλοι τῆς Ὀρθοδοξίας, οἷοι εἰσὶν ὁ ἅγιος Ἀθανάσιος ὁ Μέγας, ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος, ὁ ἅγιος Βασίλειος ὁ Μέγας, ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος καὶ ἄλλοι· ἰδίως δὲ ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς, ὅστις κατέλιπεν ἡμῖν τὴν πρώτην ὑποτύπωσιν τῆς Δογματικῆς Θεολογίας, ὡς ἐπιστήμης, ἐν τῇ ἑαυτοῦ ἐκθέσει ἀκριβεῖ τῆς ὀρθοδόξου πίστεως.

7) Τέλος μετὰ τὰς οἰκουμενικὰς ταύτας ὑποτυπώσεις τῆς πίστεως ὠφέλιμόν ἐστιν ἐν τῇ Δογματικῇ Θεολογίᾳ, ὅπως χειραγωγῶνται τις ὑπὸ τῶν ἑπομένων ἔτι συμβολικῶν βιβλίων, ἅτινα ἀνήκουσιν ἰδίως τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ. Ταῦτα δὲ εἰσίν.

α) *Ἡ Ὀρθόδοξος ὁμολογία τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας* Πέτρου τοῦ Μογίλα Μητροπολίτου Κιέβου, ἥτις ἀνεθεωρήθη, ἐνεκρίθη καὶ ἐπεκυρώθη ὑπὸ τῶν Οἰκουμενικῶν Πατριαρχῶν καὶ ἄλλων Ἑλλήνων Ἱεραρχῶν, καὶ περιέχει ἐν ἑαυτῇ κατηχητικὴν ἔκθεσιν τοῦ Συμβόλου τῆς πίστεως, καὶ τοῦ Δεκαλόγου, ὡσαύτως καὶ διδασκαλίαν περὶ τῶν Εὐαγγελικῶν μακαρισμῶν καὶ τῆς κυριακῆς προσευχῆς.

β) *Ἡ Ἐπιστολὴ τῶν Πατριαρχῶν τῆς Ἀνατολικῆς Καθολικῆς Ἐκκλησίας περὶ τῆς Ὀρθοδόξου πίστεως*, ἥτις ἐγράφη πρὸς τὴν Ἀγγλικὴν Ἐκκλησίαν τὸ 1723 ἔτος, συνίσταται δ' ἐκ 18 ἄρθρων μετὰ προσθήκης τινῶν ἐρωτήσεων καὶ ἀποκρίσεων, καὶ ἀποδοκιμάζει, ὡς ἐπὶ τὸ πλεῖστον, τὰς συγχρόνους πλάνας τῶν Λουθηρανῶν καὶ Καλβινιστῶν.

γ) Ἡ κατ' ἔκτασιν *Χριστιανικὴ Κατήχησις τῆς Ὀρθοδόξου Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας*, ἐκδιδομένη τῷ ὁρισμῷ τῆς Ἁγιωτάτης Συνόδου καὶ τῇ ὑψηλοτάτῃ διατα-

γή πρὸς διδασκαλίαν ἐν ταῖς σχολείοις καὶ χρῆσιν πάντων τῶν ὑποθεσέων Χριστιανῶν.

§ 8. Ἡ μέθοδος.

Κατὰ τὰς ἀναπτυχθείσας μέχρι τοῦδε ἰδέας ἡ μέθοδος τῆς λαμπρατικῆς Θεολογίας συνίσταται ἐν τούτῳ, ὅτι α) ἀνάγει εἰς συστηματικὴν τάξιν τὰ ὄντα ἀδρομερῆ τοῦ λαμπράτου· εἶτα β) γενομένης ἀναπτύξεως ἑκάστου τῶν λαμπράτων ἐκφράζει αὐτὰ οὕτως, ὡς τυποῖ ἡ Ἁγία Γραφή, ἀφαιροῦσα μάλιστα τὰ, ὅσα ἀναγκαίαν τοῦτο, αὐτὰς τὰς λέξεις ἐκείνης γνωστὰς ὑποστυμίσεως τῆς πίστεως, εἴτε συμβολικῶν βιβλίων. γ) Ἀσκεῖται τὰ μάλιστα τὴν Ἁγίαν Γραφήν, ἐξ' ἧς ἀντλεῖται τὰ λάμπρα, ἀναλύουσα εἰς τὰ συστατικὰ μέρη, ἀντιβάλλουσα καὶ ἑρμηνεύουσα, ὅσον ἀναγκαῖον, κατ' αὐτὴν τὴν ἀρχαιότητα τῶν ξυνόδων καὶ τῶν συγγραμμάτων τῶν Πατέρων, καὶ λύουσα τὰς ἀπορίας. Ἐπεὶ δὲ ἡ ἐνότης τῶν λαμπράτων τῆς πίστεως εἶναι ζωτικὴ καὶ ὀργανική, ἀναγκαῖον, ὅπως διατηρῇ τὴν χρῆσιν αὐτῶν ἐν τῇ χριστιανικῇ διδασκαλικῇ πράξει τὸν πίστιν ἐν τῇ θεωρητικῇ πορείᾳ εἰς τὴν ζωὴν καὶ πρακτικὴν χάριν τῆς πορείας (1).

§ 9. Ἡ σχέσις τῆς λαμπράτου πρὸς τὴν θεραπευτικὴν πρὸς τὴν λαμπρατικὴν Θεολογίαν.

Ἵνα πᾶσα τὰ πολυτιμότατα λάμπρατα τῆς χριστιανικῆς πίστεως συνδέσωμεν εἰς ἓν τι ὅλον, καὶ οὕτω συναρμολογήσωμεν τὴν ἐπιστήμην τῆς λαμπρατικῆς Θεολογίας διὰ μιᾶς ἰ-

(1) Τὴν τελευταίαν σχέσιν λαμπρατικοῦ εἴδους καὶ τῆς διαπλάσεως τῶν λαμπράτων θεωρεῖ ἡ παρελθοῦσα ἐποχὴ σωματικῶς ἐπιβλαβῶς διὰ μόνον διὰ τὸ σχῆμα τῶν λόγων τῶν διδασκαλικῶν βιβλίων.

δέας, πρὸς τοῦτο ἀνάγκη ἵνα γινώσκωμεν, τί ἰδίως τὸ συνιστὰν τὴν οὐσίαν καὶ τὸ κύριον θέμα τῆς διδασκαλίας τῆς Χριστιανικῆς πίστεως. Ἐν τῇ Ἁγίᾳ Γραφῇ τοῦτο καλεῖται α) ἐπίγνωσις τοῦ μόνου ἀληθινοῦ Θεοῦ καὶ τοῦ ἀποσταλέντος ὑπ' αὐτοῦ Ἰησοῦ Χριστοῦ. *Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσίσε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν*(Ἰωαν. 17, 3) β) Ἐπίγνωσις τοῦ *Μυστηρίου τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ Χριστοῦ, τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ· εἴτε τῆς πολυποικίλου σοφίας τοῦ Θεοῦ, ἣν προώρησεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν* (Κολ. 2, 3 Ἐφεσ. 3, 9. 10. 1 Κορ. 2, 7). γ) Ὁ Ἰησοῦς Χριστὸς ἐν συντόμῳ ἐξεικονίζει τὸ θέμα τῆς διδασκαλίας αὐτοῦ, ὀνομάζων αὐτὴν κήρυγμα περὶ τῆς Βασιλείας τοῦ Θεοῦ(Ματ. 4, 17. 10, 7. Μαρ. 1, 14). Ἐνουμένων δὲ τῶν ἐκφράσεων τούτων τῆς Ἁγίας Γραφῆς καταφαίνεται τὸ κύριον θέμα τῆς διδασκαλίας τῆς χριστιανικῆς πίστεως καὶ ἑπομένως ἡ θεμελιώδης ἰδέα τῆς Δογματικῆς Θεολογίας, ἥτις συνδέει πάντα τὰ δόγματα· ἔστι δὲ «διδασκαλία περὶ τοῦ ἑνὸς ἀληθινοῦ Θεοῦ Πατρὸς, Υἱοῦ καὶ Ἁγίου Πνεύματος καὶ περὶ τῆς Θείας Αὐτοῦ Οἰκονομίας, ἤτοι τῆς πολυτρόπου σοφίας, τῆς φανερωθείσης ἐν τῷ οἰκοδομήματι τῆς Βασιλείας τοῦ Θεοῦ·

§ 7. *Συστατικὰ μέρη.*

Ἐντεῦθεν ὁρίζονται αὐτὰ καθ' ἑαυτὰ δύο κύρια συστατικὰ μέρη τῆς Δογματικῆς Θεολογίας.

Μέρος ά. Διδασκαλία περὶ τοῦ ἐν Τριάδι Θεοῦ.

Μέρος β'. Διδασκαλία περὶ τῆς θείας Οἰκονομίας.

Τὸ πρῶτον τῶν μερῶν τούτων ἐστὶ κύριον καὶ θεμελιῶδες,

ἐστίν, οὕτως εἰπεῖν, ἡ κατ' ἐξοχὴν Θεολογία, ἡ ἀρχὴ καὶ κορυφὴ τῆς Θεολογίας· τὸ δεύτερον ἐστὶ Θεολογία ἐρημωσαμένη θεωροῦσα τὸν Θεὸν ἐν ταῖς ἐνεργείαις αὐτοῦ ἐπὶ τοῦ Κόσμου ἤτοι τῆς Βασιλείας τοῦ Θεοῦ (1).

§ 8. *Τὸ σπουδαῖον τῆς δογματικῆς Θεολογίας.*

Ἡ Δογματικὴ Θεολογία ἐστὶν ἡ σπουδαιοτάτη πασῶν τῶν Θεολογικῶν ἐπιστημῶν. Διότι

α) Ἐν τοῖς δόγμασιν ἰδίως περιέχεται ἡ Φύσις καὶ ἡ οὐσία τῆς ἁγιωτάτης Θρησκείας τοῦ Χριστοῦ τῆς ἐξ ἀποκαλύψεως, ἡ δὲ χριστιανικὴ ἠθικὴ ἐστὶ συνέπεια τῶν δογμάτων, ἡ δὲ ἱερὰ ἀκολουθία ἐστὶν ἔκφρασις τῶν αὐτῶν δογμάτων ἐν ὁρατοῖς σημείοις καὶ πράξεσιν, αἱ δὲ λοιπαὶ ἐπιστῆμαι τῆς Θεολογίας, ἢ παρέχουσιν ὕλην τῇ Δογματικῇ, ἢ ἀσχολοῦνται εἰς τὴν ἑρμηνείαν τῶν δογμάτων ἐν τῷ βίῳ. Διὰ τοῦτο

β) Μὴ γινώσκοντες τὰ δόγματα καὶ μὴ ἔχοντες πίστιν εἰς αὐτά, οὐ δυνάμεθα γινώσκειν καὶ μαθεῖν πᾶσαν τὴν χριστιανικὴν θρησκείαν καὶ ἐπομένως οὐδὲ μετασχεῖν τῶν ἐκ ταύτης ἀγαθῶν. Διότι π. χ. ἡ δικαίωσις καὶ ἡ σωτηρία τοῦ ἀνθρώπου ἐξαρτᾶται, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, ἐκ τῆς ἐγκαρδίου πίστεως καὶ τῆς διὰ στόματος ὁμολογίας τῶν δογμάτων τοῦ Εὐαγγελίου· *καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν* (Ῥωμ. 10, 10). Πρὸς τούτοις μὴ γινώσκοντες τὰ δόγματα καὶ μὴ ἔχοντες πίστιν, ἢ κακῶς γινώσκοντες καὶ μὴ ἔχοντες ὀρθὴν καὶ σταθερὰν πίστιν, οὐ δυνάμεθα εἶναι ἀληθεῖς χριστιανοί· διότι οὕτω οὐδὲ τὴν ἀπαιτουμένην γνῶσιν τῶν χριστιανικῶν καθηκόντων ἔχομεν,

---

(1) Οὕτω συνήθως διῄρουν τὴν περὶ τῶν δογμάτων διδασκαλίαν καὶ οἱ ἀρχαῖοι Πατέρες τῆς Ἐκκλησίας, π. χ. Γρηγόριος ὁ Θεολόγος· ἴδε τὸν εἰς τὸ Ἅγιον Πάσχα Λόγον αὐτοῦ. 45.

οὐδὲ τὸ ἀναγκαῖον ἱλαστήριον εἰς ἐκπλήρωσιν αὐτῶν, ὧν ἄνευ ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ, λέγει ὁ Ἀπόστολος (Ἑβρ. 11, 6). Διὰ τοῦτο

γ) Ἡ Ἁγία Ἐκκλησία, παραδεχομένη ἐν τοῖς κόλποις αὐτῆς νέα μέλη, πρὸ πάντων ἀπαιτεῖ παρ' αὐτῶν γνῶσιν τῶν δογμάτων καὶ ὁμολογίαν τῆς πίστεως, καὶ τότε ἀνεχομένη ἐν τοῖς κόλποις αὐτῆς τοὺς παραβάτας μόνον τῶν ἐντολῶν, ἀφορίζει ὅμως τοὺς ἀπίστους καὶ κακοδόξους, ὡς νεκρὰ καὶ σαπρὰ μέλη. Ὥστε σπουδάσωμεν μαθεῖν τὴν Δογματικὴν Θεολογίαν μετ' ἐπιμελείας, ἐξαιρέτου καὶ προσοχῆς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΤΗΣ ΔΟΓΜΑΤΙΚΗΣ

ΘΕΟΛΟΓΙΑΣ.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

§ 9. *Τὸ περιεχόμενον καὶ ἡ διαίρεσις.*

Τὸ πρῶτον μέρος τῆς Δογματικῆς Θεολογίας περιέχει ἐν ἑαυτῷ τὴν διδασκαλίαν περὶ τοῦ ἐν Τριάδι Θεοῦ. Τὸ δὲ οὐσιῶδες τῆς διδασκαλίας ταύτης περιλαμβάνεται ἐν τοῖς ἑπομένοις λόγοις τοῦ Συμβόλου τοῦ Ἁγίου Ἀθανασίου Ἀλεξανδρείας « Πίστις δὲ Καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα Θεὸν ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι σέβωμεν, μήτε συγχέοντες τὰ πρόσωπα (ὑποστάσεις) μήτε τὴν οὐσίαν διαιροῦντες. » Ἐντεῦθεν ἡ περὶ τοῦ ἐν Τριάδι Θεοῦ διδασκαλία σύγκειται ἐκ δύω τμημάτων. Τὸ μὲν 1) ἐκ τῆς διδασκαλίας περὶ τοῦ ἑνὸς Θεοῦ κατ' οὐσίαν. Τὸ δὲ 2) ἐκ τῆς διδασκαλίας περὶ τῶν τριῶν προσώπων τῆς ὑπεραγίας Τριάδος.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ

Διδασκαλία περὶ τοῦ ἑνὸς Θεοῦ κατ' οὐσίαν.

§ 10. *Ἡ ἀλήθεια τῆς ὑπάρξεως τοῦ Θεοῦ*

Πρώτη καὶ θεμελιώδης ἀλήθεια πασῶν τῶν ἀληθειῶν καὶ πάσης γνώσεως ἐστὶν, ὅτι ἐστὶ Θεὸς ὕψιστον ἀτελεύτητον καὶ

τελειότατον Ὄν, ἐν ᾧ ζῶμεν, καὶ κινούμεθα καὶ ἐσμὲν (Πράξ. 17, 28), καὶ ἐξ οὗ τὸ πᾶν ἐξαρτᾶται. Ἡ δὲ πεποίθησις αὕτη ἑδράζει ἐπὶ ἀκραδάντων καὶ ἕδραίων βάσεων. Διότι

α) Τὴν περὶ τοῦ Ὑψίστου τούτου Ὄντος ἰδέαν ὁ ἄνθρωπος φέρει ἐν τῷ βάθει τῆς ψυχῆς αὐτοῦ· δι ὅτι, ἔμφυτος οὖσα τῷ νοΐ καὶ καταφαινομένη ἐν τῇ ἀγάπῃ τῆς ἀληθείας, τοσοῦτον οὐσιώδης ἐστὶ τῷ ἀνθρώπῳ, ὥστε καὶ γνώρισμα τοῦ νοητικοῦ τῆς ψυχῆς ὑπάρχει· διότι ἄνευ τῆς περὶ Θεοῦ ἰδέας ὁ νοῦς οὐ κατανοεῖ, οὔτε ἑαυτὸν, οὔτε τὰ ἄλλα τὰ περὶ αὐτόν. Ταύτην κηρύττει καὶ ἡ συνείδησις, ἥτις ἐν ὀνόματι τοῦ Ὑψίστου Ὄντος ὑπαγορεύει τῷ ἀνθρώπῳ τὸ ἀγαθὸν, καὶ ἀπαγορεύει τὸ κακὸν, καὶ ἐπιδοκιμάζει μὲν καὶ ἀμείβει τὸ πρῶτον, κατακρίνει δὲ καὶ καταδικάζει τὸ δεύτερον, καὶ οὕτω καθίστησι τὸν ἄνθρωπον ἠθικόν. Ταύτην αἰσθάνεται καὶ ἡ καρδία, ἥτις, μὴ ἀρκουμένη μηδενὶ πεπερασμένῳ, ἐν μόνῳ τῷ Θεῷ τῷ Ὑψίστῳ καὶ ἀπείρῳ ἀγαθῷ ζητεῖ τὴν ἀνάπαυσιν καὶ μακαριότητα αὐτῆς.

β) Ὁ Κόσμος διὰ τῆς ὑπάρξεως, τάξεως, καὶ καλλονῆς, καὶ ὅλος, καὶ ἐν τοῖς καθέκαστα, πανταχοῦ καταδείκνυσι τὰ ἴχνη τῆς πανσόφου καὶ παντοδυνάμου χειρὸς τοῦ Δημιουργοῦ καὶ Προνοητοῦ Θεοῦ, ὅστις τὰ πάντα ἐποίησε καὶ τὰ πάντα τηρεῖ, καὶ οὐδενὸς ἄνευ, ὡς οὐδὲν προῆλθεν, οὕτως οὐδὲ ὑπάρχειν δύναται.

γ) Ἡ εἰς Θεὸν πίστις καὶ τὸ αἴτημα τῆς ἐξ Αὐτοῦ ἐξαρτήσεως εἰσὶ σύγχρονα τῷ ἀνθρωπίνῳ γένει, ὑπάρχον διὰ πάντων τῶν αἰώνων παντταχοῦ καὶ παρὰ πᾶσι, καὶ ἡ ἔκφρασις αὐτῶν ἐν τῇ λατρείᾳ τοῦ Ὑψίστου τούτου Ὄντος, ἥτοι ἡ *Θρησκεία*, ἀείποτε ὑπῆρχεν ὁ θεμέλιος λίθος πασῶν τῶν ἀνθρωπίνων κοινωνιῶν, περιστιτμένων τε καὶ μή, ἀγρίων τε καὶ ἡμέρων.

δ) Τέλος ἡ Ἁγία Γραφὴ ἀποκαλύπτει τὴν ἀλήθειαν τῆς ὑπάρξεως τοῦ Θεοῦ ἐν ταῖς πρώταις αὐτῆς λέξεσιν, κηρύττουσα τὸν Θεὸν, Παντοδύναμον Ποιητὴν τοῦ Παντὸς. *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν.* (Γεν. 1, 1).

Περαιτέρω δὲ καὶ ἀλλαχοῦ ἀποκαλύπτει πάντοτε τὰ ἴχνη τῆς θείας Προνοίας διὰ πολυτρόπων ἀποκαλύψεων καὶ ἀναριθμήτων εὐεργεσιῶν τοῦ Θεοῦ τοῖς ἀνθρώποις. Μάλιστα δ' ἐν τῇ Ἁγίᾳ Γραφῇ ἡ ἀλήθεια αὕτη παρίσταται τοσοῦτον γνωστὴ καὶ οἰκεία τῷ ἀνθρώπῳ, ὥστε οὐδ' ἀποδείξεων χρήζει εἰς στήριξιν ταύτης· διότι μόνον ὁ ἄφρων, καὶ μάλιστα καὶ αὐτὸς ἐν τῇ καρδίᾳ αὐτοῦ δύναται μόνον διστάζειν περὶ αὐτῆς. *Εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός* (ψαλ. 13, 1).

§ 11. *Τὸ ἀκατάληπτον τῆς οὐσίας τοῦ Θεοῦ.*

Τί δὲ ἐστὶ Θεός; Αἱ μὲν ἄλλαι ἐπιστῆμαι ἄρχονται ὁρίζουσαι τὸ θέμα αὐτῶν, ἡμεῖς δὲ ὀφείλομεν ἄρχεσθαι ἀποδεικνύντες μόνον βαθυτάτην εὐλάβειαν ἐνώπιον τοῦ ἀτελευτήτου θέματος τῆς ἐπιστήμης ἡμῶν καὶ ταπεινῶς ὁμολογοῦντες, ὅτι Αὐτῷ οὐδεὶς ὅρος· ὥστε ἡ πρώτη περὶ Θεοῦ ἐπίγνωσις, μετὰ τὴν περὶ τῆς ὑπάρξεως Αὐτοῦ, ἐστὶν ὅτι ἀκατάληπτος. *Μὴ ἴχνος Κυρίου εὑρήσεις; ἢ εἰς τὰ ἔσχατα ἀγίκου, ὃν ἐποίησεν ὁ Παντοκράτωρ; ἰδοὺ ὁ ἰσχυρὸς πολὺς, καὶ οὐ γνωσόμεθα* (Ἰὼβ 36, 26· 11, 7). *Φῶς οἰκεῖ ἀπρόσιτον, Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται* (Τιμ. 6, 16). Μάλιστα δὲ καὶ αὐταῖς ταῖς ἀνωτέραις πνευματικαῖς δυνάμεσι, κατὰ τὸν Ἅγιον Γρηγόριον τὸν Θεολόγον, ἀκατάληπτος ἡ οὐσία τοῦ Θεοῦ (1). αἴτιον δὲ τούτου αὐτὴ ἡ ἄπειρος οὐσία τοῦ Θεοῦ καὶ φύσις· διότι εἰ Θεὸς ὑπάρχει ἀδιστάκτως, ὑπάρχει οὐχὶ ἄλλως, εἰμὴ ὡς οὐσία ἄπειρος. Τὸ ἄπειρον δ' ἐπαύστατ' ἂν εἶναι ἄπειρον, εἰ τῷ πεπερασμένῳ καταληπτὸν ἦν. ἦν γὰρ ἂν ἡ κατάληψις περιορισμός τις.

§ 12. *Τὸ ἀναγκαῖον τῆς περὶ τοῦ Θεοῦ ἐπιγνώσεως.*

Ἐν τούτοις, εἰ καὶ ὁ Θεὸς ἐστὶν ἀκατάληπτος ἡμῖν ἐν τῇ

(1) Λόγος 38. καὶ 40.

Αὐτοῦ οὐσία, ἀλλ' οὐχ ἧττον Αὐτὸς ἐστὶ τὸ θέμα τῆς ἐπιγνώσεως ἡμῶν, καὶ μάλιστα τὸ πρώτιστον καὶ ἀναγκαιότατον. Διότι ἡ ἐπίγνωσις τοῦ Θεοῦ ἐστίν, α) τὸ ἱερώτατον χρέος τοῦ ἀνθρώπου. Διότι ὁ Θεὸς ἐστὶν ὁ Ποιητὴς, Κύριος, Προνοητὴς καὶ ὑπέρτατος εὐεργέτης τοῦ ἀνθρώπου *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν*, κατὰ τοὺς λόγους τοῦ Ἀποστόλου (Πράξ. 17, 28). Πῶς δὲ οὐκ ὀφείλει γινώσκειν τοῦτο τὸ Ὄν ὁ ἄνθρωπος ὅστις ἔλαβε παρ' Αὐτοῦ τὸ δῶρον τοῦ γνωστικοῦ; β) Αὐτὸς ἐστὶ τὸ *Ὕψιστον ἀγαθὸν* τοῦ ἀνθρώπου. *Αὕτη δ' ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν*, λέγει ὁ Σωτὴρ ἡμῶν (Ἰωάν. 17, 3). Διὰ δὲ τῆς λέξεως ζωὴ σημαίνεται ἐνταῦθα ἐντελὴς ἐπάρκεια πάσαις ταῖς ὑψηλοτέραις ἀνάγκαις καὶ ῥοπαῖς τῆς ἀνθρωπίνου ψυχῆς, καὶ δὴ ἡ ζωὴ τοῦ νοὸς, ἡ ζωὴ τῆς θελήσεως, ἡ ζωὴ τῆς καρδίας. Διότι ἄνευ τῆς ἐπιγνώσεως τοῦ Θεοῦ αἴρεται καὶ ἡ ζωὴ αὕτη τῆς ψυχῆς, οὔτε ἀληθείας τῷ νοΐ ἑνούσης, οὔτε ἀγαθοῦ τῇ θελήσει, οὔτε μακαριότητος τῇ καρδίᾳ· *Ὁ Θεὸς ἐστὶν ἡ πηγὴ τῆς ζωῆς τῷ πνεύματι ἡμῶν* (Ψαλ. 35, 10).

§. 13. *Τὸ δυνατὸν τῆς ἐπιγνώσεως τοῦ Θεοῦ.*

Εἰ δὲ ἀναγκαία ἡ ἐπίγνωσις τοῦ Θεοῦ, ἀναμφιβόλως καὶ δυνατή. Δυνατὴ δὲ ἡ τοῦ Θεοῦ ἐπίγνωσις α) κατὰ φυσικὸν τρόπον· καὶ β) ἐξ ἀποκαλύψεως.

§ 14. *Ὁ φυσικὸς τρόπος τῆς Θεογνωσίας*

Ὁ φυσικὸς τρόπος τῆς Θεογνωσίας ἐστὶν ὁ δωρηθεὶς τῷ ἀνθρώπῳ ὑπὸ τοῦ Θεοῦ κατ' αὐτὴν τὴν δημιουργίαν τοῦ ἀνθρώπου, καὶ περιέχεται, τὸ μὲν ἐν τῇ ἐσωτερικῇ αὐτοῦ φύσει, ἐν τῇ εἰκόνι δηλονότι καὶ ὁμοιώσει τοῦ Θεοῦ, δι' ἧς ἐκοσμήθη ἡ ψυχὴ αὐτοῦ, καὶ καθ' ἣν ὁ νοῦς αὐτοῦ ὀργὴ εἰς τὴν ὑψίστην

ἀλήθειαν τὸν Θεόν. Τὸ δὲ ἐν τῇ ἐξωτερικῇ φύσει, τῇ περιστοιχούσῃ τὸν ἄνθρωπον, ἐν ᾗ, ὡς ἔν τινι μεγάλῃ βίβλῳ, διὰ σαφῶν καὶ ζωηρῶν γραμμάτων κηρύττονται πανταχοῦ αἱ ἄπειροι τελειότητες τοῦ Δημιουργοῦ καὶ Προνοητοῦ Θεοῦ. Περὶ τοῦ τρόπου δὲ τούτου τῆς θεογνωσίας, διὰ τῆς ἐσωτερικῆς καὶ ἐξωτερικῆς φύσεως, ὅστις ἦν ἐφικτὸς τῷ ἀνθρώπῳ καὶ ἄνευ ἀποκαλύψεως, καὶ δι' οὗ ὄντως πολλοὶ τῶν ἐθνικῶν σοφοὶ ἐκτήσαντο γνώσεις τινὰς περὶ Θεοῦ ἀληθεῖς, λέγει ὁ Ἀπόστολος Παῦλος. *Τὸ γνωστὸν τοῦ Θεοῦ, φανερὸν ἐστὶν ἐν αὐτοῖς* (τουτέστιν ἐν τοῖς ἐθνικοῖς)· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε. *Τὰ γὰρ ἀόρατα Αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος Αὐτοῦ δύναμις καὶ θειότης.* (Ῥωμ. 1, 19. 20). Ὥστε δι' αὐτὸ τοῦτο οἱ ἐθνικοὶ, οἱ μὴ γνόντες διὰ τοῦ τρόπου τούτου τὸν Θεὸν, ὡς λέγει ὁ αὐτὸς Ἀπόστολος, εἰσὶν ἀναπολόγητοι (1).

§ 15. *Τὸ ἀνεπαρκὲς τοῦ φυσικοῦ τρόπου τῆς Θεογνωσίας.*

Ἐν τούτοις, ἀπ' αὐτῶν τῶν χρόνων τῆς πτώσεως τοῦ ἀνθρώπου, ὁ φυσικὸς τρόπος τῆς θεογνωσίας κατέστη λίαν ἀνεπαρκὴς πρὸς ἀληθῆ καὶ πλήρη θεογνωσίαν. Διότι ἡ βλάβη εἰσεχώρησεν εἰς ἅπασαν τὴν φύσιν τοῦ ἀνθρώπου, ἐπεσκότισεν ἐν αὐτῷ τὸν χαρακτῆρα τῆς εἰκόνος τοῦ Θεοῦ, τὸν νοῦν καὶ τὴν θεοχάρακτον ἐν αὐτῷ ἰδέαν περὶ Θεοῦ, καὶ ἀπεμάκρυνεν αὐτὸν ἀπὸ τῆς ἀληθείας εἰς τὸ ψεῦδος καὶ τὴν πλάνην. Τοῦτο δὲ ἀ-

---

(1) Χειραγωγούμενος ὑπὸ τοῦ φυσικοῦ τούτου τρόπου τῆς Θεογνωσίας ὁ νοῦς ἡμῶν ἀνυψοῦται πρὸς αὐτὴν (Θεογνωσίαν), ὡς συνήθως λέγουσι, διὰ τριῶν ὁδῶν. 1) διὰ τῆς ὁδοῦ τοῦ αἰτίου (via causalitatis) ἀποδιδομένων τῷ Ποιητῇ τῶν τελειοτήτων, τῶν ἐν τοῖς κτίσμασι (ὡς π. χ. ψαλ. 93, 9). 2) Διὰ τῆς ὁδοῦ τῆς ἀρνήσεως (via negationis), αἱρομένων τῶν ἀτελειῶν τῶν κτισμάτων ἀπὸ τοῦ Ποιητοῦ (ὡς π. χ. Ἀριθ. 23, 19). 3) Διὰ τῆς ὁδοῦ τῆς ὑπεροχῆς (via eminentiae), ἀνυψουμένων τῶν τελειοτήτων τοῦ Θεοῦ εἰς ἄπειρον βαθμόν.

ναμφιβόλως βεβαιοῖ ἡμᾶς ἡ ἱστορία. Διότι αἱ περὶ Θεοῦ ἰδέαι τῶν ἀφεθέντων ταῖς ἰδίαις δυνάμεσι ἐν τῷ ἔργῳ τῆς Θεογνωσίας εἰσὶ δύω εἰδῶν. α) ἡ κοιναὶ, β) ἡ φιλοσοφικαί. Καὶ αἱ μὲν κοιναὶ ἰδέαι ἦσαν καθ' ἅπαντας τοὺς χρόνους παντοῖαι καὶ ἀντιφάσεων πλήρεις, ἅμα δὲ ὅλως ἀτελεῖς καὶ παράλογοι. Διότι ἡ περὶ τοῦ ἑνὸς Θεοῦ ἰδέα σχεδὸν ἀπώλετο παρὰ τοῖς ἀρχαίοις λαοῖς καὶ ἀντικατέστησε ταύτην ἡ πίστις εἰς πολλοὺς θεοὺς (πολυθεΐα). Ἐθεοποίουν δὲ παντὸς εἴδους δημιουργήματα, ὥστε, ὡς καλῶς εἰπέ τις, τὸ πᾶν ἦν αὐτοῖς θεὸς, πλὴν τοῦ ἑνὸς Θεοῦ (1). Καὶ οἱ μὲν ἀπεδίδων θείαν τιμὴν τοῖς φωστῆρσι τοῦ Οὐρανοῦ, (ἀστρολατρεία) οἱ δὲ ἐθεοποίουν τὰ στοιχεῖα καὶ τὰ προϊόντα τῆς γῆς (κτιστολατρεία), ἕτεροι τὰ κτήνη, τὰ θηρία καὶ τὰ ἑρπετὰ (ζωολατρεία)· οἱ δὲ διαπρέψαντας ἀνθρώπους ἐπ' ἔργοις εἴτε εὐεργεσίαις, εἴτε κακουργίαις (ἀνθρωπολατρεία)· ἕτεροι τὰ ἀγαθὰ ἢ κακὰ πνεύματα (δαιμονολατρεία· ἕτεροι ἀφῃρημένας ἰδέας ἐν συμβολικαῖς εἰκόσι, τὴν δόξαν, τὴν εὐτυχίαν, τὸν πλοῦτον, τὴν ἀρετὴν, μάλιστα δὲ καὶ πολλὰ πάθη καὶ ἐλαττώματα. Οἱ δὲ μᾶλλον πεφωτισμένοι λαοὶ τῆς ἀρχαιότητος, οἱ Ἕλληνες καὶ Ῥωμαῖοι, εἶχον μίγμά τι διαφόρων εἰδῶν εἰδωλολατρείας, καὶ τὸ κυριώτερον εἶδος ἦν ἡ ἀποθέωσις τῶν ἀνθρώπων, ἤτοι τοῦ Διὸς μετὰ τῶν ὑποκειμένων αὐτῷ Θεῶν. Οὗτοι δὲ ἦσαν ἀσεμνώτατα καὶ αἰσχρὰ ὄντα, προσωποποιηθέντα πάθη καὶ ἐλαττώματα, ὡς ἐξεικονίζουσιν αὐτοὺς αὐτοὶ οἱ ἐθνικοὶ συγγραφεῖς (1). Ἐπειδὴ δὲ ἐκ τῆς περὶ Θεοῦ ἰδέας ἐξαρτᾶται ἐν τῇ θρησκείᾳ ἡ λατρεία καὶ ἡ ἠθικὴ τῶν ἀνθρώπων, διὰ τοῦτο τὰ θρησκευτικὰ ἔθιμα καὶ αἱ τελεταὶ παρὰ τοῖς ἐθνικοῖς ἦσαν εἰς ἄκρον παράλογα, δεισιδαίμονα, ἄσεμνα, πολλάκις δὲ ἀπάνθρωπα καὶ θηριώδη, ὡς π. χ. ἡ θυσία τῶν ἀνθρώπων. Τὰ δὲ ἤθη τῶν λαῶν ἀγο-

(1) Ὁ Bossuétes.

(1) Ὁ Ὅμηρος δ' Ὀβίδιος ἐν ταῖς μεταμορφώσεσιν αὐτοῦ.

μένων ὑπὸ τοῦ παραδείγματος τοιούτων ψευδῶν θεῶν, ἦσαν ὄντως ἀκόλαστα καὶ ἐκλελυμένα. 6) Αἱ περὶ Θεοῦ ἰδέαι τῶν σοφῶν καὶ φιλοσόφων, εἰ καὶ κατά τι καθαρώτεραι, ἀλλ' οὐχ ἧττον καὶ αὐταὶ πολὺ ἀτελεῖς, ἀσύμφωνοι καὶ πολλάκις στρεβλαὶ ἦσαν. Μαρτυρεῖ δὲ ἡ ἱστορία τῆς Φιλοσοφίας βεβαιοῦσα, ὅ,τι ὁ Κικέρων εἶπεν· «οὐδεὶς παραλογισμός, ὃν οἱ φιλόσοφοι οὐκ ἐδίδαξαν.» Καὶ δὴ τῶν ἐθνικῶν σοφῶν τῆς ἀρχαιότητος, οἱ μὲν ὡς ἐπὶ τὸ πλεῖστον παρεδέχοντο τὰς δόξας τοῦ λαοῦ, ἢ προσέθεντο νέας πλάνας. Οἱ δὲ περιέπεσον εἰς πανθεϊσμὸν δοξάζοντα τὰ πάντα Θεόν· ἄλλοι δὲ εἰς ὑλισμόν, ἀρνούμενον τὴν ὕπαρξιν παντὸς τοῦ πνευματικοῦ· ἄλλοι δὲ εἰς τὸν δυϊσμὸν διδάσκοντα δύο ἀρχάς, τὴν τοῦ ἀγαθοῦ καὶ τὴν τοῦ κακοῦ· ἄλλοι δὲ εἰς ἀμφιβολίαν περὶ παντὸς καὶ εἰς ἀθεΐαν. Τῶν δὲ σοφῶν οἱ ἄριστοι, εἰ καὶ ἀνυψώθησαν εἰς ὀρθοτέρας καὶ ἀνωτέρας ἰδέας, ἀλλὰ καὶ οὗτοι ἐταλαντεύοντο καὶ ἐδίσταζον καὶ ὡμολόγουν εἰλικρινῶς τὸ ἀνίσχυρον τῶν ἰδίων δυνάμεων ἐν τῷ ἔργῳ τῆς Θεογνωσίας, καὶ τὸ ἀναγκαῖον ἀνωτέρας βοηθείας (1). Εἰδὲ οἱ νεώτεροι σοφοὶ καυχῶνται, ὅτι ὁ νοῦς νῦν τελειότερος καὶ ἱκανὸς ἰδίαις δυνάμεσι ἀρκούντως γινώσκειν τὸν Θεόν, τοῦτο ὅλως ψευδές· διότι ἐκεῖνοι τῶν νεωτέρων φιλοσοφοῦσιν ἄμεινον, ὅσοι ἐρανίζονται τὰς ἰδέας αὐτῶν ἐκ τῆς Ἀποκαλύψεως, οἱ δὲ λοιποὶ καὶ οἱ ἐπιφανέστεροι αὐτοὶ ἐπαναλαμβάνουσι τὰς αὐτὰς πλάνας τῆς ἀρχαιότητος μόνον κατὰ καινοπρεπῆ τρόπον (μάλιστα οἱ παρθεϊσταί). Οὕτω λοιπὸν ἡ πεῖρα καὶ ἡ ἱστορία σαφῶς δικαιοῦσιν, ὅ,τι περὶ τῶν ἐθνικῶν εἶπεν ὁ Ἅγιος Ἀπόστολος Παῦλος. γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν, *ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φάσκοντες εἶναι σο-*

(1) Πλάτ. Ἀλκ. 13.

φοι, ἐματαιώθησαν. Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν (Ρωμ. 1, 21-23).

§ 16. Τρόποι τῆς Θεογνωσίας ὑπερφυσικοί.

Οὕτω λοιπὸν τὸ δυνατὸν τῆς ἐπιγνώσεως τοῦ Θεοῦ ἀπαιτεῖ ἑτέραν, βεβαιοτέραν βάσιν, καὶ δὴ τὴν κατὰ ὑπερφυσικὸν τρόπον ἐπίγνωσιν τοῦ Θεοῦ. Ὁ τρόπος δ' οὗτος ἐδωρήθη ἡμῖν, καὶ ἐστὶν ἡ ἀποκάλυψις τοῦ Θεοῦ, πρῶτον διὰ τῶν προφητῶν, εἶτα δι' αὐτοῦ τοῦ ἐνσαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ Πνεύματος τοῦ Ἁγίου. Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ (Ἑβρ. 1, 1. 2). Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο (Ἰωαν. 1, 18). Οἴδαμεν δὲ ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ (Ἰωαν. 5, 20). Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος Αὐτοῦ. Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ (1 Κορ. 2, 10).

§ 17. Ἰδιότητες τῆς ἀποκεκαλυμμένης Θεογνωσίας.

Ἡ περὶ Θεοῦ γνῶσις, μεταδιδομένη ἡμῖν διὰ τοῦ ὑπερφυσικοῦ τρόπου τῆς ἀποκαλύψεως ὑπὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐστὶ α) ἀληθὴς καὶ ἀψευδής. Διότι ὁ Ἰησοῦς Χριστὸς λέγει περὶ ἑαυτοῦ· Ἐγώ εἰμι ἡ ἀλήθεια (Ἰωαν. 14, 6), ὡς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον τὸ λαλῆσαν διὰ τῶν προφητῶν καὶ τῶν Ἀποστόλων ἐστὶ Πνεῦμα τῆς ἀληθείας (Ἰωαν. 14, 17.) Ἐν δὲ τῇ πηγῇ τῆς ἀληθείας ἀπορρέει μόνον ἀλήθεια.

β) Ἔστιν ἐντελὴς καὶ ἱκανὴ τῷ ἀνθρώπῳ ἐν τῇ παρούσῃ καταστάσει. Διότι αὕτη ἐπαρκεῖ ἐντελῶς πρὸς τὸ ἀληθὲς ἀγαθὸν καὶ τὴν αἰώνιον ἡμῶν σωτηρίαν, καὶ ἱκανὴ πρὸς τὰς ὑψηλοτέρας ἀνάγκας τοῦ πνεύματος ἡμῶν, ἵνα τὸν μὲν νοῦν φωτίζῃ, τὴν δὲ θέλησιν ἐνισχύῃ, τὴν δὲ καρδίαν ἀναπαύῃ. Ἐν τούτοις

γ) ἔχει καὶ ὅρια, δι' ὧν διακρίνεται ἀπὸ τῆς μελλούσης ἐπιγνώσεως τοῦ Θεοῦ, τῆς ἐπηγγελμένης ἡμῖν ἐν τῷ μετὰ ταῦτα βίῳ. Τὰ ὅρια ταῦτα ὁ Ἀπόστολος Παῦλος ὁρίζει οὕτω. *Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγμασι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην* (1 Κορ. 13, 12) *διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους* (2 Κορ. 5, 7). Οὕτω δὲ ἡ παροῦσα ἡμῶν περὶ Θεοῦ ἐπίγνωσις α) ἐστὶ *μερικὴ* καὶ οὐχὶ πλήρης, συγκρινομένη πρὸς τὴν ἐν τῇ αἰωνιότητι, ὅτε τὸ ἐκμέρους καταργηθήσεται, καὶ ἡμεῖς ἐπιγνωσόμεθα τὸν Θεὸν πληρέστατα *ὅτι ὀψόμεθα αὐτὸν καθὼς ἐστὶ* (Ἰωαν. 3, 2). β) Διὸ καὶ οὐκ ἔστιν ἐντελῶς καθαρὰ, διότι ἐστὶ γνῶσις διὰ *πίστεως*, ἐν δὲ τῇ μελούσῃ ζωῇ *ἡ πίστις καταργηθήσεται καὶ ἔσται ἄμεσος θεωρία* τοῦ Θεοῦ πρόσωπον πρὸς πρόσωπον.

Ὀνόματα τοῦ Θεοῦ, ὡς βάσεις πρὸς ἰδέαν τινὰ περὶ Αὐτοῦ.

Ἵνα ἔχωμεν ἰδέαν τινὰ περὶ τῆς οὐσίας τοῦ Θεοῦ, ὀφείλομεν πρὸ παντὸς ἄλλου ἀναθεωρῆται τὰ ὀνόματα, ἅπερ ἡ θεία ἀποκάλυψις ἀποδίδωσι τῷ Θεῷ, καὶ ἐκ τούτων οὐ μόνον τὰ ἐκφράζοντα τὰς μερικὰς ἰδιότητας τοῦ Θεοῦ, ἀλλὰ μάλιστα τὰ τὴν οὐσίαν αὐτὴν. Τοιαῦτα κατὰ τὴν γνώμην τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου καὶ τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ (1) εἰσὶ τὰ ἑπόμενα.

---

(1) Γρηγ. Ναζ. λογ. 42 εἰς τὸ ἅγ. Πάσχα (Τόμ. 2 Σελ. 677) Δαμασκ.

4) Ἐκφράζει ἡ ἀγάπη τὴν ἀπόλυτη ἐνότητα ἀνάμεσα στὸν Θεὸ καὶ τὸν ἄνθρωπο. Ἡ ἀγάπη εἶναι ἀπὸ τὸν Θεό, γιατὶ ὁ Θεὸς εἶναι ἀγάπη (Ἰωάν. 4, 8). Ἡ ἀγάπη ἐκφράζει τὴν ἀπόλυτη ἑνότητα ἀνάμεσα στὸν Θεὸ καὶ τὸν ἄνθρωπο, γιατὶ ὁ Θεὸς ἀγαπᾶ τὸν ἄνθρωπο καὶ ὁ ἄνθρωπος ἀγαπᾶ τὸν Θεό (1Ἰωάν. 3, 13-15). Ἀκριβῶς ἡ ἀγάπη τοῦ Θεοῦ γιὰ τὸν ἄνθρωπο ἐκφράζει τὴν αὐτὴ ἀπόλυτη ἑνότητα ἀνάμεσα στὸν Θεὸ καὶ τὸν ἄνθρωπο, ἀλλὰ αὐτὴν τὴν ἑνότητα, ἡ ὁποία ἀποκαλύπτει τὴν ἀνεξάντλητη, αἰώνια, ἀνελλιπῆ τοῦ Θεοῦ ἀγάπη γιὰ τὸν ἄνθρωπο ἐκφράζει τὸ Ἅγιο Πνεῦμα τοῦ Θεοῦ ποὺ ἐκπορεύεται ἀπὸ τὸν Πατέρα καὶ ἐνώνεται μὲ τὸν Υἱό. Ἡ ἀγάπη τοῦ Θεοῦ γιὰ τὸν ἄνθρωπο, ἡ ὁποία ἔχει φανερωθεῖ μὲ τὸν ἐρχομό, τὴν διδασκαλία, τὸν θάνατο καὶ τὴν ἀνάστασή του Υἱοῦ Του Μονογενοῦς, ἔχει ἐκχυθεῖ στὶς καρδιὲς τῶν πιστῶν μὲ τὴν ἐνέργεια τοῦ Ἁγίου Πνεύματος, ποὺ ἐνεργεῖ στὴν Ἐκκλησία καὶ μὲ τὰ μυστήρια καὶ τὴν ἀγάπη ποὺ ἐκφράζεται στὴν ἀγάπη τῶν πιστῶν γιὰ τὸν Θεό.

5) Ἡ ἀγάπη εἶναι ἡ ἀνώτερη ἐκφράζουσα τοῦ Θεοῦ ἡ ἐκπλήρωση τοῦ Νόμου. Ἡ ἀγάπη εἶναι ὁ σκοπὸς (Ἰωάν. 4, 34), γιὰ τὸν ὁποῖο ἐργάζεται ὁ ἄνθρωπος (2 Κορ. 5, 14). Ἡ λέξη ἀγάπη ἐκφράζει ὄχι μόνον τὴν οὐσία, ἀλλὰ καὶ τὴν ἐνέργεια τοῦ Θεοῦ, ἀλλὰ καὶ ἀνανεωμένου τοῦ ἀνθρώπου, ἔχοντας τὴν ἀνάλογη θέση στὴν ἠθικὴ. Ἡ ἀγάπη ἔχει πνευματικὴ ἀπόχρωση καὶ τὴν ἀντιλαμβάνεται σὰν ἀγάπη καὶ τελειοποιημένη ζωή. Ἡ ἀγάπη εἶναι πάνω ἀπὸ ὅλα, ἡ ἑνότητα τελειότητας καὶ ἁγιότητας καὶ ἀγάπης ἀνάμεσα στὸν Θεὸ καὶ τὸν ἄνθρωπο, ἡ ὁποία ἐπιτυγχάνεται μὲ τὴν ἐνσάρκωση τοῦ Υἱοῦ τοῦ Θεοῦ, μὲ τὴν ἐκπλήρωση τοῦ Νόμου καὶ τὴν ἀποκάλυψη τοῦ Θεοῦ. Ἡ ἀγάπη εἶναι ἡ ἑνότητα ἀνάμεσα στὸν Θεὸ καὶ τὸν ἄνθρωπο, ἡ ὁποία ἐπιτυγχάνεται μὲ τὴν ἐνσάρκωση τοῦ Υἱοῦ τοῦ Θεοῦ, μὲ τὴν ἐκπλήρωση τοῦ Νόμου καὶ τὴν ἀποκάλυψη τοῦ Θεοῦ.»

Ἐκδόσεις τῆς Ἀδελφότητος Θεολόγων Βιβλ. Α΄. Βιβλ. Β. α. Κλεί δὲ καὶ ἐνῶ ἐνῶ ἐν

§ 19. *Διαίρεσις τῆς διδασκαλίας περὶ τῶν ἰδιοτήτων τοῦ Θεοῦ.*

Ἐκ τῶν ἰδιοτήτων τοῦ Θεοῦ αἱ μὲν ἀναφέρονται τῇ οὐσίᾳ αὐτοῦ, αἱ δὲ τῇ ζωῇ αὐτοῦ, αἱ δὲ ἀμφοτέραις ὁμοῦ. Ὥστε ἰ τριῶν εἰδῶν καὶ αἱ ἰδιότητος εἰσὶν α) Ἰδιότητες τῆς οὐσίας τοῦ Θεοῦ β) ἰδιότητες τῆς ζωῆς τοῦ Θεοῦ γ) ἀμφοτέρων ὁμοῦ.

1) Περὶ τῶν ἰδιοτήτων τῆς οὐσίας τοῦ Θεοῦ.

§ 20. *Αἱ ἰδιότητες τῆς οὐσίας τοῦ Θεοῦ.*

Ὡς πνεῦμα ἀπείρου καὶ τελειοτάτης οὐσίας ὁ Θεὸς ἐστὶν Ὄν 1) ἁπλούστατον καὶ καθαρώτατον. 2) αὐθύπαρκτον καὶ ἀνεξάρτητον 3) πανταχοῦ παρὸν. 4) αἰώνιον. 5) ἀναλλοίωτον.

§. 21. *Ἁπλότης.*

Ὁ Θεὸς ἐστιν οὐσία ἁπλουστάτη καὶ καθαρωτάτη. Ἡ δὲ ἁπλότης εἴτε καθαρότης τῆς θείας οὐσίας συνίσταται α) ἐν τούτῳ, ὅτι ἐν τῷ Θεῷ οὐδεμία ὑπάρχει ὑλικὴ σύνθεσις, ὅτι αὐτὸς ἐστὶν οὐσία ὅλως ἀσώματος καὶ οὐδεμιᾷ αἰσθήσει ὑποκειμένη. Αὐτὸ δὲ τοῦτο βεβαιοῖ ἡ Ἱερὰ Γραφὴ, ὀνομάζουσα τὸν Θεὸν *Πνεῦμα* (Ἰωάν, 4, 24) ἄφθαρτον (1 Τιμ. 1, 17 Ῥωμ. 1, 23). *ἀόρατον* (Ῥωμ. 1, 20), εἴτε *ἀθέατον*. *Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπον τοῦ Θεοῦ καὶ ζήσεται* (Ἔξοδ: 33, 20. Ἰωάν. 1, 18) Προφυλάττουσα δὲ τοὺς ἀνθρώπους ἀπὸ τῶν πλανῶν περὶ θεοῦ ἰδεῶν, λέγει. *Οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώτων, τὸ θεῖον εἶναι ὅμοιον* (Πράξ. 17, 29). Εἰδὲ καὶ ὁ Θεὸς ὀνομάζεται *φῶς ἢ πῦρ* (Ἰωαν. 1, 5. Ἑβρ. 12, 29. Δευτερ. 4, 24. 9, 3), διὰ τούτων σημαίνεται οὐχὶ ὅτι ἡ οὐσία τοῦ Θεοῦ ἐστὶ πραγματικῶς φῶς ἢ πῦρ, ἀλλὰ ἡ

καθαρότης τῆς οὐσίας τοῦ Θεοῦ, διὰ τῆς εἰκόνος τοῦ καθαρωτέρου ἐπὶ τῆς γῆς πράγματος τοῦ φωτὸς, καὶ ὅτι ἀνεπίδεκτος κηλίδος, ὡς τὸ πῦρ. Ὡσαύτως δὲ φανερωθεὶς ὁ Θεὸς τῷ Ἠλίᾳ ἐν φωνῇ αὔρας λεπτῆς (3 Βασιλ· 19, 12), ἔδειξεν οὐχὶ τὴν ἑαυτοῦ οὐσίαν, ἀλλὰ τὸ ἥρεμον καὶ πρᾶον πρὸς τοὺς ἁμαρτωλοὺς, ὧν ὁ Ἠλίας, ἐκ θερμοῦ ζήλου, ἤθελε τὸν διὰ λιμοῦ ὄλεθρον. Οὕτω δὲ νοοῦνται καὶ τὰ λοιπὰ χωρία τῆς Γραφῆς, ἐν οἷς ἀποδίδονται τῷ Θεῷ μέλη καὶ πράξεις ἀνθρώπιναι. Καὶ ταῦτα ἔχουσι θεοπρεπῆ τινα ἔννοιαν· «ὅσα τοίνυν περὶ Θεοῦ σωματικώτερον εἴρηται, συμβολικῶς ἐστι λελεγμένα. ἔχει δὲ ὑψηλοτέραν διάνοιαν, » λέγει ὁ Ἅγιος Δαμασκηνὸς (1). Ἐν τούτοις 6) ἡ ἁπλότης τῆς οὐσίας τοῦ Θεοῦ ἐστίν, οὐ μόνον ἀφαίρεσις πάσης ὑλικῆς συνθέτεως, ἀλλὰ καὶ πάσης νοητικῆς. Διότι ἐν τῷ Θεῷ οὐχ ὑπάρχει γένος καὶ διαφορὰ εἰδῶν, οὐδὲ τυχαῖα ἰδιώματα, ἐν γένει δὲ οὐδεμία ἐν αὐτῷ ἔργῳ διαίρεσις τῶν ἰδιοτήτων, ἀλλὰ μόνον ἡμεῖς, διὰ τὴν ἀσθένειαν τοῦ ἡμετέρου νοὸς, διακρίνομεν ἐν αὐτῷ διαφόρους ἰδιότητας, αὐτὸς δ' ἐστὶν ἐντελὴς ἑνότης καὶ ταὐτότης, καθαρώτατον καὶ ἁπλούστατον πνεῦμα, « Τὸ θεῖον ἁπλοῦν ἐστι καὶ ἀσύνθετον, λέγει ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνός· εἰ οὖν ἄκτιστον καὶ ἄναρχον, καὶ ἀσώματον, καὶ ἀθάνατον καὶ αἰώνιον καὶ ἀγαθὸν, καὶ δημιουργὸν καὶ τὰ τοιαῦτα, οὐσιώδεις διαφορὰς εἴποιμεν ἐπὶ Θεοῦ, ἐκ τοσούτων συγκείμενον οὐχ ἁπλοῦν ἔσται, ἀλλὰ σύνθετον, ὅπερ ἐσχάτης ἀσεβείας ἐστίν. Πάντα μὲν οὖν ταῦτα ἐπὶ πάσης θεότητος ἐκπλεκτέον, καὶ ταὐτῶς καὶ ἀμερῶς καὶ ἡνωμένως » (2).

Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν (Ἰωάν. 4, 24). Ὁ Θεὸς ἐστὶ φῶς, καὶ καθαρώτερος τοῦ φωτὸς, ἆρα ὁ θέλων προσπελάσαι Αὐτῷ τῇ διανοίᾳ καὶ καρδίᾳ καὶ τοῖς ἔργοις, ὀφεί-

(1) Ἔκθεσις Πιστ. Α, 11.
(2) Ἔκθ. Πιστ. Α. κεφ. 9. καὶ 10.

λει εἶναι καὶ αὐτὸς φωτοειδής. Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον, διὸ ὀφείλομεν λατρεύειν Αὐτῷ μετ' εὐλαβείας καὶ φόβου.

§ 22. Ἡ Ἀνεξαρτησία.

Ὁ Θεὸς ἐστι πνεῦμα αὐθύπαρκτον καὶ ἀνεξάρτητον. Ἡ δὲ ἀνεξαρτησία τῆς οὐσίας τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς, ὡς τὴν ὕπαρξιν αὐτοῦ, οὕτω καὶ τὰς τελειότητας ἔχει αὐτὸς ἀφ' ἑαυτοῦ, καὶ διὰ τοῦτο καὶ τὴν ἰδίαν ὕπαρξιν ἀναγκαίως ἔχει καὶ οὐ δύναται μὴ ὑπάρχειν. Τὴν ἰδιότητα δὲ ταύτην καὶ ὁ νοῦς ἀναγκαίως ἀποδίδωσι τῷ Θεῷ, ὡς διακριτικώτατον χαρακτῆρα τῆς ὑπάρξεως αὐτοῦ· διότι ἐν τῇ σειρᾷ τῶν τυχαίων καὶ ἐξηρτημένων ὄντων οὐδεμίαν ἀνάπαυσιν εὑρίσκει, ἀλλὰ ζητεῖ πέραν τῶν ὁρίων αὐτῶν, τὸ ἀναγκαῖον καὶ ἀνεξάρτητον Ὄν. Σαφῶς δὲ καὶ ἐν τῇ Ἱερᾷ Γραφῇ ἀποδίδοται τῷ Θεῷ ἡ ἰδιότης αὕτη. Ὁ Θεὸς δεικνύων τοῖς Ἰσραηλίταις, τοῖς πολλάκις εἰς τὴν εἰδωλολατρείαν περιπεσοῦσι, τὴν ἄπειρον ὑπεροχὴν τῆς ἰδίας ὑπάρξεως ὑπὲρ τὰ ἄθλια ἔργα χειρῶν ἀνθρώπων, λέγει. *Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμὶ· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται* (Ἡσαΐου 43, 10) *Οὕτω λέγει ὁ Θεὸς τοῦ Ἰσραὴλ, ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἐστὶ Θεὸς Τίς ὥσπερ ἐγώ* (Ἡσαΐου 44, 6 7); Ὁ δὲ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς διδάσκει, ὅτι ὁ Πατὴρ αὐτοῦ, ὡς καὶ αὐτὸς οὗτος *ἔχει ζωὴν ἐν ἑαυτῷ* (Ἰωαν. 5, 26). Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει, ὅτι τῷ Θεῷ οὐδεὶς οὐδὲν ἔδωκεν. *Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ* (Ῥωμ. 11, 34-35); καὶ ὅτι ὁ Θεὸς οὐδενὸς χρείαν ἔχει. *οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος. Αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα* (Πραξ. 17, 25).

Μηδεὶς μέγα φρονείτω περὶ ἑαυτοῦ· τὸ πᾶν ἐκ τοῦ Θεοῦ καὶ ἡμεῖς αὐτοί· ἐὰν εὐαρεστῶμεν τῷ Θεῷ τοῦτο ἡμῖν καλὸν καὶ σωτήριον, ὁ δὲ Θεὸς οὐδὲν ζημιοῦται, οὐδὲ κερδαίνει ἐκ τῶν ἡμετέρων ἔργων.

§ 23. *Ἡ πανταχοῦ παρουσία.*

Ὁ Θεὸς ἐστὶ πνεῦμα πανταχοῦ παρόν. Ἡ δὲ πανταχοῦ παρουσία ἐστὶ τοιαύτη ἰδιότης τῆς οὐσίας τοῦ Θεοῦ, καθ' ἣν ὁ Θεὸς οὐκ ἐν χώρῳ περιλαμβάνεται, καὶ ἔστιν ἅμα ἀπανταχοῦ. Ἡ ἰδιότης δ' αὕτη τοῦ Θεοῦ, ἔνθεν μὲν αὐτὴ καθ' ἑαυτὴν ἀποκαλύπτεται ἐκ τούτου, ὅτι ὁ Θεὸς ἐστὶν ἁπλούστατον καὶ πνευματικὸν Ὄν ἀλλότριον πάσης συνθέσεως μερῶν, τοῦ ἑνὸς ἐκτὸς τοῦ ἑτέρου κειμένου, διὸ καὶ ἀπεριλήπτος ἐκτάσει· ἔνθεν δὲ σαφῶς μαρτυρεῖ ἡ ἁγία Γραφὴ· καὶ δὴ ὁ Σοφὸς Σολομὼν ὁμολογεῖ ἐν τῇ προσευχῇ αὐτοῦ πρὸς τὸν Θεόν. *Ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι* (3 Βασιλ. 8, 27). Καὶ αὐτὸς ὁ Θεὸς λέγει περὶ ἑαυτοῦ διὰ τοῦ Προφήτου Ἱερεμίου. *Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφείοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; φησὶ Κύριος· μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πλήρω* (Ἱερεμ. 23, 23-24); Ἰδίως δὲ καὶ καθαρώτατα εἰκονίζουσι τὴν ἰδιότητα ταύτην οἱ λόγοι τοῦ ψαλμῳδοῦ. *Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, Σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου* (ψαλ. 138, 7-10). Ἡ εἰκὼν τῆς ἀπανταχοῦ παρουσίας τοῦ Θεοῦ ἐστὶν ἀκατάληπτος ἡμῖν, τοῖς περιωρισμένοις ἐν τοῖς ὁρίοις τῆς ἐκτάσεως. Ἐν τούτοις σημειωτέον, ὅτι ὀνομάζοντες τὸν Θεὸν πανταχοῦ παρόντα, οὐδόλως νοοῦμεν,

ὅτι δῆθεν ὁ Θεὸς ἐστὶ διακεχυμένος καθ' ἅπασαν τὴν ἔκτασιν τοῦ κόσμου, παρὼν ἑκάστοις ἰδίᾳ τῶν μερῶν αὐτοῦ, ἀλλ' ὅτι Αὐτῷ οὐδεμία ἔκτασις, καὶ ὅτι πᾶσα ἔκτασις ἐφικτὴ τῇ φαντασίᾳ ἡμῶν ἐν τῷ κόσμῳ, ἢ ἐκτὸς τοῦ κόσμου, ἐστὶ μόνον στιγμὴ μὴ ἔχουσα οὐδεμίαν ἔκτασιν. Ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς λέγει· «Ἰστέον δ' ὅτι τὸ θεῖον ἀμερὲς ἐστὶν, ὅλον πανταχοῦ ὄν, καὶ οὐ μέρος ἐν μέρει σωματικῶς διαιρούμενον, ἀλλ' ὅλον ἐν πᾶσι καὶ ὅλον ὑπὲρ τὸ πᾶν» (1).

Ὁ Κύριος ἁπανταχοῦ ἄρα ὀφείλομεν ἔχειν αὐτὸν πρὸ ὀφθαλμῶν ἡμῶν διὰ παντὸς (ψαλ. 15, 8. 9). Τοῦτο δ' ἐστὶν ὁ ἀσφαλέστατος τρόπος, ὅπως βαίνωμεν ἐπὶ τῆς εὐθείας ὁδοῦ, μὴ σαλευόμενοι ἐν τῇ ζωηρᾷ ἐλπίδι ἐπ' Αὐτόν. *Ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου*, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ (ψαλ. 22, 4).

§ 24. *Αἰωνιότης.*

Ὁ Θεὸς ἐστὶ πνεῦμα αἰώνιον, εἴτε ἀεὶ Ὄν. Ἡ αἰωνιότης δὲ τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς οὔτε ἀρχὴν οὔτε τέλος τῆς ὑπάρξεως αὐτοῦ ἔχει, καὶ ὅτι ἐν τῇ ἑαυτοῦ οὐσίᾳ ἐστὶν ὑπέρτερος παντὸς χρόνου. Ἡ ἰδιότης δ' αὕτη οὖσα αὐτὴ καθ' ἑαυτὴν καταφανὴς ἐκ τῆς ἰδέας τῆς ἀνεξαρτησίας τοῦ Θεοῦ, βεβαιοῦται ἅμα καὶ ὑπὸ ῥητῶν τῆς Ἱερᾶς Γραφῆς. Ὀνομάζεται δ' ἐν ταύτῃ ζῶν εἰς τὸν αἰῶνα· *ὀμοῦμαι τὴν δεξιάν μου, καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα* (Δευτ. 32, 40). Θεὸς αἰώνιος. *καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας, Θεὸς αἰώνιος, Θεὸς κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει.* (Ἡσαΐου 40, 28)· Βασιλεὺς αἰώνιος. *ὁ δὲ Κύριος ἀληθινὸς Θεὸς ἐστὶν. Θεὸς ζώντων, καὶ Βασιλεὺς αἰώνιος* (Ἱερεμ. 10, 10). Ὑπάρχων ἐν γενεᾷ καὶ

---

(1) Ἔκθεσις Πίστεως βιβλ. Λ'. κεφ. 13.

δὲ τὸ πρόσκαιρον· ὄργα πρὸς τὸν ἀθάνατον, καὶ οὐχὶ πρὸς τὸ ἐπίκηρον καὶ στιγμιαῖον, καὶ μὴ τίθει τὰς ἐλπίδας ἐπ' ἐκείνῳ, οὗ τινος ἡ ζωὴ παρέρχεται ὡς ἀτμός, καὶ καπνὸς, καὶ ἄνθος τοῦ ἀγροῦ.

§ 25. Τὸ ἀναλλοίωτον.

Ὁ Θεὸς ἐστὶ πνεῦμα ἀναλλοίωτον· τοὐτέστιν ὁ Θεὸς ἄμοιρός ἐστιν πάσης μεταβολῆς ἢ μεταβάσεως ἀπὸ ἑνὸς εἴδους ὑπάρξεως εἰς ἕτερον, ἀλλ' ἐστὶ πάντοτε εἷς καὶ ὁ αὐτός. Ἡ ἰδιότης δ' αὕτη τοῦ Θεοῦ στενώτατα συνδέεται μετὰ τῆς πανταχοῦ παρουσίας καὶ τῆς αἰωνιότητος τοῦ Θεοῦ. Διότι εἰ ὁ Θεὸς ἐστὶν ἁπανταχοῦ καὶ ἔχει τὴν τελειοτάτην αὐτοῦ ὕπαρξιν οὐχὶ κατὰ διαδοχὴν, ἀλλ' ἐν τῷ ἅμα, πῶς δύναται ἀλλοιοῦσθαι ἢ μεταβαίνειν ἀπό τινος καταστάσεως εἰς ἑτέραν; Καὶ αὐτὸς δὲ ὁ Θεὸς μαρτυρεῖ περὶ ταύτης τῆς ἰδιότητος τῆς ἰδίας ὑπάρξεως λέγων. *Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν οὐκ ἠλλοίωμαι* (Μαλ. 3,6) Ἐν ἑτέρῳ δὲ χωρίῳ τῆς Ἱερᾶς Γραφῆς λέγεται. *Οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι, οὐδ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι. Αὐτὸς εἶπεν, οὐχὶ ποιήσει, λαλήσει καὶ οὐχὶ ἐμμενεῖ* (Ἀριθ. 23, 19). *Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτοὺς καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τά ἔτη σου οὐκ ἐκλείψουσιν* (ψαλ. 101, 26-27). Ὁ δὲ Ἀπόστολος Ἰάκωβος μαρτυρεῖ ὅτι *παρ' αὐτῷ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα* (Ἰακ. 1, 17).

Τὸ ἀναλλοίωτον τοῦ Θεοῦ οὐδόλως βλάπτει ἡ τῆς Δημιουργίας ἰδέα, ἥτις ἔχει ἀρχήν· διότι αὕτη προῆλθεν οὐχὶ ἐν τῷ ἐσωτερικῷ τῆς οὐσίας τοῦ Θεοῦ, ἀλλ' ἐκτός· πρὸς τούτοις δ' αὕτη ἐγένετο κατ' αἰωνίαν βουλὴν τοῦ Θεοῦ, διότι παρὰ τῷ Θεῷ οὐδὲν ἐν χρόνῳ, μόνον δὲ ἡ ἐμφάνισις παντὸς κτί-

ηματος, ἐστὶν ἐν χρόνῳ, τοῦτο δ' ἐστὶν ἡ ἀναγκαία μορφὴ παντὸς κτίσματος, ὅπως ἦ τοιοῦτον. Οὕτω δὲ καὶ τὰ χωρία τῆς Γραφῆς, ὅπου ὁ Θεὸς παρίσταται μεταμελόμενος (Γεν. 6, 6. 1 Βασιλ 15, 11), οὐ δεικνύουσιν ἀλλοίωσίν τινα ἐν Θεῷ, ἀλλὰ μόνον τὸν ἀνώτατον ζαθμὸν τῆς ἀγανακτήσεως τοῦ Θεοῦ κατὰ τῶν κακῶν ἀνθρώπων διὰ τὴν ἄκραν αὐτῶν διαφθοράν.

Ἐπὶ μόνῳ ἄρα τῷ Θεῷ ἡ ἐλπὶς ἡμῶν, καὶ Αὐτῷ μόνῳ λατρεύωμεν καὶ εὐαρεστῶμεν ἐξ ὅλης ψυχῆς· διότι Αὐτὸς μόνος ἐστὶν ἀναλλοίωτος εἰς τὸν αἰῶνα, πᾶς δὲ ἄνθρωπος ψεύδος· Ἐπειδὴ δ' Αὐτὸς ὁ Θεὸς ἀναλλοίωτος· ἀπαιτεῖ καὶ παρ' ἡμῶν εὐστάθειαν. Μὴ κλονιζώμεθα οὖν, ὁτὲ μὲν δεξιᾷ ὁτὲ δὲ ἀριστερᾷ. *Ὁ ἄγγελος ὡς ἡ σελήνη ἀλλοιοῦται.*

2) Περὶ τῶν ἰδιοτήτων τῆς ζωῆς τοῦ Θεοῦ

§ 26. *Ἡ ζωὴ τοῦ Θεοῦ.*

Ὁ Θεὸς ἐστὶν οὐ μόνον Ὂν τελειοτάτης ὑπάρξεως καὶ οὐσίας, ἀλλὰ καὶ πνεῦμα ἐντελεστάτης ζωῆς. Διὸ πανταχοῦ ἡ Ἱερὰ Γραφὴ ὁμολογεῖ τὸν Θεὸν ζῶντα. Οὕτως ὁ Θεὸς Αὐτὸς πολλάκις ὀμνύει τὴν ζωὴν Αὐτοῦ. *Ζῶ ἐγὼ, λέγει Ἀδωναὶ Κύριος· οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ,* (Ἰεζεκ. 33, 11· 27, 17, 16, 19) *καὶ ὀμοῦμαι τὴν δεξιάν μου, καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα* (Δευτερ. 32, 40), καὶ τὴν ζωὴν Αὐτοῦ παρέχει ὡς ἰσχυροτάτην ἀπόδειξιν τῆς θειότητος, διὰ δὲ τῆς ἐλλείψεως ταύτης ἐξελέγχει λαμπρῶς τὸ ψευδὲς τῶν ἀψύχων καὶ νεκρῶν εἰδώλων Θεῶν. *Ἔργα τεχνιτῶν ἄπαντα ταῦτα· ὁ δὲ Κύριος ἀληθινὸς Θεὸς ἐστιν, Θεὸς ζώντων* (Ἱερ. 10, 9. 10. ψαλ. 113, 11—15)· *Ὁ ψαλμῳδὸς ἀναβοᾷ πρὸς τὸν Θεόν. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιά-*

σαντο ἐπὶ Θεὸν ζῶντα (ψαλ. 41, 3· 83, 3), καὶ ὀνομάζει αὐτὸν πηγὴν ζωῆς (ψαλ. 35, 10). Ὁ Ἀπόστολος Παῦλος λέγει· ἐπιστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ (1 Θεσσαλ. 1, 9).

§ 27. Αἱ ἰδιότητες τῆς ζωῆς τοῦ Θεοῦ.

Ἡ ζωὴ τοῦ Θεοῦ ὑφίσταται α) ἐν τῷ τελειοτάτῳ νῷ καὶ β) ἐν τῇ τελειοτάτῃ θελήσει.

α) Περὶ τοῦ νοὸς τοῦ Θεοῦ.

§ 28. Ὁ Νοῦς τοῦ Θεοῦ.

Ἡ Ἱερὰ Γραφὴ σαφῶς πάνυ ἀποδίδωσι τῷ Θεῷ τὸν νοῦν· Αὕτη ὀνομάζει Αὐτὸν Θεὸν τῶν γνώσεων· ὅτι *Θεὸς γνώσεων Κύριος* (1 Βασιλ. 2,3)· ἀποδίδωσιν Αὐτῷ σοφίαν καὶ σύνεσιν *παρ' Αὐτοῦ σοφία καὶ δύναμις, παρ' Αὐτῷ βουλὴ καὶ σύνεσις* (Ἰώβ. 12, 13), καὶ ἀρχὴν πάσης συνέσεως καὶ γνώσεως. *Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις* (Παρ. 2, 6).

§ 29. Τὰ ἀντικείμενα τῆς γνώσεως τοῦ Θεοῦ.

Ἀντικείμενον τῆς γνώσεως τοῦ Θεοῦ ἰδίως ἐστὶ α) αὐτὴ ἡ οὐσία τοῦ Θεοῦ· *τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ* (1 Κορ. 2, 10).

β) Πᾶν τὸ ὑπάρχον· καὶ δὴ ὁ Θεὸς γινώσκει τὴν τάξιν τοῦ φυσικοῦ κόσμου. *Αὐτὸς γὰρ τὴν ὑπ' οὐρανὸν πᾶσαν ἐφορᾷ εἰδὼς τὰ ἐν τῇ γῇ πάντα, ἃ ἐποίησεν, ἀνέμων σταθμὸν καὶ ὑδάτων μέτρα* (Ἰώβ. 28, 24). *Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν*, (ψαλ. 146, 4)· γινώσκει δὲ μέχρι καὶ τῆς ἐλαχίστης λεπτομερείας. «Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύω, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ· ἀλλὰ καὶ αἱ

τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται »(Λουκ.12, 6-7). Καὶ τὰ μᾶλλον κρυπτὰ πράγματα γινώσκει. « γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ » (Ἰώβ· 26, 6). « Αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει » (Δαν. 2, 22). Γινώσκει τὴν τάξιν τοῦ ἠθικοῦ κόσμου. « Ἐνώπιον γὰρ εἰσὶ τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τροχιὰς αὐτοῦ σκοπεύει » (Παρ. 5, 21)· « Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς » (Παρ. 15, 3). Πρὸς δὲ τούτοις καὶ αὐτὰς τὰς ἐλαχίστας λεπτομερείας καὶ μυστικὰς ἐνεργείας τοῦ πνεύματος ἡμῶν. « Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἐκρύβη. » (ψαλ. 37, 10) « Ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες ἀπόκρυφα μέρη » (Σιρὰχ 23, 19). Ἰδίως δὲ καὶ λαμπρῶς εἰκονίζει τὴν γνῶσιν ταύτην τοῦ Θεοῦ ὁ ψαλμῳδός ἐν τῷ 138ῳ ψαλμῷ. « Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου, Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν· Τὴν τρίβον μου καὶ τὴν σχοῖνον μου Σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες· οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ Σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. Τὸ ἀκατέργαστόν μου εἶδοσαν οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται» (στιχ. 12. 13. 15. 16).Γινώσκει πᾶν τὸ παρελθόν· διότι ὁ Θεὸς ἐστι Κριτὴς τοῦ κόσμου, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ (Ῥωμ. 2, 6. 16. 1 Κορ. 4, 5)· γινώσκει τὸ ἐνεστώς, « Οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων» (Ματ. 6, 32)· γινώσκει τὸ μέλλον. Τούτου δ' ἀποδείξεις εἰσὶν αἱ προφητεῖαι αἱ ἀκριβῶς ἐκπληρωθεῖσαι καὶ ἐκπληρούμεναι, ὥστε καὶ αὐτὸς ὁ Θεὸς φέρει ταύτας μαρτυρίαν τῆς Θεότητος αὐτοῦ, πρὸς ἀντιδιαστολὴν ἀπὸ τῶν ψευδῶν Θεῶν τῶν ἐθνικῶν.« Ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτων,

καὶ γνωσόμεθα, ὅτι Θεοὶ ἐστέ » (Ἡσ. 41, 22. 23)· Τέλος γινώσκει πᾶν τὸ δυνατόν. *Καλεῖ τὰ μὴ ὄντα, ὡς ὄντα* (Ῥωμ. 5,17). καὶ τὸ μέλλον τὸ κατὰ συνθήκην « οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκῳ καὶ σποδῷ μετενόησαν » (Ματθ. 11, 21. ἴδε καὶ Ἱερεμ. 38 κεφ. καὶ 1 Βασιλ. 23 ον). Οὕτω λοιπὸν ὁ νοῦς τοῦ Θεοῦ ἐστι παντογνώστης.

§ 30. *Ὁ τρόπος τῆς γνώσεως τοῦ Θεοῦ.*

Ἐπειδὴ ὁ Θεὸς ὑπάρχει ἐκτὸς τῶν ὅρων τοῦ χρόνου, διὰ τοῦτο ἡ γνῶσις Αὐτοῦ ἐστὶν *ἀπλουστάτη*, τουτέστιν Αὐτὸς τὰ πάντα γινώσκει οὐχὶ τὸ ἓν μετὰ τὸ ἕτερον, ἀλλ' ἐν τῷ ἅμα πάντα· ὥστε καὶ αὐτὸ τὸ μέλλον Αὐτῷ ἐστὶν ἀντικείμενον οὐχὶ προγνώσεως, ἀλλ' ἁπλῆς γνώσεως, ὡς αὐτὸ τὸ ἐνεστὼς· ἅπαντα ἄρα τὰ ζητήματα καὶ αἱ ἀπορίαι, αἱ ἀφορῶσαι τὴν γνῶσιν τοῦ Θεοῦ περὶ τῶν ἐλευθέρων πράξεων τῶν πνευματικῶν ὄντων, λύονται ἀφ' ἑαυτῶν. Πρὸς τούτοις, ἐπειδὴ ὁ Θεὸς ἐστὶν Ὂν καθαρώτατον καὶ ἐκτὸς παντὸς ὅρου ἐκτάσεως, διὰ τοῦτο ἡ γνῶσις Αὐτοῦ ἐστιν *ἄμεσος*, τουτέστιν Αὐτὸς γινώσκει οὐχὶ διὰ τῶν αἰσθήσεων, οὐχὶ δι' ἐννοιῶν, οὐχὶ διὰ συμπερασμάτων, οὐχὶ δι' ἰδεῶν, ἀλλὰ γινώσκει τὰ πάντα ὡς εἰσὶν καὶ θεωρεῖ αὐτὴν τὴν οὐσίαν τῶν ὄντων. « Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον Αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς Αὐτοῦ » (Εβρ, 4, 13).

Ἰδοὺ ἀλήθεια, ἥτις καὶ ἡ μᾶλλον παρήγορος τῷ ἀνθρώπῳ, ἅμα δὲ καὶ ἡ μᾶλλον τρομερά. Παραμυθητικὸν μὲν τοῦτο, ὅτι ὁ Θεὸς γινώσκει πάσας τὰς ἀνάγκας ἡμῶν, καὶ πάσας τὰς ἀδυναμίας καὶ θλίψεις, πάντας τοὺς διαλογισμοὺς καὶ εὐχὰς τῆς καρδίας, καὶ ὅτι οἱ ὀφθαλμοὶ Αὐτοῦ πάντοτε καὶ πανταχοῦ βλέπουσι τοὺς προστρέχοντας πρὸς Αὐτὸν, τὰ ὦτα Αὐτοῦ πάντοτε καὶ πανταχοῦ

ἀκούουσι τὰς προσευχὰς αὐτῶν· ἀλλὰ φρικτὸν καὶ τοῦτο, ὅτι Αὐτὸς ἑτάζει καρδίας καὶ νεφρούς. Οὐδὲν κακὸν κρύπτεται ἀπ' Αὐτοῦ ἐν τῇ καρδίᾳ ἡμῶν. Οὐδ' ἀπατήσομεν Αὐτὸν δι' ὑποκρίσεως. Φρικτόν ἐστι τὸ ἀναγκάζειν τοὺς καθαρωτέρους φωτὸς ὀφθαλμοὺς τοῦ Κυρίου, ἵνα βλέπωσι τὰς ἀκαθαρσίας ἡμῶν.

β) Περὶ τῆς θελήσεως τοῦ Θεοῦ.

§ 31. *Ἡ θέλησις τοῦ Θεοῦ.*

Ὁ Θεὸς ἔχων τελειότατον νοῦν ἔχει ἅμα καὶ τελειοτάτην θέλησιν. Ἡ Ἱερὰ Γραφὴ ἐν πολλοῖς χωρίοις λέγει περὶ τῆς θελήσεως τοῦ θεοῦ. « Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν » (ψαλ. 113, 11). « Ἐν αὐτῷ, ἐν ᾧ καὶ ἐπληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν τοῦ Θεοῦ, τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ » (Ἐφ. 1, 11). « Ὁ Θεὸς, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν » (1 Τιμ. 2, 4).

§ 32. *Αὐτὴ καθ' ἑαυτὴν καὶ ἐν ταῖς ἐνεργείαις αὐτῆς.*

Ἡ θέλησις τοῦ Θεοῦ, αὐτὴ καθ' ἑαυτὴν ἐστὶ α) *Ἀίδιος*, ὡς αἰωνία ἡ ὕπαρξις τοῦ Θεοῦ, καὶ αἱ βουλαὶ αὐτοῦ, οὔτε ἀρχὴν οὔτε τέλος ἔχουσιν. Διὰ τοῦτο ὁ ἅγιος Ἀπόστολος λέγει ὅτι προωρίσθημεν πρὸς σωτηρίαν πρὸ *καταβολῆς κόσμου* (Ἐφεσ. 1, 4), καὶ πρὸ *χρόνων αἰωνίων* (2 Τιμ. 1, 9).

β) Ἀναλλοίωτος ὡς καὶ ἡ τοῦ Θεοῦ ὕπαρξις, καὶ ὅ,τι ἅπαξ ὁ θεὸς θέλει, τοῦτο καὶ διὰ παντός. *Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει* (Παρ. 19, 21). *Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι* (Ματθ. 24, 35).

γ) Ἁπλῆ καὶ μία, διότι θεμελιοῦται ἐπὶ τῆς ἁπλουστάτης καὶ τελειοτάτης γνώσεως τοῦ Θεοῦ, ἥτις τὸ πᾶν περιλαμβάνει ἐν τῷ ἅμα καὶ ἀμέσως, διόπερ οὔτε σειρὰ καὶ σύνθεσις τῶν πράξεων, ὡς παρ' ἡμῖν, οὔτε βαθμοὶ ὑπάρχουσιν, ἀλλ' ἡ θέλησις αὐτοῦ ἐστὶν ἅμα καὶ ἔργον. Ὅ,τι δ' ἀφορᾷ τὰς ἐνεργείας τῆς θελήσεως τοῦ Θεοῦ πρὸς ἡμᾶς τε καὶ τὰς ἡμετέρας ἰδέας, διαιροῦνται.

α) Εἰς ἀνεξαρτήτους, ὅταν ὁ Θεὸς θέλῃ τι, καὶ τὴν θέλησιν αὐτοῦ ἐκπληροῖ ἄνευ τινὸς ὅρου, π. χ. ἠθέλησε καὶ ἐδημιούργησε τὸν κόσμον

β) Ἐξηρτημένας, ὅταν ὁ Θεὸς θέλῃ, ὅπως τι ἐξαρτᾶται ἀπό τινων ὅρων, π. χ· ἵνα ἡ σωτηρία τῶν ἀνθρώπων ἐξαρτᾶται ἐκ τῆς πίστεως εἰς Χριστὸν Ἰησοῦν.

γ) Εἰς κατ' εὐθεῖαν εἴτε θετικὰς, ὅταν ὁ Θεὸς κατ' εὐθεῖαν καὶ ὡρισμένως θέλῃ τι, π. χ. τὸ ἀγαθὸν καὶ

δ) εἰς μὴ κατ' εὐθεῖαν ἢ ἀρνητικὰς, ὅταν μόνον παραχωρῇ τι μὴ κωλύων τοῦτο, π. χ. ὁ Ἀπόστολος λέγει· «παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα» (Ρωμ. 1, 28).

§ 33. *Ὁ Κύριος χαρακτὴρ τῆς θελήσεως τοῦ Θεοῦ ἐστὶν ἡ ἀγάπη.*

Ἡ θέλησις τοῦ Θεοῦ κατὰ τὴν φύσιν αὐτῆς οὐδὲν ἕτερον ἐστὶν, ἢ καθαρωτάτη καὶ τελειοτάτη *ἀγάπη*. Διό καὶ ἐν τῇ Ἱερᾷ Γραφῇ αἱ λέξεις *θέλημα* καὶ *βουλὴ* τοῦ *Θεοῦ* εἰσὶ συνώνυμοι ταῖς *χάρις* καὶ *ἀγάπη*, οὕτω π. χ. ἐν τῷ εὐαγγελίῳ τοῦ Ἰω- (6, 39) καὶ τοῦ Λουκᾶ (7, 30) ὡς βάσις τῆς σωτηρίας ἡμῶν λέγεται τὸ θέλημα καὶ ἡ βουλὴ τοῦ Θεοῦ. «Τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ. Οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ»

Ἐν ἑνὶ δὲ χωρίῳ (3, 16) τοῦ Ἰωάννου λέγεται, «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν, ἵνα...» Πάντων δὲ μάλιστα καὶ ῥητῶς ἡ ἀλήθεια αὕτη ἀποκαλύπτεται ὑπὸ τοῦ Ἀποστόλου Ἰωάννου ὀνομάζοντος τὸν Θεὸν ῥητῶς ἀγάπην· ὁ Θεὸς ἀγάπη ἐστὶν (1 Ἰωαν. 4, 8. 16).

§ 34. Τὸ ἀντικείμενον τῆς θελήσεως τοῦ Θεοῦ.

Τὸ πρῶτον καὶ αἰώνιον ἀντικείμενον τῆς ἀγάπης τοῦ Θεοῦ ἐστὶν ἀναμφιβόλως αὐτὴ ἡ οὐσία τοῦ Θεοῦ, ὡς τὸ ὕψιστον ἀγαθὸν τελειότης καὶ καλονή. Τοῦτο βεβαιοῖ αὐτὸς ὁ Θεὸς ἐν τῇ Ἁγίᾳ Γραφῇ, ὀνομάζων ἑαυτὸν ζηλωτήν· «Ἐγὼ γάρ εἰμι Κύριος ὁ θεὸς ζηλωτής» (Ἔξοδ. 20, 5. Δευτερ. 5, 9), «ὅτι θεὸς ζηλωτὴς Κύριος ὁ θεός σου ἐν σοί» (Δευτ. 6, 15), καὶ ἀποκαλύπτει, ὅτι οὗτος τὴν ἑαυτοῦ δόξαν οὐδενὶ δίδωσιν. «Ἐγὼ Κύριος ὁ θεός, τοῦτό μοί ἐστι τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς» (Ησ. 42, 8. 48, 11). Μετὰ τὴν πρὸς ἑαυτὸν ἀγάπην, ὁ Θεὸς ἀγαπᾷ βεβαίως καὶ πάντα τὰ κτίσματα, διότι καὶ ταῦτα ἐκφράζουσι τὰς τελειότητας αὐτοῦ· Ἡ ἀγάπη δ' αὕτη ἦν τὸ ἐλατήριον τῇ Θεῷ, ὅπως παραγάγῃ αὐτὰ ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι. Τὴν ἀγάπην δὲ ταύτην τοῦ θεοῦ πρὸς τὰ κτίσματα ἡ Ἁγία Γραφὴ κηρύττει ἀπαυτάχου. «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον» (Ἰωάν. 3, 16). «Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς» (Ἐφεσ. 2, 4).

§ 35. Αἱ ἰδιότητες τῆς θελήσεως τοῦ Θεοῦ.

Ἡ θέλησις τοῦ θεοῦ ἐστὶ 1) ἁγιωτάτη, 2) ἐλευθερωτάτη 3) παντοδύναμος, 4) πάνσοφος 5) πανάγαθος, 6) δικαιοτάτη, καὶ 7) ἀληθινή.

§ 36. Ἡ Ἁγιότης.

Ἡ ὑψίστη ἁγιότης τῆς θελήσεως τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς, ὡς αὐτὸς ἐντελῶς ἀμέτοχος παντὸς κακοῦ καὶ μόνον ἴδιον ἔχει τὸ ἀγαθὸν, οὕτω καὶ ἐν τοῖς κτίσμασιν ἀγαπᾷ ὅ,τι συμφωνεῖ πρὸς τὸν ἠθικὸν νόμον, οὗτινος αἴτιος αὐτὸς, καὶ μισεῖ πᾶν τὸ ἀντίθετον τῷ ἀγαθῷ. Ἡ Ἱερὰ Γραφὴ σαφῶς διδάσκει, ὅτι ὁ Θεὸς ἐστιν, Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ (Ἡσ. 6, 2). «Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος Κύριος ὁ Θεὸς ὑμῶν» (Λευϊτ. 19, 2). Ὅτι οὐδεὶς ἐστιν ἅγιος, ὡς αὐτὸς «οὐκ ἔστιν ἅγιος ὡς Κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ Θεὸς ἡμῶν» (1 Βασιλ. 8, 2)· ὅτι αὐτὸς οὐθέλει καὶ ἀποστρέφεται τὴν ἀνομίαν «Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ· οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν» (ψαλμ. 5, 5.6). Ὅτι αὐτὸς οὔτε πειράζεται ὑπὸ κακοῦ· «ὅτι Θεὸς ἀπείραστος ἐστὶ κακῶν» (Ἰάκ. 1, 13), καὶ ὅτι τέλος αὐτός ἐστι· *φῶς καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία* (Ἰωαν. 1, 5).

Ἡ ἁγιότης τοῦ Θεοῦ ὑποχρεοῖ καὶ ἡμᾶς ἐξομοιοῦσθαι τῷ Θεῷ διὰ τῆς ἁγιότητος καὶ καθαρότητος τοῦ ἠθικοῦ βίου· *ἔσεσθε τέλειοι, ὥςπερ ὁ Πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.* ἀπαιτεῖ παρ' ἡμῶν ὁ Σωτήρ.

Ἐλευθερία.

Ἡ ὑψίστη ἐλευθερία τῆς θελήσεως τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς οὐδεμιᾷ ἀνάγκῃ ὑπόκειται, ἀλλ' ὁρίζει αὐτὸς ἀφ' ἑαυτοῦ τὰς ἰδίας ἐνεργείας, ἄνευ ἀλλοτρίας προτροπῆς. Τοῦτο δ' ἀποδεικνύουσι τὰ ἀκόλουθα ῥητὰ τῆς Γραφῆς· «πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ» (ψαλμ. 134, 6) «Εἰδὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντερῶν αὐτῷ; Ὅ γὰρ αὐτὸς ἠθέλησε, καὶ ἐποίησε»

(Ἰώβ. 23, 13). Πάντα δὲ ταῦτα, λέγει ὁ Ἀπόστολος περὶ τῶν δώρων τῆς χάριτος, ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται (1 Κορ. 12, 11). Ἐν ἑτέρῳ δὲ χωρίῳ ὁ αὐτὸς ἅγιος Ἀπόστολος παρίστησι τὸν Θεὸν ἐνεργοῦντα ἐν τῷ κόσμῳ ἐλευθέρως, ὡς ὁ ἀρχιτέκτων ἐνεργεῖ ἐν τῷ οἰκοδομήματι, ἢ ὁ κεραμεὺς ἐν τῷ πηλῷ. « Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί μὲ ἐποίησας οὕτως; Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὁ μὲν εἰς τιμὴν σκεῦος, ὁ δὲ εἰς ἀτιμίαν » (Ῥωμ. 9 21);

Ἰδοὺ ἡ ἀρίστη ἀπάντησις πρὸς τὰ πλεῖστα ζητήματος, διατί οὕτως ἢ ἄλλως γίνεταί τι ἐν τῷ κόσμῳ, διατί ὁ μὲν πλούσιος, ὁ δὲ πτωχός, ὁ μὲν ἔχει πλεῖα πλεονεκτήματα, ὁ δὲ μεῖον. Οὕτως ἔδοξε τῇ παναγίᾳ βουλῇ τοῦ Θεοῦ. Ἀναγνωθῇ τὴν παραβολὴν τοῦ Σωτῆρος περὶ τῶν ἐν τῇ ἀμπέλῳ ἐργατῶν (Ματθ. 20).

§ 38. *Ἡ Παντοδυναμία.*

Ἡ παντοδυναμία τῆς θελήσεως τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς ἐκπληροῖ πᾶν τὸ ἀρεστὸν τῇ ἁγίᾳ Αὐτοῦ καὶ ἐλευθέρᾳ θελήσει, μηδενὸς κωλύοντος. Ἡ Ἱερὰ Γραφὴ πολλαχοῦ ἀποκαλύπτει τὴν παντοδυναμίαν τοῦ Θεοῦ. Αὕτη διδάσκει, ὅτι τὰ πάντα εἶναι δυνατὰ τῷ Θεῷ. «Οἶδα ὅτι δύνασαι πάντα, ἀδύνατον δέ σοι οὐδέν » (Ἰώβ. 42, 2). «Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα » (Λουκ. 1, 37). «Τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ Θεῷ » (Λουκ. 18, 27)· καὶ ὅτι Αὐτὸς πάντα ποιεῖ μόνῃ τῇ ἐπινεύσει τῆς βουλήσεως αὐτοῦ, καὶ διὰ λόγου μόνου. «Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν » (Ψαλ. 113, 11). «Ὅτι Αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν » (Ψαλ. 32, 9).

Στερρὰ καὶ ἀσάλευτος ἔστω ἡ πεποίθησις καὶ ἡ ἐλπὶς ἡμῶν εἰς Θεόν. Οὗτος ἱκανὸς *ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν* (Ἐφεσ. 3, 20). Τῷ δικαίῳ μηδεὶς φόβος. *εἰ ὁ Θεὸς μεθ' ἡμῶν οὐδεὶς καθ' ἡμῶν.* Εὐλαβοῦ τὸν Θεὸν καὶ φοβοῦ αὐτὸν καὶ ταπεινώθητι *ὑπὸ τὴν ἰσχυρὰν χεῖρα.*

§ 39. *Σοφία.*

Ἡ σοφία τῆς θελήσεως τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς πάντοτε μεταχειρίζεται τὴν παντοδυναμίαν Αὐτοῦ συνάδουσαν τῷ τελειοτάτῳ Αὐτῷ νῷ, καὶ ἐκλέγει ἄρα καὶ τὸν ἄριστον σκοπὸν, καὶ ἄριστα μέσα πρὸς τοῦτον. Ταῦτα δὲ βεβαιοῖ ἡ Ἱερὰ Γραφὴ, ἀποκαλοῦσα τὸν Θεὸν μόνον Σοφὸν (1 Τίμ. 1, 17), καὶ ὅτι *τῆς συνέσεως Αὐτοῦ οὐκ ἔστιν ἀριθμὸς* (Ψαλ. 146, 5), ὅτι τὰ πάντα ἐποιήθησαν σοφῶς. « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας » (Ψαλ. 103, 24), καὶ θαυμάζει τὸ βάθος τῆς σοφίας τοῦ Θεοῦ. « Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. Ὡς ἀνεξερεύνητα τὰ κρίματα Αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ Αὐτοῦ. Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος Αὐτοῦ ἐγένετο » (Ῥωμ. 11 33. 34).

Ἐν χερσὶ Κυρίου ἡ τύχη σου· ἔσο οὖν βέβαιος, ὅτι ὁ Κύριος τὰ πάντα ἄγει πρὸς τὸ κρεῖττον, καὶ κατ' ἄριστον τρόπον· μὴ γόγγυζε μηδέποτε μηδὲ ἀδημόνει « Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος » (Ἰακ. 1, 5). « Ἰδοὺ ἡ Θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστὶν ἐπιστήμη » (Ἰώβ. 28, 28).

§ 40. Ἀγαθότης.

Ἡ μεγίστη ἀγαθότης τῆς θελήσεως τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς, ὡς Αὐτὸς καθ' ἑαυτὸν ὕψιστον καὶ ἄπειρον ἀγαθὸν καὶ τελειότης, οὕτω καὶ τῆς κτίσμασιν Αὐτοῦ δωρεῖται τοσοῦτον ἀγαθὸν καὶ τελειότητα, ὅσων ἡ πεπερασμένη αὐτῶν φύσις δεκτική. Διὸ καὶ ἡ ἁγία Γραφὴ πάντων μάλιστα τὴν ἀγαθότητα τοῦ Θεοῦ ἀνυμνεῖ. α) Τὴν πρὸς ἅπασαν τὴν κτίσιν. « Χρηστὸς Κύριος τοῖς σύμπασι καὶ οἱ οἰκτιρμοὶ Αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα Αὐτοῦ » (ψαλ. 144, 9)· « Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ » (ψαλ. 135, 25). « δίδωσι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις Αὐτὸν » (ψαλ 146, 9). β) ὅ,τι δ' ἀφορᾷ ἐν γένει τὸν ἄνθρωπον ἡ Ἱερὰ Γραφὴ ὀνομάζει τὸν Θεὸν Πατέρα (Ματθ. 23, 9), ἐξ οὗ « ἐκπορεύεται πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον » (Ἰακ. 1, 17). παρέχει ἡμῖν τὰ πάντα πλουσίως εἰς ἀπόλαυσιν (1 Τιμ. 5, 17), « Ὅς γε τοῦ ἰδίου υἱοῦ (οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν Αὐτὸν · Ῥωμ. 8, 32), « ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος Αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς » (Ἐφεσ. 2,7) γ) Ἰδίως δὲ ὀνομάζει ἀγαθὸν πρὸς τοὺς ἁμαρτωλούς. « ὅτι τὸν ἥλιον Αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους » (Ματθ. 5, 45). « Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος μακρόθυμος καὶ πολυέλεος » (ψαλ. 102, 8—13)·

Εὐχαριστῶμεν τῷ Θεῷ ὁσάκις ἀναπνέωμεν. Ἡ ἀχαριστία καὶ ἡ ψυχρότης πρὸς τὸν Θεὸν ἐστὶ βαρυτάτη ἁμαρτία. Ἔσο καὶ σὺ ἀγαθὸς πρὸς πάντας, καὶ πρὸς αὐτοὺς τοὺς ἐχθροὺς, ὡς ὁ Θεὸς ἀγαθὸς καὶ πρὸς τοὺς ἀχαρίστους καὶ κακούς· Μὴ ἀπονόει ἐπὶ ἁμαρτίαις. Προσεύχου, μετανόει, συγχώρει, καὶ ἔξεις συγχώρησιν.

§ 41. *Δικαιοσύνη*

Ἡ ὑψίστη δικαιοσύνη τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς ἔθηκε νόμους τοῖς λογικοῖς κτίσμασι, καὶ ἐπιτηρῶν αὐστηρῶς ἢ ἀμείβει, ἢ τιμωρεῖ. Πλὴν δὲ τῆς περὶ ἁγιότητος τοῦ Θεοῦ ἰδέας καὶ τῆς μαρτυρίας τῆς συνειδήσεως καθαρῶς μαρτυρουσῶν, ὅτι ὁ Θεὸς ἔστι Νομοθέτης καὶ Κριτὴς ἡμῶν, ἡ ἰδιότης αὕτη τοῦ Θεοῦ ἀποκαλύπτεται ζωηρὰ ἐν τῇ Ἁγίᾳ Γραφῇ.

α) Αὕτη διδάσκει, ὅτι ὁ Θεὸς ἐστιν *εἷς νομοθέτης ἡμῶν* (Ἰάκ. 4, 12), Οὗπερ *ἐστι θέλημα ὁ ἁγιασμὸς ἡμῶν* (1 Θες. 4, 3). Ὅτι Αὐτὸς Οὗτος « ἐποίησεν ἡμᾶς ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν » (Ἐφες. 2, 10), καὶ δείκνυσι τὸν δοθέντα ἡμῖν *φυσικὸν* νόμον « Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως » (Ῥωμ. 2, 14. 15), καὶ τὸν *θετικὸν τὸν παλαιὸν*, τὸν δοθέντα τῷ Ἰσραὴλ ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ τὸν νέον νόμον τὸν ἐγχαραγχθέντα διὰ τῆς χάριτος τοῦ Πνεύματος τοῦ Ἁγίου ἐν ταῖς καρδίαις (Ιερεμ. 31, 33. Ἑβρ. 8, 8—11), *Ὁ νόμος* δ' οὗτος ἐστὶν *ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθὴ* (Ῥωμ. 7, 12.)

β) Ἀποκαλύπτει πρὸς τούτοις, ὅτι ὁ Θεὸς ἐστιν *ὁ δίκαιος Κριτὴς ἡμῶν* (2 Τιμ. 4, 3). Ὅτι Αὐτὸς *ἐστι* « δίκαιος ἐν πάσαις τοῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ » (ψαλ. 144, 17). καὶ « οὐ γὰρ ἔστι πρσσωπολημψία ἐν τῷ Θεῷ » (Ῥωμ. 2, 11), καὶ διὰ τοῦτο, ὅταν Αὐτὸς ἔλθῃ κρίνων τὸν κόσμον, « τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ » (Ματθ. 16, 27), τουτέστιν ἀμοιβὴν τῶν ἀγαθῶν ἔργων « Ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται πα

ἐστι τὸν Οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν » (Λουκ. 16, 17).

Καὶ οὕτως ἡ ἐλπὶς εἰς Θεὸν οὐ καταισχύνει· Ἀλλὰ διὰ τοῦτο καταισχυνθήσονται ὅσοι, ἐλπίζοντες ἀνοήτως εἰς τὴν ἀγαθότητα τοῦ Θεοῦ, λογίζονται τὰς ἀπειλὰς τοῦ Θεοῦ, τὰς καταδικαζούσας τοὺς ἁμαρτωλοὺς εἰς αἰωνίας βασάνους, ἁπλῆν ἀπειλήν. *Θεὸς οὐ μυκτηρίζεται!*

§ 43. Ἡ *Τελειοτάτη ἁρμονία τῶν ἰδιοτήτων τοῦ Θεοῦ.*

Αἱ τελειότητες ἔν τε τῇ οὐσίᾳ τοῦ Θεοῦ, καὶ ἐν τοῖς κτίσμασι καίτοι διάφοροι οὐδόλως ἀντιφάσκουσιν, ἀλλ' ἐντελέστατα συμφωνοῦσι πρὸς ἀλλήλας· Οὕτως *α)* ἡ ὑψίστη ἐλευθερία τοῦ Θεοῦ συμφωνεῖ τῇ ὑψίστῃ σοφίᾳ. Διότι ὁ Θεὸς ἐκλέγει οὐχὶ πᾶν τὸ δυνατὸν, ἀλλὰ μόνον ὅ,τι συμφωνεῖ πρὸς τοὺς νόμους τῆς ὑψίστης σοφίας. *β)* Ἡ παντοδυναμία τοῦ Θεοῦ συμφωνεῖ πρὸς τὴν ἀγαθότητα ἅμα δὲ καὶ σοφίαν. Διότι ὁ Θεὸς ἐνεργεῖ οὐχὶ πάντοτε ἄνευ ὅρων, ἀλλὰ μεταχειρίζεται μέσα τινὰ, καὶ ἐνεργεῖ κατὰ τάξιν.

γ) Ἡ ἀγαθότης τοῦ Θεοῦ συμφωνεῖ πρὸς τὴν δικαιοσύνην καὶ ἡ δικαιοσύνη πρὸς τὴν ἀγαθότητα, διό καὶ ἐν τῇ κτίσει εἰσὶ πάντοτε αὐστηρῶς διακεκριμένοι. Αὕτη δὲ ἡ ἀμοιβαία σχέσις καὶ ἑνότης τῶν τελειοτήτων τῆς οὐσίας τοῦ Θεοῦ καλεῖται *συμφωνία τῶν ἰδιοτήτων τοῦ Θεοῦ*. Ὁ ψαλμῳδὸς καλῶς ἐκφράζει τὴν ἁρμονίαν ταύτην, λέγων, ὅτι ἐν τῷ Θεῷ « ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν » (ψαλ. 84, 11). Σύνδεσμος δὲ πασῶν τῶν θείων τελειοτήτων ἐστὶν ἡ ἄπειρος ἀγάπη τοῦ Θεοῦ, ἣν ὀφείλομεν ἔχειν πρὸ ὀφθαλμῶν κατὰ πάντα τὰ ζητήματα καὶ τὰς ἀπορίας, ἅτινα ἀναφύνονται, ἀναθεωρουμένης ἑκάστης ἰδιότητος τοῦ Θεοῦ κατ' ἰδίαν.

Τὴν ἐλευθερίαν μετρίαζε διὰ τῆς φρονήσεως. τὴν ἰσχὺν καὶ ἐξουσίαν συγκέρασον τῇ ἀγάπῃ πρὸς τὸ ἀγαθὸν καὶ τῇ ταπεινοφροσύνῃ· τὴν δικαιοσύνην κατάμιξον τῇ ἐπιεικείᾳ, καὶ ταύτην περίστελλε διὰ τῆς δικαιοσύνης, μιμοῦ τὸν Θεὸν, ἐν ᾧ ἡ τελειοτάτη ἁρμονία πάντων.

3) Περὶ τῶν ἰδιοτήτων τοῦ Θεοῦ τῶν ἀναφερομένων εἰς τὴν οὐσίαν ἅμα καὶ ζωὴν τοῦ Θεοῦ.

§ 44· *Ἀπαρίθμησις τῶν ἰδιοτήτων τούτων·*

Ἐκ τῆς ἐξετάσεως τῶν ἀπείρων τελειοτήτων τῆς οὐσίας καὶ τῆς ζωῆς τοῦ Θεοῦ καταφαίνεται, ὅτι τὸ ἄπειρον καὶ τέλειον Ὄν ὁ Θεὸς ἐστὶν ἐπ' ἄπειρον μέγας καὶ δεδοξασμένος 2) ἐπ' ἄπειρον μακάριος καὶ 3) ἐνιαῖος.

§ 45. *Τὸ μεγαλεῖον καὶ ἡ δόξα τοῦ Θεοῦ.*

Ἡ τῶν ἀπείρων τελειοτήτων ἐν τῷ Θεῷ ὕπαρξις ἀποτελε τὸ μεγαλεῖον καὶ τὴν δόξαν τοῦ Θεοῦ. Ἡ Ἁγία Γραφὴ πολλαχοῦ μεγαλοπρεπῶς ἐξεικονίζει τὴν ἰδιότητα ταύτην τοῦ Θεοῦ. Αὕτη ἀποκαλεῖ αὐτὸν Θεὸν τῶν Θεῶν, μέγαν καὶ ἰσχυρόν. « ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν κυρίων, Θεὸς μέγας, ἰσχυρὸς καὶ φοβερὸς » (Δευτ· 10, 17). Θεὸν τῆς δόξης « Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ » (Πράξ. 7, 2). Μάλιστα δὲ ὁ ψαλμῳδὸς φιλεῖ ἐξυμνεῖν τὴν δόξαν τοῦ Θεοῦ. « Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα· ὅτι Κύριος ὕψιστος, φοβερὸς. Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς Θεούς. ἀπὸ Ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.

Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα Αὐτοῦ. » Ἐνγένει δὲ τὴν δόξαν τοῦ Θεοῦ ἐξεικονίζουσιν οἱ ψαλμοί, 46, 47, 92, 94, 95, 96, 112, ἐν δὲ τῷ 148ῳ ψαλμῷ ὁ θεόπνευστος ψαλμῳδὸς ἅπασαν τὴν κτίσιν, ἀπὸ τῶν οὐρανίων Ἀγγέλων μέχρι τῶν ἑρπετῶν καὶ πετεινῶν τῆς γῆς, ὡς τι ὄργανον, κινεῖ πρὸς αἶνον τοῦ Θεοῦ. Δεδοξασμένος δ' ὢν ὁ Θεὸς παρ' ἑαυτῷ πρὸ καταβολῆς κόσμου, ἐπέδειξε τὴν δόξαν αὐτοῦ καὶ ἐκτὸς ἑαυτοῦ ἐν τῇ κτίσει. «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα» (ψαλ. 18, 1), καὶ ἐν τῇ ἀπολυτρώσει. «Ἐγὼ σὲ ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι, ἵνα ποιήσω» (Ἰάν. 17, 4), ἔλεγεν ὁ Ἰησοῦς Χριστὸς, παρασκευαζόμενος εἰς τὸ πάθος πρὸς ἀπολύτρωσιν τῶν ἀνθρώπων. «Προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ, εἰς ἔπαινον δόξης τῆς χάριτος Αὐτοῦ,» λέγει ὁ Ἀπόστολος (Ἐφεσ. 1, 5. 6). Ἀλλ ἐν πλήρει λαμπρότητι ἀποκαλυφθήσεται ἡ δόξα τοῦ Θεοῦ· μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος τούτου, ἐν τῷ μέλλοντι. «Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι Ἄγγελοι μετ' Αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης Αὐτοῦ, καὶ βασιλεύσει, καὶ τῆς βασιλείας Αὐτοῦ οὐκ ἔσται τέλος» (Ματθ. 25, 31).

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Εἰ ἡ ἄλογος κτίσις αἰνεῖ τὸν Θεὸν, πολλῷ μᾶλλον ὀφείλει ὁ ἄνθρωπος γενέσθαι καλίφωνος καὶ ἀσίγητος χορδὴ, δοξάζων τὸν Θεὸν οὐ μόνον τοῖς χείλεσιν, ἀλλὰ μάλιστα δι' ἁρμονικοῦ καὶ συμφώνου πρὸς τὸν νόμον τοῦ Θεοῦ βίου· ἄλλως ἔσται ὑπὲρ πᾶν ἄλλο κακόφωνος καὶ ἀηδὴς χορδή. Οὐ καλὸς ὁ αἶνος ἐν στόματι ἁμαρτωλοῦ.

§ 46. Προσευχὴ τοῦ Θεοῦ.

Ἡ προσευχὴ τοῦ Θεοῦ συνίσταται ἐν τῇ ἀπείρῳ καὶ ἀνεξαντλήτῳ χαρᾷ καὶ εὐτυχείᾳ, τὴν ἐξ ἀδιαλείπτου θεωρίας τῶν ἐν Αὐτῷ ἀπείρων τελειοτήτων. Ἡ Ἱερὰ Γραφὴ ἀποκαλεῖ τὸν Θεὸν μακάριον: « Κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ . . . » ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων » (1 Τιμ. 1, 11. 6, 15), καὶ ἀποκαλύπτει ὅτι « πλησμονὴ εὐφροσύνης μετὰ τοῦ προσώπου Αὐτοῦ· τερπνότητες ἐν τῇ δεξιᾷ Αὐτοῦ εἰς τέλος (ψαλ. 15, 11), καὶ ὅτι « οὐδὲ ὑπὸ χεῖρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος » (Πράξ. 17, 25), ταὐτοχρόνως δὲ τὸν τῶν ὅλων ἐστὶ πηγὴ μακαριότητος. « Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, λέγει ὁ ψαλμῳδός, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου (ψαλ. 16, 15). « Ἤτησα παρὰ τοῦ Κυρίου ταύτην ἐκζητήσω » (ψαλμ. 26, 4). « Ἡμεῖς δὲ τὸ προσκαλεσασθαι τὸ Θεὸν ἀγαθὸν ἐστι, τιθέσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου (ψαλ. 72, 28).

Μεσεμβάθου τῆς πηγῆς τούτου ξανταζόμενοι, καὶ μὴ θαυμάζοντες, θαυμαζόμενοι φθεγγόμεθα. Μόνος ὁ Θεὸς ἐπαρκεῖ καὶ ἀρκεῖται τὴν ἄβυσσον τοῦ ἀνεξιχνιάστου ἔρωτος. Ἐν γὰρ μοι ὑπάρξει ἐν τῷ ὑπερκειμένῳ κόσμῳ ἀπὸ τῆς ἄνω ἀγάπης ἐκζητεῖν ἐμοὶ ἡ ἀγάπη μου ὡς ἡ ἀγάπη μου ὁ Θεός τῆς ἀγάπης μου καὶ ἡ χαρά μου, ὁ Θεός τῆς αἰώνιος (ψαλ. 72, 25, 26.)

§ 47. Ἡ Ἑνότης τοῦ Θεοῦ.

Ἡ ἑνότης τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ἐκτὸς τοῦ ἑνὸς Θεοῦ οὐδὲν ὑπάρχει ἄλλο ἢ ἐν τῇ αὐτῇ τελειότητι ὑπάρξεως καὶ ζωῆς. Ἡ ἑνότης δ' αὐτοῦ ἀποκαλύπτεται ἔκτε τῆς ἰδέας τε-

ρὶ τῆς ἀπείρου τελειότητος τῆς οὐσίας τοῦ Θεοῦ, δι' ἣν ἀδυνατεῖ ὁ λόγος ὅπως συμβιβάσῃ δύο ἀπείρους οὐσίας, δύο πειητὰς καὶ προνητὰς τοῦ κόσμου, καὶ ἐκ τῆς ἰδιότητος τοῦ νοὸς τοῦ τείνοντος πρὸς τὴν ἑνότητα, διὸ καὶ ἐκ μέρους ἐφικτὴ ἡ ἰδέα αὕτη τοῖς ἐθνικοῖς φιλοσόφοις ἐγένετο. Σαφέστατα ὅμως ἡ Ἱερὰ Γραφὴ βεβαιοῖ αὐτὴν, καὶ δή. Ἡ πρώτη ἐντολὴ, ἡ δοθεῖσα τῷ Ἰσραὴλ ἔχει οὕτως. « Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ » (Ἔξοδ. 20, 2. 3). Ἐπαναλαμβάνων δὲ τὴν αὐτὴν ἐντολὴν ἐν ἑτέρῳ χωρίῳ ὁ Μωϋσῆς, λέγει· « ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς ὑμῶν, Κύριος εἷς ἐστι» (Δευτερ. 6, 4) « Κύριος ὁ Θεός σου οὗτος Θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν Αὐτοῦ » (Δευτ. 4, 39). « Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ » (Δευτ. 32,39). Ὁ ψαλμῳδὸς βοᾷ πρὸς τὸν Θεὸν· « οὐκ ἔστιν ὅμοιός Σοι ἐν Θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα Σου. . . Ὅτι μέγας εἶΣὺ, καὶ ποιῶν θαυμάσια, Σὺ εἶ Θεὸς μόνος » (ψαλ. 85, 8—10). Ἡ ἀλήθεια δ' αὕτη βεβαιοῦται καὶ ἐν τῇ Καινῇ διαθήκῃ. « Αὕτη δ' ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί Σε, τὸν μόνον ἀληθηνὸν Θεόν» (Ἰωάν. 17, 3), Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ' οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς Αὐτὸν. » (1 Κορ 8, 6). « Εἷς Θεὸς καὶ Πατὴρ πάντων » (Ἐφεσ. 4, 6). « Εἷς Θεὸς· εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων » (1 Τιμ. 2, 5).

Λάτρευε ἐξ ὅλης ψυχῆς καὶ καρδίας τῷ ἑνὶ Θεῷ, καὶ μηδὲν κτίσμα θεοποίει. Ὁ ὑπερήφανος θεοποιεῖ ἑαυτόν· ὁ φιλάργυρος λατρεύει τῷ χρυσῷ μόσχῳ· ὁ κοιλιόδουλος θεοποιεῖ τὴν κοιλίαν· ὁ δὲ ἄσωτος προσκυνεῖ τὰ πάθη.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Διδασκαλία περὶ τοῦ μυστηρίου τῆς Ὑπεραγίας Τριάδος.

§. 48. *Συνάφεια μετὰ τοῦ προηγουμένου.*

Μέγας καὶ δεδοξασμένος ὁ Θεὸς, θεωρούμενος ἐν ταῖς ἀπείροις τελειότησι καὶ προσκυνούμενος ἐν τῇ ἑνότητι τῆς οὐσίας αὐτοῦ. Ἀλλ' αἱ μέχρι τοῦδε θεωρηθεῖσαι τελειότητες Αὐτοῦ οὐκ ἐξαντλοῦσιν ἅπαν τὸ βάθος τῆς θεογνωσίας, τὸ ὑπὸ τῆς Θείας Ἀποκαλύψεως ἡμῖν δωρηθέν. Αὕτη εἰσάγει ἡμᾶς εἰς τὸ βάθος τοῦτο, τὸν ἕνα κατ' οὐσίαν Θεὸν Τριαδικὸν ἐν Προσώποις διδάσκουσα, καὶ ὅτι ὁ εἷς Θεὸς ἐστὶν ὁ Πατὴρ, ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα.

§. 49. *Τὸ σπουδαῖον τοῦ δόγματος περὶ τῆς Ὑπεραγίας Τριάδος.*

Τὸ περὶ τῆς Ὑπεραγίας Τριάδος δόγμα ἐστὶ τὸ διακριτικὸν, θεμελιῶδες καὶ ἀναγκαιότατον τῆς ἁγιωτάτης πίστεως ἡμῖν δόγμα. Καὶ *διακριτικὸν μὲν* διότι ἕνα Θεὸν ὁμολογοῦσιν οἱ Ἰουδαῖοι, ὡμολόγουν δὲ καὶ τῶν Ἐθνικῶν οἱ ἄριστοι. Τὴν δὲ Ὑπεραγίαν Τριάδα προσκυνεῖ μόνον ὁ Χριστιανός. *Θεμελιῶδες δὲ*, ὡς ἐπ' αὐτοῦ στηριζομένης τῆς ἀληθοῦς Θεογνωσίας. Διότι γινώσκομεν τὸν ἀόρατον Θεὸν μόνον, διότι ὁ Υἱὸς τοῦ Θεοῦ ἀπεκάλυψεν ἡμῖν Αὐτόν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον φωτίζει ἡμᾶς. Ἐπ' αὐτοῦ δὲ στηρίζεται καὶ πᾶσα ἡ ἐλπὶς τῆς ἡμετέρας Σωτηρίας. Διότι ἐσώθημεν καὶ ἐλυτρώθημεν ὑπὸ τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καταβάντος ἐξ οὐρανοῦ εἰς τὴν γῆν, καὶ περιποιούμεθα ἑαυτοῖς τὴν ἀξιομισθίαν Αὐτοῦ διὰ τῆς

χάριτος τοῦ Ἁγίου Πνεύματος. *Ἀναγκαῖον· διότι ὁ Ἀπόστολος λέγει.* «Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει, ὁ δὲ ὁμολογῶν τὸν Υἱὸν καὶ τὸν Πατέρα ἔχει, ὁ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ τὴν Πατέρα τὸν πέμψαντα αὐτόν.» (Ι Ἰωαννν. 2, 23. 5, 23). Ἀλλ' ἅμα τὸ δόγμα τοῦτο ἐστὶ τὸ μυστηριωδέστατον καὶ ὅλως ἀπρόσιτον τῷ ἡμετέρῳ νοΐ, διὸ καὶ ὀνομάζεται ὑπὲρ πᾶν ἄλλο *μυστήριον* τῆς πίστεως. Διὸ καὶ, ὡς ἀπαραίτητον τὸ γινώσκειν τοῦτο, οὕτω καὶ τὸ τηρεῖν αὐτὸ ἀκριβῶς οὕτως, ὡς τοῦτο διδάσκει ἡ Ἁγία καὶ Ὀρθόδοξος Ἐκκλησία.

§ 50 *Ἐκκλησιαστικὸς ὅρος.*

Ἐκ τοῦ πλήθους τῶν Ἐκκλησιαστικῶν ὅρων τῆς περὶ τῆς Ὑπεραγίας Τριάδος διδασκαλίας, εὐκρινέστερον καὶ πληρέστερον ὑπάρχει τὸ ἑπόμενον τοῦ Ἁγίου Ἀθανασίου Ἀλεξανδρείας. «Πίστις δὲ Καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα Θεὸν ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι σεβώμεθα, μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν μερίζοντες. Ἄλλη γάρ ἐστιν ἡ τοῦ Πατρὸς ὑπόστασις· ἄλλη τοῦ Υἱοῦ, καὶ ἄλλη τοῦ Ἁγίου Πνεύματος· ἀλλὰ Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος μία ἐστὶ Θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης. Οἷος ὁ Πατὴρ, τοιοῦτος καὶ ὁ Υἱὸς, τοιοῦτο καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Οὕτω, Θεὸς ὁ Πατὴρ, Θεὸς ὁ Υἱὸς, Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον, πλὴν οὐ τρεῖς Θεοὶ, ἀλλ' εἷς Θεός· ὡσαύτως, Κύριος ὁ Πατὴρ, Κύριος ὁ Υἱὸς, Κύριον τὸ Πνεῦμα τὸ Ἅγιον, πλὴν οὐ τρεῖς Κύριοι, ἀλλ' εἷς ἐστι Κύριος· Ὁ Πατὴρ ἀπ' οὐδενός ἐστι πεποιημένος, οὔτε δεδημιουργημένος, οὔτε γεγεννημένος· ὁ Υἱὸς ἀπὸ μόνου τοῦ Πατρός ἐστιν οὐ πεποιημένος, οὐδὲ δεδημιουργημένος, ἀλλὰ γεγεννημένος· Τὸ Πνεῦμα τὸ Ἅγιον, ἀπὸ τοῦ Πατρὸς, οὐ πεποιημένον, οὔτε δεδημιουργημένον, οὔτε γεγεννημένον, ἀλλ' ἐκπορευτόν. Καὶ ἐν

ταύτῃ τῇ Τριάδι, οὐδὲν πρῶτον, ἢ ὕστερον· οὐδὲν μεῖζον ἢ ἔλαττον· ἀλλ' ὅλαι αἱ τρεῖς ὑποστάσεις συνδιαιωνίζουσαι ἑαυταῖς εἰσι καὶ ἴσαι. Ὁ θέλων οὖν σωθῆναι, οὕτω περὶ τῆς Ἁγίας Τριάδος φρονείτω ».

§ 51. *Τὰ κύρια ἄρθρα.*

Ἐντεῦθεν ἀφ' ἑαυτῶν ἀπολαλύπτονται τὰ κύρια ἄρθρα τῆς διδασκαλίας περὶ τοῦ βαθυτάτου τούτου μυστηρίου τῆς Χριστιανικῆς πίστεως. Καὶ δὴ ἡμεῖς πιστεύομεν, ὅτι

1) Πραγματικῶς ὁ Θεός ἐστι Τριαδικὸς καὶ ἡ Τριὰς αὕτη συνίσταται ἐν τούτῳ, ὅτι εἰσὶ τρία πρόσωπα ἐν τῷ ἑνὶ Θεῷ.

2) Ἕκαστον τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος ἐστὶ Θεός. Ἀλλ' οὐκ εἰσὶ τρεῖς Θεοί, ἀλλὰ μία θεία οὐσία.

3) Τὰ τρία πρόσωπα τῆς Ὑπεραγίας Τριάδος διακρίνονται ἀλλήλων διὰ προσωπικῶν ἰδιωμάτων.

1) Ἡ ἀλήθεια τῆς ἐν Θεῷ Τριάδος.

§ 52 *Μαρτυρίαι ἐκ τῆς Καινῆς Διαθήκης*

Περὶ τοῦ ἐν Τριάδι Θεοῦ ἔχομεν ἀναντιῤῥήτους μαρτυρίας ἐκ τῆς Καινῆς Διαθήκης.

α) Ἡ κυριωτέρα μαρτυρία, ἡ συνιστᾶσα τὸν θεμέλιον λίθον καὶ τὸν σπόρον ἁπάσης τῆς περὶ τοῦ βαθυτάτου τούτου μυστηρίου τῆς πίστεως διδασκαλίας, περιέχεται ἐν τοῖς λόγοις αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, ἐν οἷς οὗτος μετὰ τὴν ἀνάληψιν αὐτοῦ ἐνετείλατο τοῖς Ἀποστόλοις περὶ τοῦ βαπτίσματος. «Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ [τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος » (Ματθ. 28, 19). Ἆρα κατ' αὐτὴν τὴν εἴσοδον ἡμῶν

εἰς τὴν πίστιν καὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ διὰ τοῦ μυστηρίου τοῦ βαπτίσματος διδασκόμεθα καὶ ὑποχρεούμεθα ὁμολογεῖν τὴν Ὑπεραγίαν Τριάδα, Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα, ὡς τὸ πρώτιστον, θεμελιῶδες καὶ διακριτικὸν δόγμα.

β) Πλὴν τούτου, καὶ πρὸ τῆς ἀναστάσεως αὐτοῦ ὁ Ἰησοῦς Χριστὸς συνεχῶς ἐδίδασκε τὴν ἀλήθειαν ταύτην, κηρύττων ἕκαστον ἰδίᾳ τῶν τριῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος, καὶ δὴ τὸν Θεὸν Πατέρα, καὶ τὸν Υἱὸν Αὐτοῦ τὸν Μονογενῆ, ἐν τοῖς χωρίοις (Ἰωαν. 3, 16. 17. 35. 5, 17 21—23. 26. Ματθ. 11, 27. κτλ.), τὸ δὲ Ἅγιον Πνεῦμα (Ματθ. 10, 20. 12, 28. 31. 32. Λουκ. 12, 12 Ἰωαν. 3, 5—8). Σαφῶς δὲ πάνυ ἐδίδαξε τὸ Μυστήριον τοῦτο ἐν τῇ ἐσχάτῃ Αὐτοῦ ὁμιλίᾳ πρὸς τοὺς μαθητὰς πρὸ τοῦ πάθους παραμυθῶν αὐτοὺς διὰ τὸν προκείμενον χωρισμόν. Ἔλεγε δὲ « ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου ἐκεῖνος ὑμᾶς διδάξει πάντα » (Ἰωάν. 14, 26). Ἐν τοῖς λόγοις τούτοις τοῦ Σωτῆρος καθαρῶς δείκνυται. α) Ὁ *Πατὴρ*, ὁ πέμπων τὸ Πνεῦμα τὸ Ἅγιον, β) ὁ *Υἱὸς*, ὁ ἐπαγγελόμενος ἐν τῷ ὀνόματι Αὐτοῦ πέμψαι Αὐτὸ, καὶ γ) τὸ *Πνεῦμα* τὸ πεμπόμενον πρὸς παραμυθίαν καὶ διδασκαλίαν.

γ) Ἐν τῷ βαπτίσματι τοῦ Ἰησοῦ Χριστοῦ φανερῶς ἀπεκαλύφθη ἡ Ὑπεραγία Τριάς. α) ὁ *Πατὴρ*, ὁ λαλήσας ἐξ οὐρανοῦ· β) ὁ *Υἱὸς*, ὁ βαπτισθεὶς ὑπὸ Ἰωάννου καὶ μαρτυρηθεὶς ὑπὸ τοῦ Πατρός· γ) τὸ *Πνεῦμα*. τὸ καταβὰν ἐπὶ τὸν Υἱὸν ἐν εἴδει περιστερᾶς. Τοῦτο δ' αὐτὸ ὁμολογεῖ καὶ ἡ Ἁγία Ἐκκλησία ἐν τῷ τῶν Θεοφανίων τροπαρίῳ (1).

δ) Οἱ Ἀπόστολοι διδαχθέντες ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ συνεχῶς ἐκήρυττον καὶ ἀπεκάλυπτον τὴν διδασκαλίαν περὶ τῆς

---

(1) Διὰ τοῦτο καὶ ἐν τῇ ἀρχαιότητι ἦν ἐν χρήσει ἡ ἔκφρασις· ἄπελθε εἰς Ἰορδάνην Τριάδα διδαξόμενος.

Ἁγίας Τριάδος· καὶ ὁ Ἀπόστολος Ἰωάννης, ἐν πολλοῖς χωρίοις τῆς ἐπιστολῆς αὐτοῦ μνημονεύων τοῦ Πατρὸς, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, ἰδίως ἐν ἀριδήλῳ φωτὶ παρίστησι τὴν ἀλήθειαν τῆς Ἁγίας Τριάδος ἐν τοῖς ἑξῆς· «τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ Οὐρανῷ. Ὁ Πατὴρ, ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν» (1 Ἰωαν. 5, 7). Ἡ αὐτὴ διδασκαλία περιέχεται ἐν τῇ ἐπιστολῇ τοῦ Ἀποστόλου Παύλου πρὸς Κορινθίους, ἔνθα εὐλογεῖ αὐτοὺς τῇ χάριτι τοῦ Ἰησοῦ Χριστοῦ, τῇ ἀγάπῃ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τῇ κοινωνίᾳ τοῦ Ἁγίου Πνεύματος. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν». (2 Κορ: 13, 13). Καὶ ἐν τοῖς λόγοις τοῦ Ἀποστόλου Πέτρου, ἐν οἷς οὗτος τὴν ἐκλογὴν τῶν πιστῶν ἐξάγει ἐκ τῆς προγνώσεως τοῦ Θεοῦ Πατρὸς, ἐκ τοῦ ἁγιασμοῦ ἐκ τοῦ Ἁγίου Πνεύματος καὶ τοῦ ῥαντισμοῦ διὰ τοῦ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ. «Πέτρος Ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις ... κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη» (1 Πέτρ. 1, 2).

§ 53. *Μαρτυρίαι τῆς Παλαιᾶς Διαθήκης.*

Εἰ καὶ ἐν τῇ Ἁγίᾳ Γραφῇ τῆς Παλαιᾶς Διαθήκης οὐχ εὑρίσκομεν σαφεῖς μαρτυρίας περὶ τοῦ μυστηρίου τῆς Ὑπεραγίας Τριάδος, διότι οἱ Ἰουδαῖοι διὰ τὴν ῥοπὴν αὐτῶν πρὸς τὴν πολυθεΐαν οὐκ ἠδύναντο νοῆσαι κατὰ τὸν προσήκοντα τρόπον τὸ ὕψιστον τοῦτο μυστήριον, διὸ οὐδ' ἀπεκαλύφθη αὐτοῖς ἐν πλήρει φωτί, ἀλλ' ὅμως ὑπὸ τὸ φῶς τῆς Καινῆς Διαθήκης λίαν ἀξιοσημείωτά εἰσι τὰ ἀκόλουθα χωρία. α) Ἐν τῇ βίβλῳ τῆς Γενέσεως δείκνυται πληθὺς προσώπων ἐν τῷ Θεῷ, ἅτινα συσκέπτονται καὶ ταὐτοχρόνως ἐνεργοῦσιν. «Ἐν

ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν· καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Καὶ εἶπε Κύριος ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν» (Γεν. 1, 1. 2. 26. 3, 22).

β) Ἐν ἄλλοις δὲ χωρίοις καθαρῶς διακρίνεται ὁ Κύριος τοῦ Κυρίου. «Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ Οὐρανοῦ» (Γεν. 19, 24). «Κύριος εἶπε πρός με. Υἱός μου εἶ Σὺ, ἐγὼ σήμερον γεγέννηκά Σε» (ψαλ. 2, 7). «Ἔχρισέ Σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου» (Ψαλ. 44, 8.) «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν Μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς Σου ὑποπόδιον τῶν ποδῶν σου». (Ψαλ. 109, 1).

γ) Ἡ διαφορὰ δ' αὕτη τῶν ἐν Θεῷ τριῶν Προσώπων καταφαίνεται καὶ ἐν ἄλλοις χωρίοις π. χ. «Τῷ λόγῳ Κυρίου οἱ Οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος Αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν». (ψαλ. 32, 6). «Καὶ νῦν Κύριος Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα Αὐτοῦ. Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ Με. Εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ Με». (Ἡσαΐου 48, 16. 61, 1). Τὸ αὐτὸ δὲ ἀφορᾷ καὶ ὁ Τρισάγιος ὕμνος τῶν Ἀγγέλων, ὃν ἤκουσεν ὁ Προφήτης Ἡσαΐας κύκλῳ τοῦ θρόνου τοῦ Κυρίου Σαβαώθ. *Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαὼθ* (Ἡσαΐου 6,3). Ἐκ τῶν μαρτυριῶν δὲ τούτων τῆς Παλαιᾶς Διαθήκης συμπεραίνομεν, ὅτι καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, τοὐλάχιστον οἱ Θεόπνευστοι Συγγραφεῖς καὶ ἄλλοι ἐκλεκτοὶ ἄνδρες, ὡμολόγουν τὴν ἐν Θεῷ Τριάδα.

§ 54. *Ἡ προσωπικὴ ὑπόστασις τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος.*

Ἡ θεία ἀποκάλυψις διδάσκουσα ἡμᾶς ὁμολογεῖν Τριάδα ἐν Θεῷ καὶ πιστεύειν εἰς Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, δι' αὐτοῦ τούτου διδάσκει, ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν τὴν προσωπικὴν ὑπόστασιν αὐτῶν, τουτέστιν, ὅτι ὁ Πατὴρ, ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα εἰσὶν οὐχὶ τρεῖς ἰδιότητες, ἢ δυνάμεις, ἢ ἐμφανίσεις καὶ ἐνέργειαι ἑνὸς καὶ τοῦ αὐτοῦ Προσώπου τοῦ Θεοῦ, ἀλλ' εἰσὶ τρία ἀπ' ἀλλήλων διακρινόμενα πρόσωπα τοῦ Θεοῦ. Πρόσωπον δὲ ὀνομάζεται πνευματικὸν ἐλεύθερον ἄτομον, ἔχον ἰδίαν ὑπόστασιν καὶ ἴδιον χαρακτῆρα, δι' ὧν οὐ συγχέεται ἄλλοις ἀτόμοις, ὡς τι ἰδίωμα αὐτῶν.

§ 55. *Ἡ προσωπικὴ ὑπόστασις τοῦ Θεοῦ Πατρός.*

Θεὸς ὁ Πατὴρ ἐστι πρόσωπον. Τοῦτο δὲ καταφαίνεται,

α) *Ἐκ τῶν ὀνομάτων.* Θεὸς, Πατὴρ, Κύριος Οὐρανοῦ καὶ γῆς, ἅπερ ἀποδίδονται μόνον πραγματικῷ προσώπῳ.

β) *Ἐκ τῶν ἰδιοτήτων*, αἵτινες ἀποδίδονται Αὐτῷ, οἷον *ζωή*· «ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ. Καθὼς ἀπέστειλέ Με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα (Ἰωάν. 5, 26, 6, 57.). *γνῶσις.* «Οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ Οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων. «Οὐδεὶς ἐπιγνώσκει τὸν Υἱὸν, εἰμὴ ὁ Πατὴρ» (Ματθ. 6, 32. 11, 27.). Ἀποδίδοται *θέλησις καὶ ἀγάπη.* «Ναὶ ὁ Πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν Σου» (Ματθ. 11, 26). «Ὅτι καταβέβηκα ἐκ τοῦ Οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ Ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός» (Ἰωάν. 6, 38). «Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν Αὐτῷ, ἃ Αὐτὸς ποιεῖ» (Ἰωάν. 5, 20). « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν Αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν » (Ἰωάν. 3, 16). Ἀποδίδοται τέλος δύναμις καὶ ἐνέργεια. « Ὁ Πατήρ Μου

ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι » (Ἰωάν. 5, 17). « Ὁ Πατήρ Μου μείζων πάντων ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν τὰ πρόβατα ἐκ τῆς χειρὸς τοῦ Πατρός μου » (Ἰωάν. 10, 29).

§ 56. *Ἡ προσωπικὴ ὑπόστασις τοῦ Υἱοῦ.*

Ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι πρόσωπον. Τοῦτο δὲ φαίνεται πάλιν α) *Ἐκ τῶν ὀνομάτων.* Καλεῖται δὲ Υἱὸς καὶ Κληρονόμος. « Ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων » (Ἑβρ. 1, 2) Ὀνομάζεται *Κύριος*· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ Μου· κάθου ἐκ δεξιῶν μου » (ψαλ. 109, 1). Παρὰ τῷ Προφήτῃ Ἡσαΐᾳ ὀνομάζεται οὗτος « Ἄγγελος μεγάλης Βουλῆς, θαυμαστὸς, Σύμβουλος, Θεὸς Ἰσχυρὸς, ἐξουσιαστὴς, Ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος » (Ἡσαΐου 9, 6)· τοιαῦτα δὲ ὀνόματα μόνον προσώπῳ ἀποδίδονται.

β) *Ἐκ τῶν ἰδιοτήτων.* Αὐτῷ ἀποδίδοται ζωή. « ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα » (Ἰωάν. 5, 26. 6, 57). Ἀποδίδοται γνῶσις. « Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα » (Ἰωαν. 10, 15,) Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰμὴ ὁ Πατὴρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱὸς » (Ματθ. 11, 27). Ἀποδίδοται θέλησις καὶ ἀγάπη. « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν Μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτὴν (Ἰωάν. 10, 18). « Ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ἔτι ἀγαπῶ τὸν Πατέρα· καθὼς ἠγάπησέ-Με ὁ Πατὴρ, Κἀγὼ ἠγάπησα ὑμᾶς » (Ἰωάν. 14, 31. 15, 9). Ἀποδίδοται τέλος ἐνέργεια καὶ δύναμις. « Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, Κἀγὼ ἐργάζομαι. Καὶ οὐχ ἁρπάσει τις τὰ πρόβατα τὰ ἐμὰ ἐκ τῆς χειρός Μου » (Ἰωάν. 5, 17. 10, 28).

§ 57. *Ἡ προσωπικὴ ὑπόστασις τοῦ Ἁγίου Πνεύματος.*

Τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστι πρόσωπον. Τοῦτο δὲ καταφαίνεται

α) *Ἐκ τῶν ὀνομάτων*, Πνεῦμα Παράκλητος, ἅπερ μόνον προσώπῳ ἀποδίδοται *β) Ἐκ τῶν ἰδιοτήτων*. *Αὐτῷ ἀποδίδοται* γνῶσις, « Τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰμὴ τὸ Πνεῦμα τοῦ Θεοῦ· Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ » (1 Κορ. 2, 10· 11). Ἀποδίδοται *θέλησις*. « Ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος » (Πράξ, 15, 28). « Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδία ἑκάστῳ καθὼς βούλεται » (1 Κορ, 12, 11). Ἀποδίδοται *ἐνέργεια* καὶ *δύναμις*. « Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ *χαρίσματα* ἰαμάτων, ἐν τῷ αὐτῷ Πνεύματι » (1 Κορ.12, 7— 9). Ἐν γένει λέγεται ἐν τῇ Ἁγίᾳ Γραφῇ, ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἀναγεννᾷ, διδάσκει, ὁδηγεῖ εἰς πᾶσαν ἀλήθειαν, παρηγορεῖ, καθίστησιν ἐπισκόπους, λαλεῖ διὰ τῶν Προφητῶν (Ἰωαν. 3, 8. Λουκ. 12, 12. Ἰωαν· 16,13. Πράξ. 9, 31. Ἰωαν. 14, 26. Πράξ. 20, 28. 2 Πετρ. 1, 21). Ταῦτα δὲ μόνον προσώπου ἴδια

§ 58. *Διάκρισις τῶν Προσώπων τοῦ Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος.*

Ὅτι δὲ ὁ Πατὴρ, ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα οὐκ εἰσὶν ἓν καὶ τὸ αὐτὸ θεῖον Πρόσωπον, φανερούμενον μόνον κατὰ διαφόρους σχέσεις καὶ ἐκ διαφόρων μερῶν, δῆλον τοῦτο ἐκ τῶν ἑξῆς.

α) *Ἐκ τῶν διαφόρων ὀνομάτων*. Ὁ Ἰησοῦς Χριστὸς ἐν τῇ ἐντολῇ περὶ τοῦ Βαπτίσματος φανερῶς διέκρινε τὸν Πατέρα, τὸν Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα, ὡς ἰδιαίτερα πρόσωπα, εἰπών· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος » (Ματθ. 28, 19). Ἀκριβῶς δ' οὕτω καὶ οἱ Ἅγιοι Ἀπόστολοι κατατάσσουσι τὰ ὀνόματα ταῦτα τὸ ἓν μετὰ τὸ ἕτερον μετ' ἰδιαιτέρου ἄρθρου (2 Κορ. 13, 13. 1 Πέτρ. 1, 2).

Ὁ δ' Ἅγιος Ἰωάννης ὁ Θεολόγος ὀνομάζει ἐξ ἴσου μάρτυρας ἐν Οὐρανῷ καὶ τὸν Πατέρα καὶ τὸν Λόγον καὶ τὸ Ἅγιον Πνεῦμα (1 Ἰωαν. 5, 7).

β) *Ἐκ τῶν ἀμοιβαίων σχέσεων.* Ὁ Πατὴρ γεννᾷ τὸν Υἱόν ὁ Υἱὸς γεννᾶται ἐκ τοῦ Πατρὸς, ὁ Πατὴρ ἐκπορεύει τὸ Ἅγιον Πνεῦμα, τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ ἐπαναπαύεται ἐν τῷ Υἱῷ. Φανερὸν δ' ὅτι ἀδύνατον ἡ ἀπόδοσις διαφόρων σχέσεων ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ, ἀδύνατον ἄρα καὶ τὸ νομίζειν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα ἕν πρόσωπον.

γ) *Ἐκ τῆς σχέσεως πρὸς τὸν κόσμον·* ὁ πατὴρ πέμπει τὸν Υἱὸν εἰς τὸν κόσμον, ἵνα σώσῃ τοὺς ἀνθρώπους· ὁ Υἱὸς ἐνσαρκοῦται, τελεῖ τὸ μυστήριον τῆς Σωτηρίας, ἀνέρχεται πρὸς τὸν Πατέρα καὶ παρακαλεῖ Αὐτὸν, ἵνα πέμψῃ τὸ Ἅγιον Πνεῦμα· τὸ Πνεῦμα τὸ Ἅγιον ἔρχεται εἰς τὸν κόσμον, καὶ τῇ ἰδίᾳ χάριτι τελειοῖ τὸ ἔργον τῆς σωτηρίας, ὅπερ ἤρξατο ὁ Υἱὸς, μεταδιδὸν αὐτὸ ἑκάστῳ τῶν ἀνθρώπων. Ὥστε πάλιν ἄλογον καὶ ἀδύνατον συγχέειν τὸν Πατέρα τὸν πέμποντα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μετὰ τοῦ Υἱοῦ τοῦ σαρκουμένου καὶ τοῦ Πνεύματος τοῦ πεμπομένου, εἰς ἓν πρόσωπον. Ἄρα εἰσὶ διάφορα πρόσωπα.

δ) Ἐκ τῆς καθαρᾶς μαρτυρίας αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ Ἰησοῦ Χριστοῦ. Αὐτὸς περὶ τοῦ Πατρὸς αὐτοῦ λέγει. « Ἄλλος ἐστιν ὁ μαρτυρῶν περὶ ἐμοῦ » (Ἰωάν. 5, 32. 8, 16—18). Περὶ δὲ τοῦ Πνεύματος τοῦ Ἁγίου «Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν » (Ἰωάν. 14, 16).

ε) Τέλος ἐκ τῆς καθαρᾶς φωνῆς τῆς οἰκουμενικῆς Ἐκκλησίας· διότι αὕτη ἐκ τῶν ἀρχαιοτάτων χρόνων διηνεκῶς ἐδίδασκεν ὁμολογεῖν οὐ μόνον Τριάδα ἐν τῷ Θεῷ, ἀλλὰ καὶ ἀσύγχυτον καὶ ἔργῳ ὑπάρχουσαν τὴν προσωπικὴν διάκρισιν μεταξὺ Πατρὸς, Υἱοῦ καὶ Ἁγίου Πνεύματος Τοῦτο δὲ κατα-

φαίνεται ἐκ τῆς παρ' αὐτῇ ἀπὸ τῶν Ἀποστολικῶν χρόνων καθολικῆς χρήσεως τῆς συντόμου δοξολογίας. *Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.* Ἐπίσης δὲ καὶ ἐκ τοῦ μυστηρίου τοῦ Βαπτίσματος, τελουμένου πάντοτε διὰ τριπλῆς καταδύσεως καὶ προφερομένων ἅμα τῶν λέξεων· *εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος*, ὡς καὶ ἐκ τῶν ἀρχαιοτάτων Συμβόλων (1). Ἐκ τῆς ὁμολογίας τῶν μαρτύρων, οἵτινες ἔθηκαν τὴν ψυχὴν αὐτῶν ὑπὲρ τῆς πίστεως εἰς τὴν ὑπεραγίαν Τριάδα. Καὶ τέλος ἐκ τῶν συγγραμμάτων τῶν ἀρχαιοτέρων Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας τῶν ἐμπεδωσάντων τὸ δόγμα τοῦτο ἐν τῷ Α' καὶ Β' αἰῶνι κατὰ τῶν Ἰουδαίων καὶ αἱρετικῶν, Πραξέου καὶ Νοητίου (2). Ἰδίως δὲ κατὰ τὸν Γ' αἰῶνα, ἐκ τῶν ὅρων τῆς Β' καὶ Γ' τοπικῆς ἐν Ἀντιοχείᾳ Συνόδου, ἔνθα τὸ δόγμα τοῦτο σαφῶς ὡρίσθη, καὶ ἀφωρίσθησαν τῆς Ἐκκλησίας ὁ Σαβέλιος, Παῦλος ὁ Σαμωσατεὺς καὶ ἄλλοι αἱρετικοὶ, ἀσεβοῦντες περὶ τὸ δόγμα τοῦτο, καὶ διδάσκοντες ἐν Θεῷ, οὐ μόνον μίαν οὐσίαν, ἀλλὰ καὶ μίαν ὑπόστασιν (3).

---

(1) Οἷον τὸ Ἀποστολικὸν σύμβολον, τὸ τοῦ Ἁγίου Γρηγορίου Νεοκαισαρείας· τὸ τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων, τῆς Ἐκκλησίας τῆς Καισαρείας, καὶ τὰ σύμβολα τὰ διατηρηθέντα ἐν τοῖς συγγράμμασι τῶν πατέρων καὶ τῶν διδασκάλων τῆς Ἐκκλησίας. π. χ. τοῦ Εἰρηναίου, του Τερτυλλιανοῦ. Ἀξιοσημείωτα ἰδίως τὰ τοῦ Συμβόλου τῆς ἐν Καισαρείᾳ Ἐκκλησίας. « πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα Παντοκράτορα ... καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν τοῦ Θεοῦ Λόγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Ζωὴν ἐκ Ζωῆς, Υἱὸν Μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεγεννημένον.. πιστεύομεν καὶ εἰς ἓν Πνεῦμα Ἅγιον, ἀληθῶς Πνεῦμα Ἅγιον.

(2) Ἰουστῖνος ὁ Φιλόσοφος, Εἰρηναῖος, Τερτυλλιανὸς, Ἐπιφάνειος, Αὐγουστῖνος Ἱππόλυτος καὶ ἄλλοι.

(3) Ἡ πλάνη αὕτη ἐξηκολούθει καὶ μετὰ ταῦτα παρὰ τοῖς Ἀρειανοῖς καὶ Μακεδονιανοῖς, κατὰ τὸν μέσον αἰῶνα παρὰ τοῖς Βογομίλοις καὶ τοῖς σχολαστικοῖς Θεολόγοις. Κατὰ δὲ τοὺς νεωτέρους χρόνους μετὰ τὸν προτεσταντισμοῦ ἀνεφάνη ἐν τῇ Δύσει, καὶ ἔχει ἐκεῖ οὐκ ὀλίγους ὀπαδοὺς, οἵτινες ὀνομάζονται

2) Ἡ Θεότης καὶ τὸ ὁμοούσιον τῶν Προσώπων τῆς ὑπεραγίας Τριάδος.

§ 59 *Ὁρισμός.*

Πιστεύοντες εἰς τὴν ἐν Θεῷ Τριάδα καὶ ὁμολογοῦντες Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τρία ἰδιαίτερα πρόσωπα, ὁμολογοῦμεν ἅμα καὶ τὴν Θεότητα ἑκάστου Προσώπου. Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός, Θεὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

§ 60. *Ἡ Θεότης τοῦ Θεοῦ Πατρός.*

Ἡ Ἱερὰ Γραφὴ μαρτυρεῖ περὶ τῆς Θεότητος τοῦ Πατρὸς, ἤτοι τοῦ πρώτου προσώπου τῆς Ἁγίας Τριάδος, ἀποδιδοῦσα Αὐτῷ α) *θεῖα ὀνόματα*· Διότι ὁ Πατὴρ ῥητῶς ἀποκαλεῖται Θεὸς ἐν πολλοῖς χωρίοις τῆς Ἁγίας Γραφῆς, καὶ δὴ ἐν τοῖς λόγοις τοῦ Ἰησοῦ Χριστοῦ. « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν Αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς Αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον » (Ἰωάν. 3, 16). Καλεῖται *Θεὸς μόνος*, *Θεὸς ἀληθὴς* π. χ. ἐν τοῖς λόγοις τοῦ Ἰησοῦ Χριστοῦ « Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί Σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ Ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν » (Ἰωάν. 17, 3). *Θεὸς εὐλογητός*·

ἀντιτριαδικοὶ (ἀντιτρινιτάριοι οὐνιτάριοι μοναδισταὶ, καὶ μοδαλισταὶ)· ὁμολογοῦσι δ' ἐν Θεῷ μίαν οὐσίαν καὶ ἓν πρόσωπον, ὑπὸ τὸ ὄνομα δὲ τοῦ Πατρὸς, τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐννοοῦσιν οὐχὶ τρία ἰδιαίτερα πρόσωπα τῆς Θεότητος, ἀλλὰ ἢ τρεῖς σχέσεις ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου τοῦ Θεοῦ (Θεὸς νομοθέτης, Κυβερνήτης, Κριτὴς), ἢ τρεῖς ἰδιότητας, οἵαι εἰσὶν ἡ ἀγαθότης, ἡ ἁγιότης ἡ ἀλήθεια, ἢ τρεῖς δυνάμεις νοῦς, σοφία, δραστηριότης, ἢ τρεῖς ἐνεργείας· δημιουργία, φωτισμὸς, ἁγιασμός.

« Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ Αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν (1 Πέτρ. 1, 3). *Κύριος τοῦ Οὐρανοῦ καὶ τῆς γῆς.* « Ἐξομολογοῦμαί Σοι, Πάτερ, Κύριε τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις » (Ματθ. 11, 25).

β) *Θείας ἰδιότητας* Ἐνταῦθα ἀνήκουσιν ἅπαντα τὰ χωρία τῆς Ἁγίας Γραφῆς, ἔνθα μόνος ὁ ἀληθινὸς Θεὸς καλεῖται αἰώνιος, παντοδύναμος, πανταχοῦ παρὼν κτλ. Ἀναμφίβολον δὲ ὅτι ἐν τοῖς πλείστοις τῶν χωρίων τούτων νοεῖται Θεὸς ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

γ) *Θείας ἐνεργείας.* Αὐτῷ ἀποδίδοται ἡ δημιουργία τοῦ Παντὸς καὶ ἡ πρόνοια περὶ αὐτοῦ, διότι ὁ Ἰησοῦς Χριστὸς λέγει. « Ὁ Πατήρ Μου ἕως ἄρτι ἐργάζεται, Κἀγὼ ἐργάζομαι « (Ἰωάν. 5, 17).

δ) Θείαν προσκύνησιν. Αὕτη ἀποδίδοται τῷ Πατρὶ ἐν τῇ ἐντολῇ τοῦ βαπτίσματος, καὶ ὁ Ἀπόστολος Παῦλος κάμπτει τὰ γόνατα ἐνώπιον Αὐτοῦ. « κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται» (Ἐφεσ. 3, 14. 15).

§61. *Ἡ Θεότης τοῦ Υἱοῦ τοῦ Θεοῦ.*

Ὡσαύτως ῥητῶς μαρτυρεῖ ἡ Ἁγία Γραφὴ περὶ τῆς Θεότητος τοῦ δευτέρου Προσώπου τῆς Ἁγίας Τριάδος τοῦ Υἱοῦ τοῦ Θεοῦ. Αὕτη ἀποδίδωσιν Αὐτῷ.

α) *Θεῖα ὀνόματα.* Καλεῖ Αὐτὸν Θεόν. « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, λέγει ὁ Ἅγιος Εὐαγγελιστὴς Ἰωάννης, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Ἐνταῦθα ὑπὸ τὸν Λόγον νοεῖ τὸν υἱὸν τοῦ Θεοῦ, διότι κατωτέρῳ λέγει. «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός (Ἰωάν.

1, 1— 14). Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει. « Μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκί » (1 Τιμ. 3, 16). Καλεῖ *Θεὸν ἀληθινόν*. « Οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν φῶς καὶ διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινόν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ Αὐτοῦ Ἰησοῦ Χριστῷ· Οὗτος ἐστὶν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ αἰώνιος » (1-Ἰωάν. 5, 20). Καλεῖ *Θεὸν μέγαν*. « Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ » (Τίτ. 2, 13). Καλεῖ *Θεὸν εὐλογητόν*. Ὁ Ἀπόστολος Παῦλος καταδεικνὺς τὰ πλεονεκτήματα τῶν Ἰουδαίων, λέγει ἐν ἄλλοις. « ὧν οἱ Πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας » (Ρωμ. 9, 5). Καλεῖ *Κύριον καὶ Θεόν*. Οὕτως ὁ Ἀπόστολος Θωμᾶς, ψηλαφῶν τοὺς μώλωπας τοῦ Σωτῆρος, ὡμολόγησεν. *ὁ Κύριός μου καὶ ὁ Θεός μου* (Ἰωάν. 20, 28).

β) *Θείας ἰδιότητας*. Ὁ υἱὸς τοῦ Θεοῦ καλεῖται *αἰώνιος*. Διότι ὁ Ἅγιος Ἰωάννης καλεῖ Αὐτὸν Λόγον *ἐν ἀρχῇ ὄντα*. Καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς κηρύττει ἑαυτὸν ὑπάρχοντα πρὸ τοῦ Ἀβραὰμ καὶ πρὸ τῆς διμιουργίας τοῦ κόσμου· « Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί. Καὶ νῦν δόξασόν Με, Σὺ Πάτερ, παρὰ Σεαυτῷ τῇ δόξῃ, ἣ εἶχον πρὸ τοῦ τὸν Κόσμον εἶναι παρὰ Σοί » (Ἰωάν. 8, 58. 17, 5). *Παντογνώστης*. Ὁ Ἅγιος Ἀπόστολος Παῦλος μαρτυρεῖ, » ὅτι ἐν τῷ Ἰησοῦ Χριστῷ εἰσὶ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι »(Κολοσ.2,3).Διόπερ αὐτὸς μόνος γινώσκει ἐντελῶς τὸν Πατέρα « Καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰμὴ ὁ Πατήρ. Οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱὸς »(Ματθ. 11, 27). Καθὼς γινώσκει Με ὁ Πατὴρ Κἀγὼ γινώσκω τὸν Πατέρα » (Ἰωάν. 10, 15). Γινώσκει τοὺς ἀνθρώπους· « Καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου. Αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ » (Ἰωάν. 2, 25). Τοιαύτη

παντογνωσία τοῦ Ἰησοῦ Χριστοῦ καταφαίνεται καὶ ἐκ τῶν προφητειῶν Αὐτοῦ, ἐξ ὧν τινες ἤδη κατὰ γράμμα ἐξεπληρώθησαν, ἄλλαι δ' ἐκπληροῦνται. *Παντοδύναμος.* Τοῦτο δὲ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς μαρτυρεῖ, ἀποκαλῶν ἑαυτὸν τοσοῦτον Παντοδύναμον ὅσον καὶ ὁ Πατὴρ Αὐτοῦ ἐστιν· καὶ δή. « Οὐχ ἁρπάσει τις τὰ πρόβατα τὰ ἐμὰ ἐκ τῆς χειρός Μου, καθὼς καὶ ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱός, οὓς θέλει ζωοποιεῖ » (Ἰωάν. 10, 28. 29. 5, 21). Ἐν γένει δὲ ἀποδίδοται τῷ Υἱῷ τοῦ Θεοῦ πλήρης ἰσότης καὶ τὸ ὁμοούσιον τῷ Πατρί, ἄρα καὶ πᾶσαι αἱ τελειότητες αἱ ἀνήκουσαι τῷ Πατρί. *Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμὲν*, λέγει περὶ ἑαυτοῦ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς (Ἰωάν. 10, 30).

γ) *Θείας ἐνεργείας*· Διότι καλεῖται Δημιουργὸς· *πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν* (Ἰωάν. 1, 3). « Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' Αὐτοῦ καὶ εἰς Αὐτὸν ἔκτισται» (Κολ. 1, 16. 17). Προνοητὴς τοῦ παντός· « φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως Αὐτοῦ » (Ἑβρ. 1, 3).

δ) *Θείαν προσκύνησιν.* Ἐν τῇ περὶ τοῦ βαπτίσματος ἐντολῇ τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἵσταται ἐν τῇ αὐτῇ σειρᾷ τῷ τοῦ Πατρὸς, καὶ ἡμεῖς ἐπίσης βαπτιζόμεθα, καὶ ἑπομένως ὑποχρεούμεθα ὁμολογεῖν καὶ τιμᾷν, ὡς τὸν Πατέρα, οὕτω καὶ τὸν Υἱόν. Ἐπίσης καὶ οἱ Ἀπόστολοι ἐν τοῖς ἀσπασμοῖς αὐτῶν μεταχειρίζονται ἐξίσου τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀποδιδόντες αὐτοῖς οὕτως ἴσην Θείαν τιμήν. Πρὸς τούτοις ὁ Ἰησοῦς Χριστὸς σαφῶς μαρτυρεῖ, ὅτι πάντες ὀφείλουσιν, *ὅπως τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα, καὶ ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν Πατέρα* (Ἰωάν. 5, 23—). Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει· « ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐ-

πουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων »(Φιλιπ. 2, 10), καὶ ὅτι οὗτός ἐστιν, περὶοὗ ἐν τῇ παλαιᾷ ἔτι Διαθήκῃ εἴρηται· «καὶ προσκυνησάτωσαν Αὐτῷ πάντες οἱ Ἄγγελοι Θεοῦ » (Εβρ. 1, 6. πρβλ. Ἀποκαλ. 5, 11— 14). Ἐκτῆς ἀντιπαραθέσεως δὲ τῶν μαρτυριῶν τούτων καταφαίνεται, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστιν ἀληθινὸς Θεὸς, ὡς καὶ ὁ Πατὴρ, καὶ ἑπομένως ἴσος αὐτῷ κατὰ πάντα.

ε) Τέλος τοῦτ' αὐτὸ βεβαιοῦται ὑπὸ τῆς διηνεκοῦς παραδόσεως τῆς οἰκουμενικῆς Ἐκκλησίας, ἥτις παραλαβοῦσα τὸ δόγμα τοῦτο παρὰ τῶν Ἀποστόλων, ἐτήρησεν ἀείποτε ἀπαραμείωτον, ὡς φαίνεται ἐκτῶν ἀρχαίων Συμβόλων, ἔνθα ὁ Ἰησοῦς Χριστὸς ἤτοι τὸ δεύτερον πρόσωπον τῆς ὑπεραγίας Τριάδος καλεῖται ῥητῶς Θεός (π. χ. Ἐν τῷ συμβόλῳ τοῦ Γρηγορίου Νεοκαισαρείας, τοῦ Ἁγίου Ἀθανασίου, ἐν τῷ Συμβόλῳ τῆς Καισαρείας), ὡσαύτως ἐκ τῶν ὁμολογιῶν τῶν Ἁγίων μαρτύρων ἐκχεάντων τὸ αἷμα αὐτῶν ὑπὲρ τῆς εἰς Χριστὸν, ὡς Θεὸν, πίστεως, καὶ ἐκ τῶν λειτουργικῶν ὕμνων, τῶν λειτουργιῶν καὶ τῆς διηνεκοῦς διδασκαλίας τῶν ἁγίων Πατέρων κατ' αὐτοὺς τοὺς πρώτους αἰῶνας τοῦ Χριστιανισμοῦ (1). Πρὸς τούτοις ἡ ἁγία Ἐκκλησία ἀριζήλως ὑπερησπίζετο τὸ δόγμα τοῦτο κατὰ τῶν αἱρετικῶν, οἷον κατὰ μὲντὸν Αον αἰῶνα Κηρίνθου καὶ Ἐβιωνιτῶν· κατὰ τὸν Βον Καρποκράτους, Θεοδότου, Ἀρτέμονος· κατὰ τὸν Γον αἰῶνα Παύλου Σαμωσατέως· καὶ τέλοςκατὰ τὸν Δον αἰῶνα ἐπὶ τῆς Ας Οἰκουμενικῆς ἐν Νικαίᾳ Συνόδου ἀφώρισε τὸν Ἄρειον, τολμήσαντα ταπεινῶσαι τὸν υἱὸν τοῦ Θεοῦ ἐνώπιον τοῦ Πατρὸς, καὶ καλέσαντα αὐτὸν κτίσμα. Ἐνταῦθα κοινῇ φω-

(1) Κατὰ τὸν Α αἰῶνα τοῦ Κλήμεντος Ῥώμης, Ἰγνατίου τοῦ Θεοφόρου, κατὰ τὸν Βον Ἰουστίνου, Εἰρηναίου, Τερτυλλιανοῦ, καὶ κατὰ τὸν Γον Μεθοδίου Πατάρων Κυπριανοῦ, Ἱππολύτου. Κατὰ δὲ τὸν Δον αἰῶνα οἱ κυριώτεροι ὑπέρμαχοι τοῦ δόγματος τούτου ἦσαν Ἀθανάσιος ὁ μέγας καὶ Γρηγόριος ὁ Θεολόγος.

νῆ ἡ Οἰκουμενικὴ Ἐκκλησία ὥρισεν ὁμολογεῖν. « Ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. Τοὺς δὲ λέγοντας, ὅτι ἦν ποτὲ, ὅτε οὐκ ἦν καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας, φάσκοντες εἶναι κτιστὸν, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν, τὸν υἱὸν τοῦ Θεοῦ, ἀναθεματίζει ἡ καθολικὴ, καὶ ἀποστολικὴ Ἐκκλησία .» Ἐπίσης καὶ μετὰ ταῦτα ἡ Ἐκκλησία κατεπολέμει διηνεκῶς τοὺς ὀπαδοὺς τοῦ Ἀρείου, πολλαχῶς κενοσοφοῦντας ὑπὸ διάφορα ὀνόματα» (1).

§ 62. *Ἡ Θεότης τοῦ Πνεύματος τοῦ Ἁγίου.*

Ὅτι τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστι Θεὸς, τοῦτο ὡσαύτως καταφαίνεται, ὡς καὶ ἡ Θεότης τοῦ Υἱοῦ τοῦ Θεοῦ.

α) Ἐκ τῶν Θείων ὀνομάτων. Διότι τὸ Πνεῦμα τὸ Ἅγιον καλεῖται Θεός. Ὁ Ἀπόστολος Πέτρος ἐν ταῖς πράξεσι λέγει τῷ

---

(1) Τοὺς Ἀρειανοὺς ἰδίως, οἵτινες ὠνόμαζον τὸν Υἱὸν τοῦ Θεοῦ κατ' ἀναφορὰν πρὸς τὸν Θεὸν Πατέρα ἑτερούσιον, εἴτε ἀνόμοιον, διὸ καὶ αὐτοὶ ὠνόμαζον ἑαυτοὺς ἀνομοίους, ὡσαύτως δὲ Ἀετιανοὺς ἀπὸ Ἀετίου Εὐνομιανοὺς ἀπὸ Εὐνομίου. Καὶ τοὺς Ἡμιαρειανοὺς, οἵτινες ὠνόμαζον τὸν Υἱὸν τοῦ Θεοῦ οὐχὶ ὁμοούσιον,, ἀλλ' ὁμοιούσιον Καὶ τοὺς Ἀρειανοὺς μέσους, ἤτοι Ἀκακιανοὺς ἀπὸ τοῦ Ἀκακίου, οἵτινες ὠνόμαζον τὸν Υἱὸν τοῦ Θεοῦ ὅμοιον· Ἡ καθαιρεθεῖσα αὕτη αἵρεσις ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ἐξηκολούθει καὶ μετὰ ταῦτα προστατευομένη ὑπὸ τῶν Αὐτοκρατόρων Κωνσταντίου καὶ Βάλεντος. Ἐπὶ Θεοδοσίου τοῦ μεγάλου ἐσβέσθη ὁ Ἀρειανισμὸς ἐν τῇ Ἀνατολῇ, ἀλλ ἐν τῇ Δύσει μετεδόθη ὑπὸ τῶν ἀρειανῶν κηρύκων τοῖς Γότθοις, καὶ λοιποῖς λαοῖς, οἵτινες ἐπὶ τῶν ἐρειπίων τῆς Ῥωμαϊκῆς αὐτοκρατορίας ἐθεμελίωσαν τὰ ἑαυτῶν βασίλεια· Κατὰ τὸν μέσον αἰῶνα ἀνενέωσαν τὸν ἀρειανισμὸν οἱ Βογομίλοι, κατὰ δὲ τοὺς νεωτέρους οἱ Σωκινιανοὶ, Ἀναβαπτισταὶ, καὶ ἐν γένει οἱ Δογοδίφαι (Rationalistae).

Ανανίαν· « διὰ τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον; » εἶτα δὲ δεικνὺς, τίς ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον, προστίθησιν· « οὐκ ἐψεύσω τοῖς ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ » (Πράξ. 5, 8. 4). Καὶ ὁ Ἀπόστολος Παῦλος καλεῖ τοὺς πιστεύοντας ναὸν Θεοῦ, διότι τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν αὐτοῖς· « οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν » (1 Κορ. 3, 16. 2 Κορ. 6, 16); Πρὸς τούτοις ὁ μὲν Προφήτης Ἡσαΐας λέγει, ὅτι ὁ Κύριος, ὁ καθήμενος ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ἀπέστειλεν αὐτὸν μετὰ κηρύγματος πρὸς τὸν Ἰσραηλιτικὸν λαὸν (Ἡσαΐου 6, 1. 8. 9)· ὁ δὲ Ἀπόστολος Παῦλος τὸν λαλήσαντα τῷ προφήτῃ καλεῖ *Πνεῦμα Ἅγιον* (Πραξ. 28, 25. 26).

6) *Ἐκ τῶν Θείων ἰδιοτήτων*· οὕτω τῷ Πνεύματι τῷ Ἁγίῳ ἀποδίδοται παντογνωσία. « Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. » (1 Κορ. 2, 10.) Παντοδυναμία· « ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν » (1 Κορινθ. 12, 8. 9. 10). Καὶ αὐτὸς δὲ ὁ Ἰησοῦς Χριστὸς λέγει, ὅτι ἐν Πνεύματι Θεοῦ ἐποίει θαύματα καὶ ἐξέβαλλε τὰ δαιμόνια (Ματθ. 12. 28). Πανταχοῦ παρουσία. « Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός Σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω » (ψαλ. 138, 7);

γ) *Ἐκ τῶν Θείων Ἐνεργειῶν*. Τῷ Ἁγίῳ Πνεύματι ἀποδίδοται ἡ δημιουργία· « καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος (Γεν. 2, 2). Ἐνταῦθα δὲ ὑπὸ τὸ ὄνομα τοῦ Πνεύματος νοεῖται τὸ τρίτον Πρόσωπον τῆς Ὑπεραγίας Τριάδος, ὡς φαίνεται ἐκ τῶν λόγων τοῦ ψαλμῳδοῦ: « τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος Αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν » (ψαλ. 32, 6). « Ἐξαποστελεῖς τὸ

Πνεῦμα σου, καὶ κτισθήσονται (ψαλ. 103, 30). Καὶ ὁ Ἰὼβ λέγει. « Πνεῦμα θεῖον τὸ ποιῆσαν με (33, 4). Ἡ Πρόνοια, ἰδίως περὶ τῆς Ἐκκλησίας « Προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο Ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος » (Πράξ.20, 28). Πρὸς δὲ τούτοις τῷ Πνεύματι τῷ Ἁγίῳ ἀποδίδοται ἡ ἄφεσις τῶν ἁμαρτιῶν.» Λάβετε Πνεῦμα Ἅγιον. Ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς » (Ἰωάν. 20, 22. 23). Ἡ παλιγγενεσία. «Ἐάν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· » (Ἰωάν. 3, 5)· Ἡ δικαίωσις , ὁ ἁγιασμὸς καὶ ἐν γένει ἅπασαι αἱ ἐνέργειαι τῆς χάριτος. « ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν » (1 Κορ. 6, 11).

δ) *Ἐκ τῆς Θείας προσκυνήσεως.* Ἐν τῇ ἐντολῇ περὶ τοῦ βαπτίσματος τὸ ὄνομα τοῦ Πνεύματος τοῦ Ἁγίου ἵσταται ἐν τῇ αὐτῇ σειρᾷ μετὰ τοῦ ὀνόματος τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Θεοῦ Υἱοῦ, καὶ ἡμεῖς ὑποχρεούμεθα διὰ τοῦ βαπτίσματος ὁμολογεῖν, ὡς τὸν Πατέρα καὶ τὸν υἱὸν τοῦ Θεοῦ, οὕτω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον Θεόν. (Ματθ. 28, 19). Ὡσαύτως καὶ ἐν τοῖς Ἀποστολικοῖς ἀσπασμοῖς τὸ ὄνομα τοῦ Πνεύματος τοῦ Ἁγίου τίθεται ὁμοῦ μετὰ τοῦ ὀνόματος τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Πρὸς τούτοις αὐτὸς ὁ Ἰησοῦς Χριστὸς εἶπε περὶ τῶν Ἰουδαίων, τῶν βλασφημούντων εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, δι' οὗ ἐξέβαλλε τὰ δαιμόνια,' καὶ καλούντων Αὐτὸ Βεελζεβοὺλ, ὅτι ἡ ἁμαρτία αὕτη οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι. (Ματθ: 12, 31. 32). Ἐκ τούτων δ' ἁπάντων καθαρῶς καταφαίνεται, ὅτι καὶ τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστι Θεὸς κατὰ τὴν αὐτὴν ἔννοιαν, ὡς Θεὸς ὁ Πατὴρ καὶ Θεὸς ὁ Υἱός, καὶ ἑπομένως κατὰ πάντα ἴσος τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

ε) Τέλος τὸ δόγμα περὶ τῆς Θεότητος τοῦ Πνεύματος τοῦ

Ἁγίου καὶ τῆς ἰσότητος Αὐτοῦ τῷ Πατρὶ καὶ τῷ Υἱῷ σαφῶς ἐκφρασθὲν ἐν τοῖς Συμβόλοις καὶ ταῖς ὁμολογίαις τῆς Ἐκκλησίας, μετὰ τοῦ περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ δόγματος, καὶ κηρυχθὲν ὁμοφώνως ὑπὸ τῶν Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας (1) ἐν τοῖς συγγράμμασιν αὐτῶν, τοῖς κατὰ τῶν αἱρετικῶν, ἐκυρώθη καὶ ὑπὸ τῆς κοινῆς φωνῆς τῆς οἰκουμενικῆς Ἐκκλησίας, κατὰ τὸν Δ' αἰῶνα ἐπὶ τῆς Β' οἰκουμενικῆς ἐν Κωνσταντινουπόλει Συνόδου, ἐν ᾗ καθηρέθη ὁ Πνευματομάχος Μακεδόνιος καὶ οἱ ὀπαδοὶ αὐτοῦ, οἱ ταπεινώσαντες τὸ Πνεῦμα τὸ Ἅγιον καὶ καταβιβάσαντες αὐτὸ εἰς τὴν τάξιν τῶν κτισμάτων· ὡρίσθη δὲ ὁμολογεῖν « τὸ Πνεῦμα τὸ Ἅγιον, Κύριον ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον.

§ 63. *Τὸ ὁμοούσιον τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος.*

Ἐν τούτοις ὁ Θεὸς Πατὴρ, ὁ Θεὸς Υἱὸς, ὁ Θεὸς τὸ Ἅγιον Πνεῦμα, καίτοι διακρίνονται ἀλλήλων ὡς Πρόσωπα εἰσὶν ὅμως ἓν κατ' οὐσίαν, ἔχουσι μίαν Θείαν φύσιν, καὶ διὰ τοῦτο οὐκ εἰσὶ τρεῖς Θεοὶ, ἀλλ' εἷς Θεός· Διότι

α) Ἡ αὐτὴ Ἁγία Γραφὴ, ἥτις σαφῶς διακρίνει τὰ Θεῖα Πρόσωπα καὶ ἀποδίδωσιν ἑκάστῳ Θείαν οὐσίαν, ἐν πλείστοις χωρίοις μαρτυρεῖ, ὅτι ὁ Θεὸς εἷς ἐστιν (ἴδε §. 45.)

β) Πλὴν δὲ τούτου ῥητῶς μαρτυρεῖ, ὅτι τὰ τρία Πρόσωπα τῆς Ὑπεραγίας Τριάδος ἔχουσι μίαν οὐσίαν, διὰ τοῦτο ἐν τῇ ἐντολῇ περὶ τοῦ βαπτίσματος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετεχειρίσθη τὴν λέξιν ὄνομα ἄπαξ. « Πορευθέντες οὖν μαθη-

(1) Ὑπὸ τῶν αὐτῶν οἵτινες ἀνέπτυξαν καὶ ἐστερέωσαν τὸ δόγμα περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ.

πεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος » (Ματθ. 28, 19). Τοῦτο δὲ δείκνυσιν, ὅτι τῷ Πατρὶ, τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι προσήκει ἡ αὐτὴ Θεία τιμὴ, ἄρα καὶ ἡ αὐτὴ Θεία οὐσία. Ὁ δὲ Ἀπόστολος Ἰωάννης λέγει· « ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατὴρ, ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν » (1 Ἰωάν. 5, 7). Ὁ δὲ Ἰησοῦς Χριστὸς λέγει περὶ τῆς ἰδίας σχέσεως πρὸς τὸν Πατέρα. « Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν. Πάντα, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. » (Ἰωάν. 14, 10. 16, 15, 10, 30)· ὁμοίως καὶ τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ τὴν ἑαυτοῦ οὐσίαν, καλεῖται Πνεῦμα τοῦ Πατρός. « οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες. ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν » (Ματθ. 10, 20). Καὶ Πνεῦμα Χριστοῦ· « εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν Αὐτοῦ » (Ρωμ. 8, 9. Γαλ. 4, 6).

γ) Ἡ *Οἰκουμενικὴ* Ἐκκλησία διαπαντὸς ἐδίδασκεν ὁμολογεῖν τὸ ὁμοούσιον τῶν Προσώπων τῆς Ὑπεραγίας Τριάδος, ὡς τοῦτο φανερὸν ἐξ ἁπάντων τῶν Ἐκκλησιαστικῶν Συμβόλων καὶ τῶν συγγραμμάτων τῶν Πατέρων, καὶ ἀπέῤῥιπτε τὴν ἐναντίαν τῷ δόγματι τούτῳ πλάνην τῶν τριθέων, τὴν ἀναφανεῖσαν κατὰ τὸν 6ον Αἰῶνα.

§ 64. *Πορίσματα.*

Ἐκ τῆς διδασκαλίας περὶ τοῦ ὁμοουσίου τῶν Προσώπων τῆς Ὑπεραγίας Τριάδος ἕπεται·

α) Ἡ συνύπαρξις καὶ τὸ ἀδιαίρετον τῶν Προσώπων, διὰ ταῦτα οὐχὶ τὸ ἓν ἐκτὸς τοῦ ἑτέρου εἶναι, ὡς μέρη καὶ εἴδη τῆς Θεότητος, ἀποτελοῦντα διὰ [τοῦ συνδυασμοῦ αὐτῶν ὅλον τι, ἀλλ' ἕκαστον ἐν τῷ ἑτέρῳ ὁλοσχερῶς, ἀδιαιρέτως, καὶ ἀσυγχύτως ἅμα ὑπάρχει.

β) Ἡ ἑνότης πάντων τῶν Θείων ἰδιωμάτων, ἤτοι ἑνότης νοὸς καὶ γνώσεως, ἑνότης βουλῆς καὶ θελήσεως.

γ) Ἡ ἑνότης ἐνεργείας, διότι αὐτη ἐστὶν ἔκφρασις μιᾶς θελήσεως καὶ ἑνιαίων τελειοτήτων.

δ) Ἡ ἑνότης ἀξίας, τιμῆς καὶ λατρείας, καθ' ὃ ἐν τῇ Ὑπεραγίᾳ Τριάδι οὐδὲν πρῶτον ἢ ὕστερον, οὐδὲν μεῖζον ἢ ἔλαττον, καὶ καθ' ἃ ὁ προσκυνῶν τὸ ἓν πρόσωπον, ὀφείλει προσκυνεῖν ἅμα καὶ τὸ δεύτερον καὶ τὸ τρίτον, τὸν Πατέρα ἐν τῷ Υἱῷ, τὸν Υἱὸν ἐν τῷ Πατρὶ, τὸ Πνεῦμα τὸ Ἅγιον ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

ε) Ἡ ἑνότης τοῦ ἀριθμοῦ, πρὸς τὴν οὐσίαν θεωρουμένου. Διότι τὰ πρόσωπα τῆς Ὑπεραγείας Τριάδος ἕν ὄνομα ἔχουσι τὸ τοῦ Θεοῦ· διὸ καὶ ἀναγινώσκομεν ἐν ταῖς προσευχαῖς· *προσκυνῶ Σε Ὑπεραγία Τριὰς, Πάτερ, Υἱὲ καὶ Ἅγιον Πνεῦμα, πιστεύω εἰς Σέ, ἀλλ' οὐχὶ εἰς ὑμᾶς.*

3) Περὶ τῆς ἀμοιβαίας σχέσεως τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος ἤτοι περὶ τῶν προσωπικῶν ἰδιωμάτων τοῦ Πατρὸς, Υἱοῦ καὶ Ἁγίου Πνεύματος.

§ 65. *Τὸ προσωπικὸν ἰδίωμα τοῦ Θεοῦ Πατρός.*

Τὸ προσωπικὸν ἰδίωμα τοῦ Θεοῦ Πατρὸς, δι' οὗ διακρίνεται τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐστὶν, ὅτι ἐξ οὐδενὸς ἐγεννήθη, ἢ ἐκπορεύεται, ἀλλὰ α) γεννᾷ τὸν Υἱὸν. «Υἱός Μου εἶ Σὺ, ἐγὼ σήμερον γεγέννηκά Σε (ψαλ. 2, 7).

β) ἐξ Αὐτοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ Ἅγιον. «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται» (Ἰωάν. 15, 26) Ἐπειδὴ δ' ἐκ τοῦ Θεοῦ Πατρὸς γεννᾶται ὁ Υἱὸς καὶ ἐκπορεύεται τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ οὕτω ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα κατὰ τοὺς λόγους τοῦ Ἁγίου Δαμασκηνοῦ, ἀναφέρονται πρὸς μίαν αἰτίαν τὸν Πατέρα, διὰ τοῦτο αὐτὸς ἀριθμεῖται πρῶτον πρόσωπον τῆς Ὑπεραγίας Τριάδος.

§. 66. *Τὸ προσωπικὸν ἰδίωμα τοῦ Υἱοῦ τοῦ Θεοῦ.*

Τὸ προσωπικὸν ἰδίωμα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐστιν, ὅτι οὗτος οὔτε γεννᾷ οὔτε ἐκπορεύει τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ' Αὐτὸς γεννᾶται ἐκ τοῦ Πατρὸς, ὡς φαίνεται ἐκ τῶν παρατεθέντων ἤδη χωρίων τῆς Γραφῆς. Ἡ Γέννησις τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐστὶν α) αἰώνιος· διότι οὗτος καλεῖται γεννηθεὶς *σήμερον πρὸ ἑωσφόρου* (ψαλ. 2, 7. 109, 3). *ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος* (Μιχ. 5, 2). *Ἐν ἀρχῇ ὤν* (Ἰωαν. 1, 1), καὶ *ἔχων δόξαν πρὸ τοῦ τὸν κόσμον εἶναι* (Ἰωάν. 17, 5. 24).

β) *ἐσωτερικὴ*· διότι οὗτος εὑρίσκεται ἐν τοῖς κόλποις τοῦ Πατρὸς (Ἰωάν. 1, 18). Ὁ πατὴρ ἐν Αὐτῷ καὶ αὐτὸς ἐν τῷ Πατρὶ (Ἰωάν. 10, 38).

γ) *τελειοτάτη*. Διότι αὐτὸς ἔχει πᾶν, ὅ,τι ἔχει ὁ Πατήρ. «Καὶ τὰ ἐμὰ πάντα Σὰ ἐστὶ, καὶ τὰ Σὰ ἐμὰ (Ἰωάν. 17, 10), καὶ διὰ τοῦτο ἐστὶ πλήρης καὶ ὁλόκληρος εἰκὼν τοῦ Θεοῦ Πατρός. «Ὅς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ (Ἑβρ. 1, 3). Δι' αὐτὸ δὲ τοῦτο δ) *μοναδικὴ*· διὸ καὶ καλεῖται *Μονογενὴς* (Ἰωάν. 1, 18). Τέλος ε) *ἀκατάληπτος*. Ὁ Προφήτης Ἡσαΐας λέγει περὶ αὐτοῦ τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται (53, 8); Ἐπειδὴ δὲ ὁ Θεὸς Υἱὸς γεννᾶται ἐκ τοῦ Πατρὸς, διὰ τοῦτο ἀριθμεῖται δεύτερον Πρόσωπον τῆς Ὑπεραγίας Τριάδος·

§. 67. *Τὸ προσωπικὸν ἰδίωμα τοῦ Θεοῦ Πνεύματος Ἁγίου.*

Τὸ προσωπικὸν ἰδίωμα τοῦ Θεοῦ Πνεύματος Ἁγίου συνίσταται ἐν τούτῳ, ὅτι αὐτὸ οὔτε γεννᾷ, οὔτε γεννᾶται, ἀλλ' ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ καλεῖται τρίτον πρόσωπον τῆς Ἁγίας Τριάδος. Ἡ ἐκπόρευσις τοῦ Πνεύματος τοῦ Ἁγίου ἐκ τοῦ Πατρὸς ἐστὶ α) διάφορος τῆς γεννήσεως τοῦ Υἱοῦ, ἀλλ'

ὁποία ἡ διαφορὰ τούτων ἀκατανόητον. «Καὶ ὅτι μὲν ἐστὶ διαφορὰ γεννήσεως καὶ ἐκπορεύσεως μεμαθήκαμεν· τίς δὲ ὁ τρόπος τῆς διαφορᾶς οὐδαμῶς, λέγει ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς (1).

β) Ὡς δὲ ἡ γέννησις τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὕτω καὶ ἡ ἐκπόρευσις τοῦ Πνεύματος τοῦ Ἁγίου ἐστὶν αἰώνιος, ἐσωτερικὴ, τελειοτάτη καὶ ἀκατάληπτος.

§ 68. *Σχέσις τοῦ Πνεύματος τοῦ Ἁγίου πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ.*

Ὅ,τι δ' ἀφορᾷ τὴν σχέσιν τοῦ Πνεύματος τοῦ Ἁγίου πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ, ἡ Ἁγία γραφὴ διδάσκει, ὅτι 1) αὐτὸ *ἐν τῷ Υἱῷ ἀναπαύεται.* Οὕτω λέγει ὁ Προφήτης Ἡσαΐας περὶ τοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ἀναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ (11, 2). Καὶ ἐν ἑτέρῳ χωρίῳ ὁ Υἱὸς τοῦ Θεοῦ λαλεῖ διὰ στόματος τοῦ αὐτοῦ Προφήτου. «Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ Με. Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ Με (61, 1· Λουκ· 4, 18). Διὰ τὸν στενώτατον δὲ τοῦτον δεσμὸν μεταξὺ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ Ἁγίου Πνεύματος καὶ καλεῖται ἐνίοτε τὸ Πνεῦμα τὸ Ἅγιον, Πνεῦμα Υἱοῦ· «ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζον, Ἀββᾶ, ὁ Πατὴρ (Γαλ. 4, 6), καὶ ὁ Υἱὸς μεταδίδωσιν αὐτὸ τοῖς μαθηταῖς Αὐτοῦ. «Καθὼς ἀπέσταλκέ Με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. *Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς. Λάβετε Πνεῦμα Ἅγιον* (Ἰωάν. 20, 2. 22). Καὶ ἀποστέλλει εἰς τὸν κόσμον. «Ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς (Ἰωάν. 16, 17).

---

(1) Ἔκθ. Πίστ. Α, 8.

Ἀλλὰ 2) Τὸ Πνεῦμα τὸ Ἅγιον οὐκ ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ, ἀλλ' ἐκ μόνου τοῦ Πατρὸς· διότι

α) Ἡ Ἁγία Γραφὴ διδάσκει περὶ τούτου ἐν ἑνὶ μὲν, ἀλλὰ σαφεστάτῳ καὶ ὡρισμένῳ χωρίῳ. Καὶ δὴ ἐν τῇ τελευταίᾳ ὁμιλίᾳ αὐτοῦ μετὰ τῶν μαθητῶν ὁ Ἰησοῦς Χριστὸς εἶπεν «ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ (Ἰωάν. 15, 26). Ὅτι δὲ ἐνταῦθα ὁ λόγος ῥητῶς περὶ τῆς αἰωνίου ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, οὗτινος αἰτία ἐστὶ μόνος ὁ Πατὴρ τοῦτο φαίνεται καὶ *ἐκ τοῦ σκοποῦ τοῦ λόγου*· διότι ταῦτα εἶπεν ὁ Ἰησοῦς Χριστὸς πρὸ τοῦ ἀποχωρισμοῦ ἀπὸ τῶν μαθητῶν, καὶ ἐσκόπει διατούτων παραμυθῆσαι αὐτοὺς, ἐπαγγελλόμενος ἀνθ' ἑαυτοῦ ἕτερον παράκλητον, τὸ Πνεῦμα τὸ Ἅγιον, διὰ τοῦτο ἦν ἀνάγκη ἐνταῦθα καθαρᾶς καὶ ὡρισμένης διδαλίας περὶ τοῦ προσώπου καὶ τῆς οὐσίας τοῦ Παρακλήτου τούτου. Ὡσαύτως *ἐκ τῆς ἰδιότητος καὶ τῆς συναφείας τοῦ λόγου*. Διότι, ἐὰν ὑπὸ τὴν λέξιν, *ἐκπορεύεται*, νοηθῇ ἐνταῦθα οὐχὶ ἡ αἰώνιος ἐκπόρευσις τοῦ Πνεύματος τοῦ Ἁγίου, ἀλλὰ τὸ αὐτὸ, ὅ,τι ἀνωτέρω εἶπε διὰ τῆς λ*ξεως *πέμψω*, τότε γεννᾶται παράδοξος ταὐτολογία· Ὡσανεὶ ἔλεγεν, ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τοῦτον, ὅστις παρὰ τοῦ Πατρὸς πέμπεται· ὡσαύτως καὶ ἐκ τοῦ ἐνεστῶτος χρόνου *ἐκπορεύεται*, ὅπερ οὐδόλως σημαίνει ἀποστολὴν, ἥτις σημαίνεται ἀνωτέρω διὰ τοῦ μέλλοντος *πέμψω*, ἀλλ' ὁ ἐνεστὼς ἐνταῦθα, ὡς καὶ πολλαχοῦ τῆς Γραφῆς, ἐν χρήσει ἐπὶ σημασίας αἰωνίου, ἀϊδίου, καὶ ἀναλλοιώτου, π. χ. ἐν ταῖς λέξεσιν· « πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι » (Ἰωάν. 8, 58).

β) Ἡ Οἰκουμενικὴ Ἐκκλησία χειραγωγουμένη πλὴν τῆς Γραφῆς ὑπὸ τῆς Ἱερᾶς ἔτι παραδόσεως, ἐξ αὐτῆς ἤδη τῆς ἀρχῆς ἐδίδασκεν ὁμοφώνως οὐκ ἄλλως ὁμολογεῖν τὴν ἐκπόρευσιν τοῦ Ἁγίου Πνεύματος, εἰμὴ ἐκ μόνου τοῦ Πατρός. Τοῦτο δὲ

καταφαίνεται ἐκ τῶν ἀρχαίων συμβόλων· οὕτω π. χ. ἐν τῷ Συμβόλῳ Γρηγορίου Νεοκαισαρείας ῥητῶς λέγεται, « καὶ ἓν Πνεῦμα Ἅγιον, ἐκ Θεοῦ (τουτέστιν ἐκ τοῦ Πατρὸς) ἔχον τὴν ὕπαρξιν, καὶ διὰ τοῦ Υἱοῦ ἐμφανιζόμενον, τουτέστι τοῖς ἀνθρώποις » (Πηδ. σελ. 377·)· Ὁμοίως δὲ καὶ ἐξ αὐτοῦ τοῦ ἐν Νικαίᾳ καὶ Κωνσταντινουπόλει Συμβόλου, ὅπερ ἐπὶ πασῶν τῶν Οἰκουμενικῶν Συνόδων ἀνεγνώσθη οὕτως, ὡς νῦν ἐν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ ἀναγινώσκεται, καὶ οὔτινος ἡ μεταβολὴ ὑπὸ τῆς Γης Οἰκουμενικῆς Συνόδου αὐστηρῶς ἀπηγορεύθη. Οἱ δὲ Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας, τῆς τε Ἀνατολικῆς καὶ τῆς Δυτικῆς, ἐξ ἀρχαιοτάτων χρόνων μέχρι τοῦ Θ΄ αἰῶνος, διαπαντὸς ἐδίδασκον περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου συμφώνως τῷ Συμβόλῳ (1), καὶ ὁμιλοῦντες περὶ τῆς ὑποστάσεως τοῦ Πνεύματος τοῦ Ἁγίου, ἢ κατ' εὐθεῖαν ἀνέφερον τὴν ἐκπόρευσιν Αὐτοῦ εἰς μόνον τὸν Πατέρα, οὐδὲν λέγοντες περὶ τοῦ Υἱοῦ, ἢ μνημονεύοντος τοῦ Υἱοῦ, σαφῶς διέκρινον τὴν σχέσιν τοῦ Πνεύματος τοῦ Ἁγίου πρὸς τὸν Πατέρα καὶ Υἱὸν οὕτω. « Τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ ἐπιφαίνεται διὰ τοῦ Υἱοῦ » νοοῦντες ὑπὸ τὴν τελευταίαν ταύτην ἔκφρασιν οὐχὶ τὴν προαιώνιον ἐκπόρευσιν τοῦ Ἁγίου Πνεύματος, ἀλλὰ τὴν ἐν χρόνῳ ἐμφάνισιν ἐν τῷ κόσμῳ τῇ μεσιτείᾳ τοῦ Υἱοῦ. Ἢ τέλος, τὸ αὐτὸ ἐπρέσβευον, λέγοντες, ὅτι ἐν τῇ Θεότητι μία ἀρχὴ καὶ μία πηγὴ, ὁ Πατὴρ, ἐξ οὗ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα.

γ) Ὅ,τι δ' ἀφορᾷ τὴν γνώμην τῆς Δυτικῆς Ἐκκλησίας, ὅτι τὸ Ἅγιον Πνεῦμα ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ, καὶ τὴν προσθήκην τῆς λέξεως ταύτης ἐν τῷ ἐν Νικαίᾳ καὶ Κωνσταντινουπόλει Συμβόλῳ, τοῦτο· 1) οὐδεμίαν βάσιν ἔχει ἐν τῇ Ἁγίᾳ

---

(1) Τοιαύτας μαρτυρίας ὁ γνωστὸς Ἀδὰμ Ζοιρνικάβιος ἐν τῷ πονήματι αὐτοῦ περὶ τῆς ὑποθέσεως ταύτης συνήθροισε μέχρι χιλίων, ἐκ 57 Ἀνατολικῶν καὶ 45 δυτικῶν συγγραφέων τῶν πρώτων ὀκτὼ αἰώνων.

Γραφῇ καὶ φανερῶς ἀντιλέγει τοῖς ἄνω εἰρημένοις λόγοις τοῦ Ἰησοῦ Χριστοῦ, ἐν οἷς περιέχεται ἡ διδασκαλία περὶ τῆς αἰωνίου ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος.

2) Ἔστι καινοτομία, οὐχὶ δὲ ἀρχαῖον δόγμα, μερικὴ γνώμη καὶ οὐχὶ γενικὴ διδασκαλία. Διότι κατὰ τὴν ὁμολογίαν καὶ αὐτῶν τῶν δυτικῶν συγγραφέων, ἡ προσθήκη τῆς λέξεως, καὶ *ἐκ τοῦ Υἱοῦ*, κατὰ πρῶτον ἐγένετο ἤδη περὶ τὸ τέλος τοῦ 6ου αἰῶνος (τῷ 589), ἐπὶ τῆς ἐν Τολέδῳ Τοπικῆς Συνόδου, καὶ ἐγένετο ἐναντίον τοῦ ὁρισμοῦ τῆς Γ΄ Οἰκουμενικῆς Συνόδου, διὸ καὶ οὐχὶ ἀμέσως διεδόθη, ἀλλ' ἐπὶ πολὺν χρόνον μεγάλη ἦν ἡ ἔρις· κατὰ δὲ τὸ 809 ἔτος ὁ Πάπας Λέων ὁ Γ΄, ἀπέρριψε τὴν πρότασιν τῆς ἐν Ἀκυϊσγράνῳ Συνόδου, συγκαλεσθείσης τὸ αὐτὸ ἔτος ὑπὸ Καρόλου τοῦ Μεγάλου, ὅπως προσθῇ τῷ Συμβόλῳ τὴν Λέξιν Filioque (τουτέστι καὶ ἐκ τοῦ Υἱοῦ) Ὁ δὲ Πάπας Ἰωάννης ὁ Η΄ ἐν τῇ πρὸς τὸν Πατριάρχην Φώτιον ἐπιστολῇ αὐτοῦ ἀπεκάλεσε μάλιστα συγκοινωνοὺς τοῦ Ἰούδα τοὺς πρῶτον εἰσαγαγόντας τὴν προσθήκην ταύτην εἰς τὸ Σύμβολον. Τὰ δὲ χωρία, τὰ ὑπὸ τῶν δυτικῶν ἐκ τῶν Πατέρων καὶ τῶν διδασκάλων τῆς Ἐκκλησίας λαμβανόμενα, ἢ φανερῶς ἐνοθεύθησαν καὶ ἐφθάρησαν(1) ἐν μέρει, ἢ ἀσαφῆ καὶ ἀόριστα, διὰ τοῦτο οὐδὲ ἱκανὰ ὅπως ὑπ' αὐτῶν οἰκοδομῆται δόγμα τῆς πίστεως. Ὁμοίως καὶ αἱ Σύνοδοι, εἰς ἃς παραπέμπουσιν, οὐδὲν ἔχουσι κῦρος. Διότι εἰσὶ μόνον τοπικαὶ καὶ ἐν μόνῃ τῇ Δύσει γενόμεναι, πρὸς δὲ τούτοις μεταγενέστεραι. Ἡ δὲ ἐν Φλωρεντίᾳ ἣν ἰδίως προβάλλονται, οὔτε ἐκ τοῦ χαρακτῆρος οὔτε ἐκ τοῦ σκοποῦ ἔχει κῦρος Οἰκουμενικῆς. Πρὸς δὲ τούτοις οὔτε τὸ ζήτημα ἔλυσεν, οὔτε παραδεκτὴ ἐγένετο παρὰ τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ.

3) Αὐτὴ ἐν ἑαυτῇ περιέχει πολλὰς ἀντιφάσεις καὶ ἀλογίας.

---

(1) Παραδείγματα τούτου πολλὰ καὶ ἄφθονα παρετέθησαν ἐν τῇ Θεολογίᾳ τοῦ Θεοφάνους Προκοποβικίου.

Οὕτω δι' αὐτῆς, κατὰ τὴν παρατήρησιν τοῦ Πατριάρχου Φωτίου(1)εἰσάγονται εἰς τὴν'Αγίαν Τριάδα δύο ἀρχαὶ, ἑτέρα τοῦ Υἱοῦ καὶ 'Αγίου Πνεύματος, καὶ ἑτέρα τοῦ 'Αγίου Πνεύματος καὶ οὕτω ἡ μοναρχία διχοτομεῖται. 'Ομοίως οὐδεὶς λόγος, δι' ὃν τὸ Πνεῦμα τὸ "Αγιον χρήζει ἐκπορεύσεως καὶ ἐκ τοῦ Υἱοῦ. Διότι ἡ ἐκπόρευσις ἐκ μόνου τοῦ Πατρὸς, ὡς τελεία, ἀρκεῖ πρὸς τὴν ὑπόστασιν Αὐτοῦ. Πρὸς τούτοις, εἰ ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, τότε, ὡς ἀναφερόμενον εἰς δύο ἀρχὰς, ἔστιν ἀναγκαίως καὶ σύνθετον, διὰ δὲ τούτου αἴρεται ἡ προσωπικὴ Αὐτοῦ ὑπόστασις.

---

(1)"Ιδε 'Εγκύκλ. 'Επιστολήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΤΗΣ

ΔΟΓΜΑΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

§ 69. *Τὸ περιεχόμενον τοῦ μέρους τούτου*

Ὁ Θεὸς, προσκυνούμενος ἐν τῇ ἑνότητι τῆς οὐσίας Αὐτοῦ καὶ δοξαζόμενος ἐν τρισὶ πρωσώποις, ἐστὶ Βασιλεὺς, Κύριος καὶ Δεσπότης τῶν ἰδίων κτίσματων. Διότι, κατὰ τοὺς λόγους τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου, «οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθύναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα» (1). Διὰ τοῦτο, μετὰ τὴν θεωρίαν τῶν ἀπείρων τελειοτήτων τοῦ τρισυποστάτου Θεοῦ, ὀφείλομεν ἀποβλέψαι πρὸς τὴν θείαν οἰκονομίαν, καὶ ἐκτιθέναι τὴν διδασκαλίαν περὶ τοῦ σύμπαντος τῶν ὄντων, ὁρατῶντε καὶ ἀοράτων, τῶν ἐχόντων μὲν τὴν ὕπαρξιν ἐκτὸς τοῦ Θεοῦ ἐκτὸς τῆς Θείας Αὐτοῦ οὐσίας, ἀλλὰ δημιουργηθέντων ὑπὸ τοῦ Θεοῦ καὶ ἀγομένων πρὸς τὸν μέγαν σκοπὸν, ὃν ὥρισεν ἡ ἁγία Αὐτοῦ Βουλή.

§ 70. *Διαίρεσις.*

Ἐν τῷ συστήματι τῶν ὄντων ὁρατῶν τε καὶ ἀοράτων περιέχονται. 1) ὁ κόσμος ἐνγένει 2) οἱ Ἄγγελοι καὶ 3) ὁ ἄνθρωπος. Διὰ τοῦτο τὸ δεύτερον μέρος τῆς Δογματικῆς Θεολογίας συ-

(1) Λογ 38· καὶ 45

ναπαρτίζεται ἐκ τῶν ἑπομένων τριῶν τμημάτων τῆς

1, Διδασκαλίας περὶ τοῦ Κόσμου ἐν γένει.

2, Διδασκαλίας περὶ Ἀγγέλων.

3, Διδασκαλίας περὶ Ἀνθρώπου.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ

Διδασκαλία περὶ τοῦ Κόσμου ἐνγένει

§. 71. *Τὸ περιεχόμενον καὶ ἡ διαίρεσις.*

Ἐν τῇ θεωρίᾳ περὶ τοῦ κόσμου ἐν γένει, πρόκεινται δύω ζητήματα. α) πῶς ἐγένετο ὁ Κόσμος; Καὶ β) πῶς συντηρεῖται ἡ ὕπαρξις αὐτοῦ; Καὶ τὸ μὲν πρῶτον ζήτημα λύει ἡ Δογματικὴ Θεολογία διὰ τῆς διδασκαλίας περὶ τῆς δημιουργίας, τὸ δὲ δεύτερον διὰ τῆς διδασκαλίας περὶ τῆς προνοίας.

Α) Περὶ Δομιουργίας τοῦ Κόσμου.

§ 72. *Ἀντικείμενα τῆς διδασκαλίας.*

Ἡ Ἱερὰ Γραφὴ ἀποκαλύπτει ἡμῖν τὴν ἀληθῆ ἔννοιαν περὶ τῆς δημιουργίας τοῦ κόσμου, διδάσκουσα, ὅτι α) ἔλαβε τὴν ἀρχὴν διὰ δημιουργίας, τουτέστιν ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι προῆλθε· γ) ἔλαβε τὴν ἀρχὴν ἐν χρόνῳ· δ) διὰ μόνης τῆς ἐνεργείας τῆς θελήσεως καὶ τοῦ Λόγου τοῦ Θεοῦ. ε) ἐν ὡρισμένῃ τάξει καὶ βαθμῷ. ζ) ἐκ τῆς ὑψίστης ἀγάπης τοῦ Θεοῦ, καὶ πρὸς ἀποκάλυψιν τῆς δόξης τοῦ Τρισυποστάτου Θεοῦ. Τέλος η) ἐξῆλθεν ἐκ τῶν χειρῶν τοῦ Ποιητοῦ τέλειος καὶ ἄμοιρος παντὸς κακοῦ.

§ 73. *Ὁ Ποιητὴς τοῦ Κόσμου.*

Ὅτι ἅπας ὁ κόσμος ἔλαβεν ὄντως τὴν ὕπαρξιν ἐκ τοῦ Θεοῦ, κατὰ τὴν πανάγαθον Αὐτοῦ θέλησιν, τοῦτο ἔνθεν μὲν καταφαίνεται ἐξ αὐτῆς τῆς ἰδέας περὶ τοῦ κόσμου, ὅστις οὐκ ἠδύνατο ἔχειν τὴν ἀρχὴν ἐξ ἑαυτοῦ, ἢ ἐκ τυφλῆς τύχης. ἔνθεν δὲ ἡ ἀλήθεια αὕτη καταφαίνεται ἐν ἀπείροις χωρίοις τῆς Ἁγίας Γραφῆς. Καὶ δὴ αὐτοὶ οἱ πρῶτοι λόγοι αὐτῆς εἰσίν. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.» Ὁ δὲ ψαλμῳδὸς λέγει « πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ (ψαλ. 134,6) καὶ ἐν τῷ 103ῳ ψαλμῷ παρίστησι μεγαλοπρεπῶς τὴν εἰκόνα τῆς δημιουργίας καὶ προνοίας. Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει. « Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα » (Κολ. 1, 16. 17).

§ 74. *Συνέργεια τῶν τριῶν προσώπων τῆς ὑπεραγίας Τριάδος ἐν τῇ δημιουργίᾳ.*

Ἐν τῇ δημιουργίᾳ τοῦ κόσμου συνέπραξαν ἅπαντα τὰ τρία Πρόσωπα τῆς ὑπεραγίας Τριάδος. Τοῦτο δὲ καταφαίνεται α) ἐκ τούτου, ὅτι ὁ Ἅγιος Ἱστοριογράφος, διηγούμενος τὴν δημιουργίαν τοῦ κόσμου ἀναφέρει περί τινος παρὰ τῷ Θεῷ συμβουλίου, ὅπερ ἐστὶν ἀναμφιβόλως συμβούλιον μεταξὺ τῶν προσώπων τῆς ὑπεραγίας Τριάδος (1, 26. 2, 18. 3, 22). β) ἐκ τούτου ὅτι ἡ δημιουργία τοῦ κόσμου πλὴν τοῦ Θεοῦ Πατρὸς, ἀποδίδοται κατ' εὐθεῖαν καὶ τῷ Θεῷ Υἱῷ. « Πάντα δι' Αὐτοῦ ἐγένετο, καὶ χωρὶς Αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν » (Ἰωάν. 1, 3. Κολ. 1, 16. ἑβρ. 1, 3), καὶ τῷ Θεῷ τῷ Πνεύματι τῷ Ἁγίῳ. «Πνεῦμα θεῖον τὸ ποιήσανμε» (Ἰώβ. 33,4). Τὶς δ' ἡ διαφορὰ ἐν τῇ δημιουργίᾳ τοῦ Πατρὸς, τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, τοῦτο ἐστὶ μυστή-

ριον. Ὅμως κατὰ τὴν ἐξήγησιν τῶν Ἁγίων Πατέρων τῆς Ἐκκλησίας ἡ διαφορὰ αὕτη οὐδαμῶς ἐν τούτῳ ἐστὶν, ὅτι τὸ ἕν πρόσωπον μεταχειρίζεται τὸ ἕτερον, ὡς ὄργανον, ἢ ὅτι τὸ ἕν εἶδος τῶν κτισμάτων προσήκει τῷ ἑνὶ, τὸ δ' ἕτερον τῷ ἑτέρῳ, καὶ τὸ τρίτον τῷ τρίτῳ Προσώπῳ· διότι τὰ Πρόσωπα τῆς ὑπεραγίας Τριάδος ἔχουσι μίαν θέλησιν, μίαν ἰσχὺν καὶ ἐνέργειαν, διὰ τοῦτο καὶ ὁ Ἅγιος Βασίλειος ὁ Μέγας ὁρίζει τὴν διαφορὰν ταύτην οὕτως. « Ἐν δὲ τῇ τούτων κτίσει ἐννόησόν μοι τὴν προκαρτακτικὴν αἰτίαν τῶν γινομένων τὸν Πατέρα, τὴν δημιουργικὴν τὸν Υἱὸν, τὴν τελειωτικὴν τὸ Πνεῦμα. Ὥστε βουλήματι μὲν τοῦ Πατρὸς τὰ λειτουργικὰ πνεύματα ὑπάρχειν, ἐνεργείᾳ δὲ τοῦ Υἱοῦ εἰς τὸ εἶναι παράγεσθαι, παρουσίᾳ δὲ τοῦ Πνεύματος τελειοῦσθαι »(1).

§ 75. *Δημιουργία τοῦ κόσμου ἐκ τοῦ μηδενός.*

Ὁ Θεός ἐστι ποιητὴς τοῦ κόσμου, οὐ μόνον κατὰ τὴν μορφὴν αὐτοῦ, ἀλλὰ καὶ κατὰ τὴν ὕλην, τουτέστιν ὁ κόσμος ἐποιήθη ὑπὸ τοῦ Θεοῦ ἐκ τοῦ μηδενὸς. Τοῦτο ῥητῶς διδάσκει ἡ Ἁγία Γραφή. Διότι α) οὐδαμοῦ ἀναφέρει περί τινος προϋπαρχούσης ὕλης πρὸ τῆς δημιουργίας, καὶ λέγει ῥητῶς, ὅτι τὰ πάντα ἐποιήθησαν ὑπὸ τοῦ Θεοῦ *ἐν ἀρχῇ* « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν » (Γεν. 1, 1). β) Μαρτυρεῖ, ὅτι ὁ Θεὸς « καλεῖ τὰ μὴ ὄντα ὡς ὄντα (Ῥωμ. 4,17). καὶ ὅτι πᾶν τὸ ὁρατὸν παρήγαγεν ἐκ τοῦ ἀοράτου. « Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι » (Ἑβρ. 11, 3). Καὶ ὅτι αὐτὴ ἡ καταβολὴ (Ἀρχὴ) τοῦ κόσμου ἐκ Θεοῦ (Ἐφ: 1,4). γ) Πρὸς τούτοις τοῖς χωρίοις καὶ οἱ ἑξῆς λόγοι ἐν τῇ Β' τῶν Μακκαβαίων βίβλῳ τῆς μητρὸς τῶν Μακκαβαίων πρὸς τὸν Υἱὸν

(1) Περὶ Ἁγίου Πνεύματος Κεφ. 16, σελ. 395.

αὐτῆς λίαν ἀξιοσημείωτοί εἰσιν. « Ἄξιῶσε, τέκνον, ἀναβλέψαντα εἰς τὸν Οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα γνῶναι, ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ Θεὸς, καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτω γεγένηται (7,28). Πλὴν δὲ τούτου ἡ ἰδέα τῆς ὑπάρξεως αἰωνίου τινὸς ὕλης αὐτὴ καθ' ἑαυτὴν παράλογος καὶ ἀσύμφωνος τῇ περὶ μιᾶς αἰωνίου καὶ ἀνεξαρτήτου οὐσίας τοῦ Θεοῦ.

§ 76. *Δημιουργία τοῦ Κόσμου ἐν χρόνῳ.*

Τὸν κόσμον ἐδημιούργησεν ὁ Θεὸς οὐχὶ ἀπ' αἰῶνος, ἀλλ' ἐν χρόνῳ, ἢ ὡς ὁ μακάριος Αὐγουστῖνος λέγει, *μετὰ τοῦ χρόνου* (1). Τοῦτο βεβαιεῖ ἡ Ἱερὰ Γραφὴ, ῥητῶς ἀρχὴν τῷ κόσμῳ ἀποδιδοῦσα, « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν, » καὶ λέγουσα, ὅτι ἦν ποτε ὅτε οὐκ ἦν. « Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν » (ψαλ. 89, 3). « Καὶ νῦν δόξασόν Με, Σὺ Πάτερ, παρὰ Σεαυτῷ τῇ δόξῃ, ἣ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ Σοί » (Ἰωάν. 17, 5). Ἀποδίδωσι δ' ἅμα καὶ αὐτὴν τὴν ποίησιν τοῦ χρόνου τῷ Θεῷ. « Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν » (Ἑβρ. 1, 2. Παρ. 8, 22. 23). Πρὸς τούτοις ὁ κόσμος ὑπάρχει τοσοῦτον μόνον χρόνον, ὅσος παρὰ τῷ Μωϋσεῖ. Διότι οὗτος διηγεῖται οὐχὶ περί τινος ἀνακαινίσεως τοῦ πρότερον δημιουργηθέντος κόσμου, ἀλλὰ περὶ πρωταρχικῆς δημιουργίας αὐτοῦ. Τοῦτο δὲ καταφαίνεται ἐκ τοῦ πνεύματος τῆς ὅλης διηγήσεως, καὶ ἐκ τῶν ῥητῶν λέξεων αὐτοῦ. « Καὶ συνετελέσθησαν ὁ Οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν. Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα Αὐτοῦ, ἃ ἐποίησεν » (Γεν. 2, 1. 2).

§ 77. *Τάξις τῆς Δημιουργίας.*

Τίνι τρόπῳ τὰ ὄντα ἔλαβον τὴν ἀρχικὴν αὐτῶν ὕπαρξιν, τοῦτο ἐστὶν ἀκατάληπτον ἡμῖν, καί ἐστι μυστήριον τοῦ Θεοῦ

(1) De Civitate Dei 11, 6.

νοούμενον μόνον διὰ πίστεως (ἑβρ. 11, 3). Ἐν τούτοις ἀναμφίβολον καὶ τοῦτο.

α) Ὅτι ὁ κόσμος ἐστὶ προϊὸν τῆς ἐλευθέρας θελήσεως τοῦ Θεοῦ, ἄρα ἐξωτερικὴ ἐνέργεια τοῦ Θεοῦ, διάφορος τῆς θείας οὐσίας καὶ ἐκτὸς αὐτῆς· διὸ οὐδὲ προῆλθεν κατά τινα τροπὴν αὐτῆς (πανθεϊσμὸς) ἢ ἀπόῤῥοιαν. Διότι καὶ οὕτως καὶ ἄλλως αἴρονται ἀπὸ τοῦ Θεοῦ αἱ ἀναφαίρετοι τελειότητες τῆς οὐσίας Αὐτοῦ, ἡ ἁπλότης καὶ τὸ ἀναλλοίωτον, ἡ δὲ κτίσις συγχέεται μετὰ τοῦ Θεοῦ καὶ αἴρεται πᾶσα ἡ τάξις τοῦ ἠθικοῦ κόσμου.

β) Ὅτι τὸ πᾶν ἐπλάσθη ὑπὸ τοῦ Θεοῦ ἄνευ καὶ τῆς ἐλαχίστης δυσκολίας ἢ βραδύτητος, ἀλλὰ διὰ μόνης τῆς θελήσεως Αὐτοῦ. *Εἶπεν ὁ Κύριος γενηθήτω καὶ ἐγένετο· εἶπε καὶ ἐγενήθησαν, ἐνετείλατο καὶ ἐκτίσθησαν* (ψαλ. 148, 5). « Ὁ στήσας ὡς Καμάραν τὸν Οὐρανὸν καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖν. *Τὴν δὲ γῆν ὡς οὐδὲν ἐποίησεν* (Ἡσ. 40, 22.23).

§ 78. *Ἡ γενικὴ τάξις τῆς δημιουργίας.*

Ὁ κόσμος ἐν τῷ Συνόλῳ τῶν ὄντων ἔλαβε τὴν πρέπουσαν αὐτῷ μορφὴν, οὐχὶ ἐν τῷ ἅμα, ἀλλὰ βαθμηδόν. Ὅ,τι δὲ ἀφορᾷ τὴν τάξιν τῆς δημιουργίας, ὁ Ἅγιος Γρηγόριος ὁ Θεολόγος μετὰ τῶν ἄλλων Πατέρων τῆς Ἐκκλησίας διδάσκει, ὅτι « Πρῶτον μὲν ἐννοεῖ ὁ Θεὸς τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννόημα ἔργον ἦν λόγῳ (υἱοῦ) συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον· καὶ οὗτος ἐστὶ τὸ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν μέσῳ, σύστημά τε καὶ σύγκριμα... Οὔπω δ' ἦν κρίμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώρισμος· τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀορατούτε, λέγω, καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον (λόγ. 38ος).

§ 79. *Ἡ Τάξις τῆς δημιουργίας ἐν τῷ ὁρατῷ κόσμῳ.*

Ὅ,τι δ' ἀφορᾷ τὸν ὁρατὸν κόσμον, οὗτος ἔλαβε τὴν πλήρη μόρφωσιν αὐτοῦ ἐπίσης ἑβδομηδόν. Καὶ πρῶτον μὲν ἐδημιουργήθη ἡ ὕλη ἀκατασκεύαστος καὶ ἄμορφος, εἶτα δ' ἐξ αὐτῆς ἅπαντα τὰ διάφορα γένη τῶν κτισμάτων ἐν διαστήματι ἓξ ἡμερῶν. Τὴν πρώτην ἡμέραν ἐποιήθη τὸ φῶς, ὡς τὸ πρῶτον καὶ θεμελιῶδες στοιχεῖον καὶ ζωτικὴ δύναμις τοῦ Παντός. Τὴν δευτέραν τὸ στερέωμα, ἤτοι ἡ ὁρατὴ ἔκτασις, ἐφ' ἧς στηρίζονται οἱ φωστῆρες, ἡ δὲ ὕλη τῆς γῆς ἀπεχωρίσθη ἀπὸ τοῦ ὄγκου τῶν λοιπῶν οὐρανίων σωμάτων. Τὴν τρίτην ἐπ' αὐτῆς τῆς γῆς διεχωρίσθησαν τὰ ὕδατα ἀπὸ τῆς ξηρᾶς καὶ ἐπλάσθη τὸ βασίλειον τῶν φυτῶν. Τὴν τετάρτην ἀνέλαμψεν ὁ ἥλιος, οἱ πλανῆται καὶ λοιποὶ ἀστέρες ἐπὶ τοῦ στερεώματος τοῦ οὐρανοῦ. Τὴν πέμπτην αἱ θάλασσαι καὶ οἱ ποταμοὶ ἐπλήσθησαν ἰχθύων, ὁ δὲ ἀὴρ πετεινῶν. Τὴν δ' ἕκτην ἡ γῆ ἐπληρώθη ζώων, καὶ τέλος πάντων ἐπλάσθη ὁ ἄνθρωπος. Αἱ ἓξ δ' ἡμέραι αὗται τῆς δημιουργίας οὐ σημαίνουσιν ἀόριστόν τινα ἔκτασιν χρόνου, καθ'ὃν ἐμορφώθησαν τὰ λοιπὰ κατά τινας νόμους μόνον τῆς φύσεως, καὶ ἀνεπτύχθησαν ἐκ τῶν δημιουργηθέντων ἐν τῇ ἀρχῇ, ἤτοι τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, ἀλλ' ἀποδεικνύουσι τὴν ἀληθῆ τάξιν τῶν ἀμέσων ἐνεργειῶν τῆς δημιουργικῆς δυνάμεως, αἵτινες εἰς πέρας ἤγαγον τὴν δημιουργίαν ἐν τῷ ὡρισμένῳ χρόνῳ, τῷ παρ' ἡμῖν *ἡμέρα* καλουμένῳ. Διότι ὁ Ἱερὸς Ἱστορικὸς, ἔνθεν μὲν τίθησιν ἑκάστῃ ἡμέρᾳ τὰ αὐτὰ ὅρια, ἃ καὶ νῦν ἡ ἡμέρα ἔχει, τουτέστι τὴν πρωΐαν καὶ τὴν ἑσπέραν· ἔνθεν δὲ οὐδεμίαν διάκρισιν ποιεῖται τῶν πρώτων ἡμερῶν τῆς δημιουργίας ἀπὸ τῆς ἕκτης καὶ ἑβδόμης, αἵτινες ἀναμφιβόλως ἦσαν συνήθεις ἡμέραι· λέγει δὲ « Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα Αὐτοῦ, ἃ ἐποίησε· καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων Αὐτοῦ, ὧν ἐποίησε (Γεν. 2, 2). Ἡ αἰτία δὲ τοῦ ἕξ καὶ ἑπτὰ ἀριθμοῦ, τῶν ἡμερῶν τῆς δημιουργίας, ἀποκρύπτεται ἐν τοῖς μυστηρίοις τῆς σοφίας τοῦ Θεοῦ

Ἡ δὲ βαθμηδὸν δημιουργία δεικνύει α) τὴν ἐλευθερίαν, μεθ' ἧς ὁ Ποιητὴς ἀποκαλύπτει ἐν τοῖς κτίσμασι τὴν δύναμιν καὶ τὴν ἀγαθότητα Αὐτοῦ, ὅπως καὶ ὅταν θέλῃ. β) Τὴν ἐντελῆ ἐξάρτησιν τῶν πλασμάτων, ἅτινα ὀφείλουσιν Αὐτῷ οὐ μόνον τὴν ὕπαρξιν αὐτῶν ἀλλὰ καὶ τὴν ἰδιαιτέραν μόρφωσιν καὶ τελειότητα· τέλος. γ) Τὴν ἁγιότητα τῆς τάξεως ἐν τῇ φύσει, ἥτις ἐν πᾶσι προέρχεται ἐκ τοῦ Θεοῦ. Ἡ τάξις δὲ τῆς δημιουργίας τῶν ἐπιγείων κτισμάτων ἐστὶν ἡ φυσικωτάτη καὶ ἐπιτηδειοτάτη εἰς τὴν ἀμοιβαίαν σχέσιν πρὸς ἄλληλα. Προβαίνει δὲ ἡ τάξις αὕτη ἀπὸ τοῦ γενικοῦ εἰς τὸ μερικόν, ἀπὸ τοῦ ἁπλουστέρου εἰς τὸ συνθετώτερον, ἀπὸ τοῦ ἀψύχου εἰς τὸ ἔμψυχον, ἀπὸ τοῦ ἀτελεστέρου εἰς τὸ τελειότερον (1).

§ 80. *Ἐλατήριον καὶ σκοπὸς τῆς δημιουργίας.*

Ὁ Θεὸς τὸ ἀπειροτέλειον καὶ ἐλεύθερον Ὃν ἐδημιούργησε τὸν κόσμον, ἀναμφιβόλως οὐχὶ ἔκ τινος ἀνάγκης καὶ ἀλλοτρίου προτροπῆς, οὐχὶ πρὸς ἐξωτερικόν τινα σκοπόν, ἀλλὰ καὶ τὸ ἐλατήριον καὶ ὁ σκοπὸς τῆς δημιουργίας ἀναγκαίως ἔγκειται τῷ βάθει αὐτῆς τῆς οὐσίας τοῦ Θεοῦ. Οὕτω δὲ ἐλατήριον εἰς δημιουργίαν τοῦ κόσμου ἦν τῷ Θεῷ, οὐχὶ ἕτερόν τι *παρὰ τὴν ἄπειρον ἀγάπην Αὐτοῦ πρὸς τὰς ὑψίστας τελειότητας τῆς Τρισυποστάτου οὐσίας Αὐτοῦ*, καθ' ἣν ηὐδόκησε καὶ ἐκτὸς ἑαυτοῦ ἀποκαλύψαι τὰς τελειότητας ταύτας. Ὁ σκοπὸς ἄρα τῆς δημιουργίας τοῦ κόσμου οὐδεὶς ἕτερος, *εἰμὴ ἡ δόξα τοῦ Θεοῦ*. Τοῦτο δὲ ἀναμφιβόλως βεβαιοῖ ἡ Ἁγία Γραφή, λέγουσα α) *ὅτι πάντα εἰργάσατο ὁ Κύριος δι' ἑαυτόν* (Παρ. 16, 4), *δι' ὃν τὰ πάντα* (Ἑβρ. 2, 10), καὶ ὅτι τὸ πᾶν τείνει εἰς τοῦτο, *ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν* (1 Κορ. 15, 28). β) Διδάσκει, ὅτι ἡ

---

(1) Ἴδε σημειώσεις ἐπὶ τῆς βίβλου τῆς Γενέσ. (Φιλαρέτου Μητρ. Μόσχας).

δημιουργία τοῦ κόσμου ἐγένετο πρὸς δόξαν Θεοῦ. « Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ » (ψαλ. 18, 1), καὶ ἅπας ἐν γένει ὁ κόσμος ἀπὸ τῶν οὐρανίων Ἀγγέλων μέχρι τῶν ἑρπετῶν τῆς γῆς, ἀποτελοῦσιν ἓν μεγαλοπρεπὲς ὄργανον τῆς δόξης ταύτης (ψαλ. 148ος), καὶ ὅτι καὶ ἡ ἀπολύτρωσις ἔχει τὸν αὐτὸν σκοπόν, διότι ὁ Ἰησοῦς Χριστὸς ὀνομάζει τὴν ἐκτέλεσιν τοῦ ἔργου τῆς ἀπολυτρώσεως ῥητῶς δόξαν τοῦ Πατρὸς Αὐτοῦ. « Ἐγὼ σὲ ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω » (Ἰωαν. 17, 4). « Προορίσας ἡμᾶς, λέγει ὁ Ἀπόστολος, εἰς υἱοθεσίαν, διὰ Ἰησοῦ Χριστοῦ, εἰς ἔπαινον δόξης τῆς χάριτος Αὐτοῦ » (Ἐφ. 1, 5. 6), καὶ ὅτι τέλος ὁ ἄνθρωπος, τὸ ἄριστον τῶν ποιημάτων τοῦ Θεοῦ, ἐπλάσθη *κατ' εἰκόνα καὶ ὁμοίωσιν* τοῦ Θεοῦ (Γεν. 1, 27), πρὸς τοῦτο, *ὅπως ἐξαγγείλῃ τὰς ἀρετὰς τοῦ ἐκ τοῦ σκότους καλέσαντος αὐτὸν εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς* (1 Πέτρ. 2, 9), καὶ δοξάσῃ Αὐτὸν ἐν ἅπαντι τῷ βίῳ αὐτοῦ. « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε » (1 Κορ. 10, 31). Ἐν γένει δὲ καὶ πᾶν τὸ ἐν τῷ κόσμῳ πρὸς τοῦτο τείνει (Ἰωαν. 9, 3. 11, 4. Ῥωμ. 9, 17. 21. 22. 23).

§ 81. *Ἡ Τελειότης τῆς δημιουργίας.*

Ὁ κόσμος ἐξῆλθεν ἐκ τῶν χειρῶν τοῦ Δημιουργοῦ τέλειος, τουτέστι καθ' ὁλοκληρίαν ἱκανὸς πρὸς τὸν μέγαν αὐτοῦ σκοπόν. Τοῦτο καταφαίεται α) ἐκ τῆς ἐννοίας περὶ τῶν ἀπείρων τελειοτήτων τοῦ Θεοῦ· διότι εἰ ὁ Θεὸς ἐπ' ἄπειρον παντοδύναμος, σοφὸς καὶ ἀγαθός, οὐδὲν ἐκώλυεν Αὐτὸν, ὅπως παράσχῃ τῇ κτίσει αὐτοῦ τὴν πρέπουσαν τελειότητα. β) Ἐκ τῶν σαφῶν μαρτυριῶν τῆς Ἱερᾶς Γραφῆς. Οὕτως αὐτὸς ὁ Θεὸς μετὰ τὴν ἀποπεράτωσιν ἑκάστου εἴδους τῶν κτισμάτων ἀνεθεώρει αὐτὸ καὶ εὗρισκε καλόν· μετὰ τὴν ἀποπεράτωσιν δὲ πάσης τῆς δημιουργίας ἐκήρυξε πάντα καλὰ λίαν. « καὶ εἶδεν ὁ Θεὸς πάν-

τα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν » (Γεν. 1, 4. 8. 10. 12. 18. 21. 31). Ὁμοίως μαρτυρεῖ καὶ ὁ Σοφός. « Σύμπαντα, ἃ ἐποίησεν ὁ Θεὸς καλὰ ἐν καιρῷ αὐτῶν (Ἐκκλ. 3, 11), καὶ λέγει, ὅτι ὁ Θεὸς ηὐφραίνετο κατὰ τὴν δημιουργίαν τοῦ κόσμου. *Ὅτε ηὐφραίνετο τὴν οἰκουμένην συνετελέσας, καὶ ηὐφραίνετο ἐν υἱοῖς ἀνθρώπων* (Παρ. 8, 31). Ἕτερος δὲ σοφὸς βεβαιοῖ, « ὅτι τὰ ἔργα Κυρίου πάντα ὅ,τι καλὰ σφόδρα » (Σιράχ 39, 16), καὶ ὁ Ἅγιος Ἀπόστολος Παῦλος γράφει πρὸς Τιμόθεον, « ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν (1 Τιμ. 4. 4). Τέλος γ) ἡ τελειότης αὕτη ἀποκαλύπτεται καὶ ἐκ τῆς ἐξετάσεως αὐτοῦ τοῦ κόσμου, ὅστις ὄντως κάτοπτρόν ἐστι τῆς δόξης τοῦ Θεοῦ, καὶ καλλίφωνον ὄργανον, ὑμνοῦν ἀσιγήτως τὰς ὑψίστας τελειότητας τοῦ Ποιητοῦ αὐτοῦ. Οὕτως ἡ ἁγιότης τοῦ Θεοῦ ἀποκαλύπτεται ἐν τῇ λογικῇ φύσει, ἐν τῇ εἰκόνι τοῦ Θεοῦ τῇ ἐν αὐτῇ, ἐν ταῖς δυνάμεσι ταύτης ταῖς Θεοειδέσιν, ἐν τῇ συνειδήσει, ἐν τῷ ἠθικῷ νόμῳ, ἐν τῇ ροπῇ πρὸς Θεοπρεπῆ ἁγιότητα. Ἡ δὲ παντοδυναμία ἀποκαλύπτεται ἐν τῇ δημιουργίᾳ ἐκ τοῦ μηδενός, ἐν τῇ καταπληκτικῇ ἐκτάσει καὶ τῷ μεγαλείῳ τοῦ παντὸς, ἐν τῇ συντηρήσει καὶ συγκρατήσει ἐπ' οὐδενός. Ἡ δὲ πανσοφία ἀπολύπτεται ἐν τῇ ἀμοιβαίᾳ καὶ ἁρμονικῇ συναφείᾳ πάντων τῶν ὄντων, καὶ ἐν τοῖς νόμοις τοῦ κόσμου, τῇ ἑνότητι καὶ ποικιλίᾳ, τῇ ἐνδελεχείᾳ καὶ οἰκονομίᾳ, καὶ τῇ ὑψίστῃ καλλιτεχνίᾳ. Ἡ δὲ ἀγαθότης ἀποκαλύπτεται ἐν τῇ ζωῇ τῇ ἁπανταχοῦ διακεχυμένῃ δαψιλῶς, καὶ ἐν τοῖς πρὸς τοῦτο ὀργάνοις τοῖς ἀφθόνοις καὶ πλουσίοις Ἡ δὲ δικαιοσύνη καταφαίνεται ἐν τοῖς φυσικοῖς ἐπακολουθήμασιν ἑκάστου ἔργου, ἅτινα ἠ βραβεύουσι τὸν ἐκπληρωτὴν τοῦ νόμου τοῦ Θεοῦ, ἠ ζημιοῦσι τὸν παραβάτην αὐτοῦ.

§ 82. *Ὁ Θεὸς οὐκ ἔστιν αἴτιος τοῦ κακοῦ.*

Ἐκ τῆς ἐννοίας περὶ τοῦ τελειοτάτου Αἰτίου τοῦ κόσμου

καὶ τῆς τελειότητος αὐτοῦ τούτου τοῦ κόσμου, καταφαίνεται, ὅτι ὁ Θεὸς οὐκ ἐποίησε τὸ κακὸν, καὶ ἐν τῷ κόσμῳ, ὡς συνόλῳ τῶν δημιουργημάτων τοῦ Θεοῦ, οὐδὲν κακόν. Ὅ,τι δ' ἀφορᾷ τὰς ἐλλείψεις καὶ τὰ δεινὰ τὰ νῦν ἔτι ἐπὶ τῆς γῆς, τὸ κακὸν τοῦτο ἀνεφάνη οὐχὶ κατ' αὐτὴν τὴν δημιουργίαν, ἀλλὰ μετ' αὐτὴν καὶ οὐχὶ ἐκ τῆς οὐσίας τῶν κτισμάτων· διὸ καὶ αἴτιος τούτου οὐχὶ ὁ Δημιουργὸς· ἀλλά τὸ μὲν ἠθικὸν κακὸν ἔργον τῶν λογικῶν καὶ ἐλευθέρων ὄντων, καταχρησαμένων τῇ ἰδίᾳ ἐλευθερίᾳ παρὰ τὸν σκοπὸν τοῦ Ποιητοῦ, ὃς δοὺς αὐτοῖς ἐλευθερίαν καὶ παραθεὶς κατὰ τὸν λόγον τοῦ Σοφοῦ, ἐναντίον ἀνθρώπου πῦρ καὶ ὕδωρ, ζωὴν καὶ θάνατον, ὅπως οὗ ἂν θέλῃ ἐντείνῃ τὴν χεῖρα, οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν,, καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν (Σιράχ. 15, 14-20). Τὸ δὲ φυσικὸν κακὸν φυσική ἐστι συνέπεια τοῦ ἠθικοῦ κακοῦ, καὶ διὰ τοῦτο οὐκ ἔργον καὶ τοῦτο τοῦ Θεοῦ, ἀλλ' αὐτῶν τῶν αἰτίων τοῦ ἠθικοῦ κακοῦ.

Ἰδοὺ τέλος ἡ λύτις πάντων τῶν σπουδαιοτέρων καὶ ἀναγκαιοτέρων τῷ Νοΐ ζητημάτων περὶ τοῦ κόσμου. Ἰδοὺ ὁποῖος καὶ τίς ὁ κύριος καὶ γενικὸς αὐτοῦ σκοπὸς· ὁ κόσμος ἐστὶ μεγαλοπρεπὴς ναὸς τῆς δόξης τοῦ Θεοῦ καὶ ὄργανον ἀσιγήτως ᾄδον τὰς ἀπείρους τελειότητας τοῦ Δημιουργοῦ. Διὸ ἀτένιζε τὰ τὰ ὄμματά σου συνεχέστερον εἰς τὴν φύσιν καὶ ζήτει ἐν αὐτῇ ἄνεσιν καὶ ἀνάπαυσιν τῇ ψυχῇ σου, θεωρῶν τὴν ἐν αὐτῇ ἄπειρον δόξαν τοῦ Ποιητοῦ καὶ ἀσπαζόμενος ἁπανταχοῦ τὴν πανάγαθον αὐτοῦ, καὶ πάνσοφον καὶ παντοδύναμον δεξιάν. Κάθαιρε ἐν τῇ ψυχῇ σου τὸ ἐσωτερικὸν οὖς, δι' οὗ ἀκούεται ἡ μεγαλοπρεπὴς ἁρμονία τοῦ κόσμου, οὐ μὴν ἀλλὰ καὶ σὺ αὐτὸς ἔσο ἐν αὐτῷ τῷ μεγάλῳ ὀργάνῳ καλλίφωνος χορδὴ, αἰνοῦσα καὶ εὐλογοῦσα ἀκαταπαύστως τὸν Ποιητὴν δι' ἔργων ἀγαθῶν. Σέβου καὶ ἀγάπα ἁπανταχοῦ ἐν τῇ φύσει τὴν ποίησιν τοῦ Θεοῦ, τήρησον αὐστηρῶς τὴν ἐν αὐτῇ τάξιν καὶ μεταχειρίζου τὰ πάντα κατὰ τὸν σκοπὸν αὐτῶν, καὶ μὴ λύπει τὸν Δημι-

ουργὸν καταχρώμενος τοῖς κτίσμασιν αὐτοῦ. Μάνθανε ἐν τῇ μεγάλῃ βίβλῳ τῆς φύσεως σοφίαν καὶ ἀρετὴν· ὕπαγε πρὸς μύρμηκα, ζήλωσον τὴν μέλισσαν. Μὴ δέσμευε τὴν ψυχήν σου τῷ κτίσματι, ὅσον καλὸν ἂν ᾖ, ἀλλ' ἀγάπα πάντα ἐν τῷ Θεῷ, καὶ ἐν παντὶ ἀγάπα τὸν Θεόν· λέγε καλὴ ἡ κτίσις, ἀλλ' ὁ Δημιουργὸς ἐπ' ἄπειρον καλλίων.

Β) Περὶ προνοίας

§ 83. *Ἡ Περὶ Προνοίας ἔννοια*

Ὡς ὁ κόσμος οὐκ ἔσχεν ἐξ ἑαυτοῦ τὴν ἰδίαν ἀρχήν, οὐδὲ ὥρισεν ἑαυτῷ σκοπόν, οὕτω οὐδὲ συντηρεῖ τὴν ἰδίαν ὕπαρξιν, οὐδὲ κατορθοῖ τὸν σκοπὸν μόνος, ἀλλὰ τῇ δυνάμει τῆς αὐτῆς παντοδυνάμου θελήσεως τοῦ Δημιουργοῦ, ὅστις ἐποίησεν αὐτὸν ἐκ τοῦ μηδενός. Ἡ θέλησις δὲ τοῦ Θεοῦ αὕτη καὶ ἐνέργεια ἡ συντηροῦσα τὸν κόσμον καὶ κατευθύνουσα αὐτὸν πρὸς τὸν σκοπὸν καλεῖται πρόνοια Θεοῦ.

§. 84. *Ἡ ἀνάγκη καὶ ἡ πραγματικὴ ὕπαρξις.*

Τὸ ἀναγκαῖον τῆς Προνοίας τοῦ Θεοῦ ἐν τῷ κόσμῳ, καταφανὲς ἤδη καὶ ἐκ τοῦ ὀρθοῦ λόγου ὄν, σαφῶς βεβαιοῦται ὑπὸ τῆς Ἱερᾶς Γραφῆς. «Ἀποστρέψαντός Σου τὸ πρόσωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν (ψαλ. 103, 29)· «εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν, τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδὸν, βρωτὸς δὲ εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη» (Ἰώβ. 34, 14. 15). Ἡ δὲ πραγματικὴ ὕπαρξις τῆς Προνοίας καταφαίνεται, ἔκτε τούτου ὅτι ὁ Θεὸς ἐν τῇ Ἱερᾷ Γραφῇ ἀπανταχοῦ περίσταται ἐνεργῶν ἐν τῷ κόσμῳ κατ' ἄμεσον τρόπον, καὶ ἐκ τῶν λόγων τοῦ Σωτῆρος ἡμῶν Ἰη-

σοῦ Χριστοῦ «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι (Ἰωάν. 5, 17). ὁ δὲ Ἀπόστολος Παῦλος λέγει ὅτι ὁ Θεὸς φέρει τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ (Ἑβρ. 1, 3), καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν (Κολ. 1, 17).

§ 85. *Διαίρεσις.*

Ἡ Πρόνοια τοῦ Θεοῦ, ὡς φαίνεται ἐκ τῆς περὶ αὐτῆς ἐννοίας, συνίσταται 1) ἐν τῇ συντηρήσει τοῦ κόσμου καὶ 1) ἐν τῇ κυβερνήσει αὐτοῦ.

1) Περὶ συντηρήσεως τοῦ Κόσμου.

§ 86. *Ἡ περὶ συντηρήσεως ἔννοια.*

Συντήρησίς ἐστιν ἡ ἐνέργεια τῆς θείας Προνοίας, δι' ἧς ὁ Θεὸς συντηρεῖ τὴν ὕπαρξιν ἑκάστου ὄντος ἐν τῷ κόσμῳ, κατά τε τὴν οὐσίαν καὶ τὰς δυνάμεις καὶ ἐνεργείας αὐτοῦ.

§ 87. Τὰ ἀντικείμενα τῆς συντηρήσεως.

Ἡ ἐνέργεια αὕτη τῆς Προνοίας τοῦ Θεοῦ ἀποκαλύπτεται α) ἐν τῷ φυσικῷ κόσμῳ, ἀπὸ τοῦ ὅλου μέχρι τῶν ἐλαχίστων ἐν αὐτῷ. Οὕτω λέγει ὁ ψαλμῳδός, ὅτι ἐν χειρὶ Θεοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσὶ (ψαλ. 94, 4). «Ὅτι αὐτὸς ἀνάγων νεφέλας ἐξ ἐπχάτων τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν· ὁ ἐξάγων ἀνέμους ἐκ θυσαυρῶν αὐτοῦ· ὁ περιβάλλων τὸν οὐρανὸν ἐκ νεφέλαις, ὁ ἑτοιμάζων τῇ γῇ ὑετὸν· ὁ ἐξανατέλλων ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων δίδωσι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτὸν (ψαλ. 134, 7. 146 89. πρβλ. 103, 29. 30. 118, 90. 91 144, 15. 16 Ἰώβ. 28, 24. 38, 41. 37, 38-41. Σοφ. 11, 25-29). Καὶ ὁ Ἰησοῦς Χριστὸς διδάσκει, ὅτι ὁ οὐράνιος Πατὴρ φροντίζει περὶ τῶν ἐλαχίστων πτη-

νῶν(Ματθ. 10,29),καὶ ὅτι αὐτὸς ἐνδύει τὰ κρίνα τοῦ ἀγροῦ,ἅτινα σήμερον ἀνθοῦσι καὶ αὔριον ῥίπτονται εἰς κλίβανον(Ματθ). 6, 26. 30). β) Ἐν τῷ ἀνθρωπίνῳ γένει. Οὕτως ὁ ψαλμῳδὸς λέγει, ὅτι ὁ Θεὸς ἐσκέπᾳ τὸν ἄνθρωπον ἐκ γαστρὸς τῆς μητρὸς καὶ ἀναπαύει αὐτὸν ἐπὶ νῶν μητρικῶν μαστῶν (ψαλ. 21, (10), καὶ δι' ὅλου τοῦ βίου τοῦ ἀνθρώπου παρὰ Κυρίου τὰ διαβήματα αὐτοῦ κατευθύνεται, ὅταν πέσῃ οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ (ψαλ. 36, 23 -24). Ὁ Ἰώβ ὁμολογεῖ «δέρμα καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις ἔνειράς με· ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα 10, 11-22), καί ἔτι ὅτι ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων καὶ πνεῦμα πάσης σαρκὸς ἀνθρώπου» (12, 10). Ὁ Ἰησοῦς Χριστὸς δι δάσκει, ὅτι ἄνευ τῆς θελήσεως τοῦ Θεοῦ καὶ *ἡ θρὶξ τῆς κεφαλῆς ἡμῶν οὐκ ἀπολεσθήσεται* (Ματθ. 10/ 30). Καὶ ὁ Ἅγιος Ἀπόστολος μαρτυρεῖ, ὅτι ὁ Θεὸς δίδωσι πᾶσιν ἡμῖν ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα (Πραξ. 17, 25;

§ 88. Ὁ *Τρόπος τῆς συντηρήσεως.*

Ὁ Τρόπος τῆς ὑπὸ Θεοῦ συντηρήσεως τῶν κτισμάτων ἀκατάληπτος κατ' οὐσίαν, ὡς καὶ ὁ τῆς δημιουργίας, ἀλλ' ἐν τῇ ἐμφανίσει διττὸς,*φυσικὸς καὶ ὑπερφυσικός*. Καὶ κατὰ μὲν τὸν φυσικὸν ὁ Θεὸς συντηρεῖ τὴν ὕπαρξιν καὶ ἐνέργειαν τῶν κτισμάτων διὰ τῶν δωρηθέντων αὐτοῖς δυνάμεων καὶ φυσικῶν νόμων, καὶ προνοεῖ μόνον διὰ τοῦ παντεπόπτου ὄμματος αὐτοῦ καὶ τῆς θελήσεως, ὅπως τὰ κτίσματα ταῦτα μὴ ἐξαφανισθῶσιν. Τοῦτον δὲ τὸν τρόπον τοῦ Θεοῦ νοεῖ ὁ ψαλμῳδὸς, λέγων. «Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμενεῖ. Τῇ διατάξει Σου διαμένει ἡ ἡμέρα (ψαλ. 118, 90 -91).

Ὁ δὲ ὑπερφυσικὸς τρόπος τῆς συντηρήσεως καταφαίνεται ἐκεῖ, ὅπου νικᾶται φύσεως τάξις, κατὰ τοὺς λόγους τοῦ Ἐκκλησιαστικοῦ ὕμνου, φανεροῦντος τοῦ Θεοῦ ἐν τῇ φύσει, πρὸς ὑψη-

λότερόν τινα ἠθικὸν σκοπὸν, ἰδιαιτέραν ἐνέργειαν, ὑπερβάλλουσαν τὰς δυνάμεις καὶ τοὺς νόμους τῆς φύσεως. Ἀναμφίβολον δ' ὅτι ὁ ὑπερφυσικὸς οὗτος τρόπος τῆς συντηρήσεως τῶν κτισμάτων α)δυνατὸς, ἔκ τε τοῦ Θεοῦ θεωρούμενος τοῦ παντοδυνάμου καὶ παντελευθέρου Δεσπότου τῆς κτίσεως, ὅστις τὰ πάντα ἐποίησεν ἐκ τοῦ μηδενὸς, ὥστε πολλῷ μᾶλλον δύναται συντηρῆσαι τὰ πάντα κατὰ τὸ ἀρεστὸν Αὐτῷ· καὶ ἐκ ἵτης κτίσεως, ἥτις ὅλως ἐξαρτᾶται ἐκ τοῦ Ποιητοῦ, καὶ ἧς ἡ τελειότης συνίσταται οὐχὶ ἐν τῷ ἀναλοιώτῳ τῆς τάξεως αὐτῆς, ἀλλ' ἐν τῇ ἱκανότητι ταύτης πρὸς τοὺς σκοποὺς τοῦ Ποιητοῦ. β)Ἀναγκαῖος· διότι ὑπάρχουσι κτίσματα οὐχὶ ἄλογα μόνον, ἀλλὰ καὶ λογικὰ, δυνάμενα διὰ τῆς καταχρήσεως τῆς ἐλευθερίας αὐτῶν ἀνατρέψαι τὴν ἐν τῇ φύσει τάξιν, διὸ καὶ ἀνάγκη τῆς ὑπὸ τοῦ Θεοῦ κατευθύνσεως αὐτῶν. Πρὸς δὲ τούτοις ἀναγκαῖον ἔτι, ὅπως καταφανέστερος γένηται ἐν τῷ κόσμῳ καὶ ὁ προνοητικὸς δάκτυλος τοῦ Θεοῦ. γ) Ὑπάρχει ἔργῳ καταφαινόμενος ἐν τοῖς θαύμασι, περὶ ὧν τρανῶς μαρτυρεῖ ἡ Ἁγία Γραφὴ καὶ ἡ Ἱστορία τῆς Ἐκκλησίας τοῦ Θεοῦ.

2) Περὶ Κυβερνήσεως τοῦ Κόσμου.

§ 89· *Ἡ Περὶ Κυβερνήσεως ἔννοια.*

Ἡ Κυβέρνησις τοῦ Θεοῦ συνίσταται ἐν τούτῳ, ὅτι ὁ Θεὸς διαγράψας ἅπαξ τοῖς κτίσμασι τοὺς νόμους, καὶ ἐπιδείξας τὸν σκοπὸν, ἐπιτηρεῖ τὴν ἐκπλήρωσιν τῶν νόμων αὐτοῦ, ἁπάσας δὲ τὰς ἐνεργείας καὶ μεταβολὰς τῶν κτισμάτων κατευθύνει πρὸς τὸν προκείμενον αὐτοῖς σκοπόν.

§ 90. *Τὰ ἀντικείμενα.*

Ἡ Κυβέρνησις τοῦ Θεοῦ, ὡς καὶ ἡ συντήρησις ἐπεκτείνεται ἐν γένει ἐπὶ παντὸς μεγάλου τε καὶ μικροῦ. Καὶ δὴ ὁ Θεὸς κυ-

βερνᾷ α) τὸν φυσικὸν κόσμον. Οὕτω λέγει ὁ Ἰώβ. «Ὁ Θεὸς συνέστησεν αὐτοῖς τὴν ὁδόν· ἐποίησε δὲ ἀνέμων σταθμὸν, καὶ ὑδάτων μέτρα» (28, 23—25). «Αὐτὸς ἐξανατέλλει χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων καὶ ἐξάγει ἄρτον ἐκ τῆς γῆς» (ψαλ. 103, 14). Ὁ Ἰησοῦς Χριστὸς μαρτυρεῖ, ὅτι ὁ Οὐράνιος Πατὴρ «τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους» (Ματθ. 5, 45).

β) Κυβερνᾷ ὁλόκληρον τὸ γένος τῶν ἀνθρώπων, ὁρίζων τὰς τύχας τῶν βασιλειῶν τῆς γῆς, καὶ τῶν λαῶν, καὶ διδοὺς αὐτοῖς βασιλεῖς καὶ κυβερνήτας. «Αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους, καθιστᾷ βασιλεῖς, μεθιστᾷ» (Δανιὴλ. 2, 21). «Ὅτι *Κύριος ἐστὶν ὁ Ὕψιστος τῆς Βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτὴν*» (Δαν. 4, 14. 22. 29. πρβλ. Παρ. 8, 15· Σοφ. 6, 4. Σιρ. 10, 4. 17, 14). Καταφανὴς δὲ μαρτυρία τούτου ἐστὶν ἡ Ἱστορία τοῦ ἀνθρωπίνου γένους, ἐξεταζομένη ἐν τῷ φωτὶ τῆς θείας ἀποκαλύψεως. γ) Κυβερνᾷ ἕκαστον ἄνθρωπον. Διότι ὁ Σοφὸς λέγει· «Παρὰ Κυρίου εὐθύνεται διαβήματα ἀνδρὶ· θνητὸς δὲ πῶς ἂν νοῆσαι τὰς ὁδοὺς αὐτοῦ» (Παρ. 20, 24); Διὸ καὶ ὁ Ἅγιος Ἀπόστολος Πέτρος παραινεῖ ἡμῖν, ἵνα ἐπιῤῥίψωμεν πᾶσαν τὴν μέριμναν ἡμῶν ἐπὶ τὸν Θεὸν, «ὅτι αὐτῷ μέλλει περὶ ἡμῶν» (1 Πετρ. 5, 6) Προνοῶν δὲ ὁ Θεὸς περὶ τοῦ ἀνθρώπου, σοφῶς διατίθησι τὴν ἀρχὴν τοῦ βίου αὐτοῦ. «Ὅτι Σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου» (ψαλ. 21, 10). Τὴν διάρκειαν, ἥτις παρίσταται ἐν τῇ Γραφῇ, ὡς ἀμοιβὴ τῶν ἀγαθῶν ἔργων. «Τίμα τὸν Πατέρασου καὶ τὴν μητέρασου, ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς» (Ἔξοδ. 20, 12). Τὸ τέλος αὐτοῦ. «Ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρὰ σοί· εἰς χρόνον γὰρ ἦθου, καὶ οὐ μὴ ὑπερβῇ» (Ἰώβ. 14, 5). Διατίθησι πάντα τὰ συμβάντα εὐτυχῆτε καὶ ἀτυχῆ. «Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει· Κύριος πτωχίζει καὶ

πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ» (1 Βασιλ. 2, 6. 7). «Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν» (Ἰώβ. 5, 18). *Αὐτὸς δεικνύει τὴν* ὁδὸν τῆς ζωῆς τῷ ἀνθρώπῳ (ψαλ. 142,) «παρὰ δὲ Κυρίου ἁρμόζεται γυνὴ ἀνδρὶ» (Παρ. 19, 14), καὶ ἐξ Αὐτοῦ ἐξαρτᾶται *ἡ ἀπόκρισις γλώσσης* (Παρ. 611). Ὁ Θεὸς διευθύνει καὶ τὰς ἐλευθέρας ἀνθρωπίνους πράξεις, καὶ ταῖς μὲν ἀγαθαῖς βοηθεῖ παντοιοτρόπως, «διότι τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς ἀγαθὸν,» λέγει ὁ Ἀπόστολος (Ῥωμ. 8, 28). Καὶ αὐταὶ δὲ αἱ κακαὶ πράξεις οὐκ ἀποκρύπτονται ἀπὸ τοῦ προνοητικοῦ Αὐτοῦ ὀφθαλμοῦ. Διότι ὁ Θεὸς κατευθύνων ἅπαντα πρὸς σωτηρίαν τῶν ἀνθρώπων καὶ δόξαν τοῦ ὀνόματος Αὐτοῦ, πρὸς τὸν αὐτὸν σκοπὸν κατευθύνει καὶ τὰς κακὰς πράξεις. Ἐν γένει δὲ παραχωρεῖ ἐνίοτε αὐτάς. Οὕτω παρεχώρησε τοῖς ἀδελφοῖς τοῦ Ἰωσὴφ, ὅπως πωλήσωσιν αὐτὸν ἐν Αἰγύπτῳ, ἐξ οὗ πολλήτις ὠφέλεια προῆλθεν (Γενὶ 50, 20). Οὕτω παρεχώρησε τὴν πτῶσιν τοῦ Δαυὶδ, καὶ πολλῶν ἄλλων Ἁγίων, μεταχειριζόμενος τὴν πτῶσιν ταύτην εἰς νουθεσίαν καὶ οἰκοδομὴν καὶ τῶν πεσόντων καὶ τῶν ἄλλων Οὕτω καὶ παρὰ τῷ Προφήτῃ Ἱερεμίᾳ λέγεται «παιδεύσεισε ἡ ἀποστασία σου (Ἱερεμ. 2, 19). Ἐνίοτε δὲ ἵστησι ἢ περιορίζει τὴν κακίαν. Οὕτως ἔστησε μὲν τὴν ἀνομίαν τοῦ Ἀβιμέλεχ (Γεν· 20, 6), περιώρισε δὲ τὴν κατὰ τοῦ Ἰὼβ κακίαν τοῦ διαβόλου (Ἰώβ. 1, 12. 2, 6). Ἐν γένει δὲ μεταχειρίζεται ἀναρίθμητα μέσα πρὸς ἐπιστροφὴν καὶ σωτηρίαν τῶν ἁμαρτωλῶν· «διότι οὐ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν» (Ἰεζ. 33, 11). Καὶ πλεῖον τῆς γνησίας μητρὸς μεριμνᾷ περὶ τοῦ ἀνθρώπου, ὡς μαρτυρεῖ περὶ ἑαυτοῦ διὰ τοῦ Προφήτου Ἡσαΐου. «Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς· εἰδὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνὴ ἀλλ' ἐγὼ οὐκ ἐπιλησομαί σου» (Ἡσαΐου 49, 15).

§ 91. *Ὁ Τρόπος τῆς Θείας Κυβερνήσεως*

Ὁ τρόπος τῆς Θείας Κυβερνήσεως ἐστὶν ἀκατάληπτος κατ' οὐσίαν, ὡς καὶ ὁ τρόπος τῆς δημιουργίας καὶ τῆς συντηρήσεως τοῦ κόσμου, ἐν δὲ τῇ ἐμφανίσει ἐστὶ διάφορος. α) *Κατὰ τὸν τρόπον τῆς ἐνεργείας*, ὅτε, ὡς καὶ ὁ τρόπος τῆς συντηρήσεως, ἐστὶ *φυσικὸς καὶ ὑπερφυσικός*. Ὁ πρῶτος λαμβάνει χώραν ἐκεῖ, ἔνθα τὰ κρίματα τοῦ Θεοῦ πληροῦνται κατὰ τὴν φυσικὴν πορείαν τῶν πραγμάτων, τὴν ἅπαξ ὑπὸ τοῦ Θεοῦ τεταγμένην, καὶ μόνον δὲ ὑπὸ τὴν γνῶσιν καὶ ἐποπτείαν Αὐτοῦ. π. χ. τῷ διεφθαρμένῳ βίῳ φυσικῶς ἕπεται παραλυσία τῆς ὑγείας καὶ ἀπώλεια τῆς ἡσυχίας, κατὰ τὸν ἀμετάτρεπτον νόμον τῆς δικαιοσύνης τοῦ Θεοῦ, ὑποδειχθέντα καὶ ὑπὸ τοῦ Σοφοῦ, « δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται (Σοφ. 11, 17). Τῇ δὲ ὑπερφυσικῇ ἐνεργείᾳ τῆς τὰ πάντα διοικούσης Προνοίας ἀνήκουσι πάντα τὰ θαύματα, ὧν πλήρης ἡ Ἱστορία τῆς Ἐκκλησίας τοῦ Θεοῦ ἐπὶ τῆς γῆς. β) *Κατὰ τὸ ἀντικείμενον τῆς ἐνεργείας*. Διότι ἄλλως κυβερνᾷ τὰ ἄλογα κτίσματα, καὶ ἄλλως τὰ λογικὰ καὶ ἐλεύθερα. Καὶ τὰ μὲν πρῶτα ὑπόκεινται μόνῃ τῇ θελήσει Αὐτοῦ καὶ ὑποτάσσονται τῷ νόμῳ τῆς ἀνάγκης. Τὰ δὲ τελευταῖα εἰσὶν *ὑπὸ ὅρον* καὶ ἐξαρτῶνται ἐκ τοῦ ἠθικοῦ νόμου.

§ 92. *Πορίσματα.*

Ἐκ τοῦ ἀγαθουργοῦ καὶ παραμυθητικοῦ Χριστιανικοῦ δόγματος περὶ τῆς Προνοίας τοῦ Θεοῦ ἀπορρέουσιν αἱ ἑπόμεναι ἀλήθειαι. α) Οὐδεμία περίστασις, οὐδὲν συμβὰν ἄνευ τινὸς αἰτίας. Καὶ δὴ οὐκ ἔστι τυφλὴ τύχη, ἢ τοιαῦτα συμβάντα, ἅτινα ἐξαρτῶνται ἐκ μόνων ὑλικῶν, καὶ ἀλόγων αἰτιῶν. Οὐδεμία εἱμαρμένη, καθ' ἣν πάντα συμβαίνουσι κατά τινα ἀναπόφευκτον νόμον τῆς ἀνάγκης, ὅλως ἀμετάτρεπτον τῇ ἐλευθέρᾳ ἐνεργείᾳ, καὶ προσευχῇ, εἴτε ἄλλῳ τινί. β) Τὸ δόγμα τῆς ὀρ-

θοδόξου Ἐκκλησίας περὶ τῆς ὑποταγῆς ὑπερεχούσαις ἐξουσίαις ἔχει ὑγειᾶ καὶ ἑδραίαν βάσιν, καὶ διὰ τοῦτο ἀναθεματίζει τοὺς νομίζοντας ὅτι οἱ βασιλεῖς ἀναβαίνουσιν ἐπὶ τοῦ θρόνου οὐχὶ κατ' ἰδιαιτέραν ἐκλογὴν τοῦ Θεοῦ, καὶ διὰ τοῦτο τολμῶσι κατ' αὐτῶν ἐπανάστασιν καὶ προδοσίαν (1).

γ) Εἰς ἄκρον πλανῶνται ὅσοι νομίζουσιν, ὅτι ὁ Θεὸς, προνοῶν περὶ τοῦ γενικοῦ ἐν τῷ κόσμῳ, οὐδόλως φροντίζει περὶ τῶν καθ' ἕκαστα· ἐπίσης καὶ ὅσοι παραδέχονται μόνον φυσικὸν τρόπον προνοίας, ἀπορρίπτοντες τὸν ὑπερφυσικὸν, ἤτοι τὸν διὰ θαυμάτων.

δ) Ἡ τοῦ Θεοῦ Πρόνοια οὐ καταλύει τὴν ἐλευθερίαν τῶν λογικῶν ὄντων, ἀλλὰ τοὐναντίον φείδεται αὐτῆς, καὶ ἐνίοτε καὶ Αὐτὸς συμμορφοῦται αὐτῇ ἐν ταῖς ἰδίαις ἐνεργείαις. Διό καὶ οὐδόλως ἐδέσμευσεν ἡμᾶς ἀδυσωπήτῳ προορισμῷ, ἀλλ' ἐπέτρεψεν ἡμῖν τὸ δικαίωμα τοῦ προσεύχεσθαι, καὶ ἐπηγγείλατο εἰσακούειν καὶ ἐκπληροῦν ταύτας, ὅταν καὶ ὅπως εὐδοκήσῃ.

ε) Ἡ ἐλευθερία πάλιν οὐδόλως κωλύει τὴν θείαν πρόνοιαν ἐν τοῖς σκοποῖς καὶ ἐνεργείαις αὐτῆς· τοὐναντίον σοφῶς διευθύνεται πρὸς ἐκπλήρωσιν τούτων.

ζ) Τὸ ἠθικὸν κακὸν οὐδόλως ἀντιφάσκει τῇ ἁγιότητι τοῦ Θεοῦ. Διότι οὐκ ἔλαβε τὴν ἀρχὴν ἐξ αὐτοῦ, ἀλλὰ μόνον παραχωρεῖ ὁ Θεὸς αὐτὸ πρὸς τήρησιν τοῦ μείζονος ἀγαθοῦ τῆς ἐλευθερίας· διότι, ἀπολλυμένης ταύτης, συναπόλλυται ἅμα καὶ τὸ δυνατὸν τοῦ ἠθικοῦ ἀγαθοῦ καὶ ὁ σκοπὸς τῆς δημιουργίας καθίσταται ἀνέφικτος. Καὶ τὸ φυσικὸν κακὸν οὐδόλως ἀντιφάσκει τῇ ἀγαθότητι τοῦ Θεοῦ, ἀλλὰ τοὐναντίον ἀπορρέει ἐνίοτε ἐξ αὐτῆς τῆς ἀγαθότητος, ἐνίοτε δὲ ἀπαιτεῖ τοῦτο ἡ δικαιοσύνη τοῦ Θεοῦ. Ὅτι *δὲ ἡ ὁδὸς τῶν ἀσεβῶν ἐνίοτε εὐοδοῦται* (Ἱερ. 12, 1), οἱ δὲ δίκαιοι πάσχουσιν, οὐδεμία τοῦτο

(1) Ἀκολουθ. ἐν τῇ Κυρ. τῆς Ὀρθοδοξίας.

ἀντίφασις τῇ δικαιοσύνῃ τοῦ Θεοῦ, διότι μόνος ὁ Θεὸς γινώσκει τίς ἐστιν ὄντως ἀσεβὴς καὶ τίς δίκαιος, καὶ Αὐτὸς ὁρᾷ οὐ μόνον τοῦ ἐνεστὼς, ὡς ἡμεῖς, ἀλλὰ γινώσκει πάντα τὸν βίον τοῦ ἀνθρώπου, τόν τε παρελθόντα καὶ τὸν μέλλοντα.

Ἡ Περὶ τῆς Προνοίας τοῦ Θεοῦ Χριστιανικὴ διδασκαλία ἐστὶ λίαν διδακτικὴ πρὸς τὸν ἠθικὸν βίον καὶ παραμυθητικὴ πάνυ τῇ καρδίᾳ ἡμῶν. Αὕτη ἐμπνέει ὁλοσχερῆ ὑποταγὴν τῇ χειραγωγίᾳ τῆς Προνοίας, ἧς τὸ ἄοκνον ὄμμα γρηγορεῖ, συντηρεῖ καὶ διοικεῖ τὰ πάντα ἀπὸ τοῦ συνόλου τοῦ κόσμου μέχρι τοῦ ἄνθους τοῦ ἀγροῦ καὶ τοῦ εὐτελεστέρου ἐμψύχου, ἀπὸ τῆς κινήσεως τῶν οὐρανίων φωστήρων μέχρι τῆς πνοῆς τῶν χειλέων τοῦ στόματός σου καὶ τῆς κινήσεως τῶν ποδῶν σου. Αὕτη ἐμπνέει τὴν ζωηροτέραν ἐλπίδα ἐπὶ τὸν πανάγαθον καὶ Πάνσοφον Προνοητήν· ἀφαιρεῖ ἀπὸ τῆς ψυχῆς ἡμῶν τὴν βαρείαν μέριμναν περὶ τοῦ μακροῦ καὶ ἀγνώστου ἡμῖν μέλλοντος καὶ πληροῖ τὴν καρδίαν ἡμῶν εὐφροσύνου πεποιθήσεως, ὅτι ἐν πᾶσι πληροῦται τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ σωτήριον, καὶ πᾶν ὅ,τι συμβαίνει ἡμῖν, συμβαίνει πρὸς τὸ ἀληθὲς ἡμῖν ἀγαθόν. Αὕτη ἐπαναπαύει τὴν καρδίαν ἡμῶν ἐπὶ τῶν συμφορῶν καὶ πάντων τῶν δεινῶν, οἷς τοσοῦτον συνεχῶς ὑπόκεινται τὰ ἐπίγεια κτίσματα λογικά τε καὶ ἄλογα. Ἀλλ' ἅμα διδάσκει αὕτη, ὅτι ἐλπίζοντες ἐπὶ τὸν Θεὸν, ὀφείλομεν μὴ ὑπνώττειν. Διότι ἡ Πάνσοφος Πρόνοια ἐν πᾶσι συμμορφοῦται τῇ ὑμετέρᾳ ἐλευθερίᾳ καὶ θέλει τὴν ἐλευθέραν ἐνέργειαν καὶ σύμπραξιν ἡμῶν πρὸς ἐπίτευξιν τοῦ σκοποῦ, μηδόλως βιάζουσα ἡμᾶς. Αὕτη τέλος ἐμπνέει εὐλάβειαν ἐνώπιον τῶν ἀνεξιχνιάστων ὁδῶν τοῦ Θεοῦ, ἀποφράττουσα τὸ στόμα προπετοῦς περιεργείας, διὰ τί τὸ μὲν οὕτω, τὸ δὲ ἄλλως γίνεται ἐν τῷ κόσμῳ. Διότι ἡ συντηροῦσα καὶ

διοικοῦσα τὰ πάντα Θεία Πρόνοια μεριμνᾷ καὶ περὶ σοῦ, ὡς καὶ περὶ ὁλοκλήρου τοῦ κόσμου, φέρει καὶ σὲ ἐπὶ τῆς δεξιᾶς Αὐτῆς, ὡς τὰ οὐράνια σώματα καὶ ὁλόκληρα ἡλιακὰ συστήματα. Διὰ τοῦτο μὴ ἀγωνίζου καταμετρᾶν τὰς ὁδοὺς τῶν πλανητῶν καὶ τὰς ἀποστάσεις τῶν διαφόρων ἀστέρων ἀπὸ τοῦ ἡλίου, ἀλλὰ θεώρει ἐγγύτερον· πάντων δὲ μάλιστα παρατήρει εὐλαβῶς τὰς ὁδοὺς τῆς Προνοίας τοῦ Θεοῦ ἐν τῷ ἰδίῳ σου βίῳ, καὶ καταμέτρησον ἀκριβέστερον, πόσον ἴσταται μακρὰν ἢ ἐγγὺς ἡ ψυχή σου ἀπὸ τοῦ σοῦ Ἡλίου, τοῦ Ποιητοῦ καὶ Προνοητοῦ τῶν ἁπάντων.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Διαδασκαλία περὶ Ἀγγέλων.

§93. *Συνάφεια μετὰ τοῦ προηγουμένου.*

Μετὰ τὴν γενικὴν περὶ τοῦ κόσμου διδασκαλίαν ἕπεται ἡ ἰδικωτέρα περὶ τῶν Ἀγγέλων τῶν συνιστάντων τὸν ἀόρατον πνευματικὸν κόσμον.

§94. *Ἡ περὶ Ἀγγέλων ἔννοια.*

Ἡ ὀνομασία τοῦ Ἀγγέλου, κατὰ λέξιν, ἐστὶν ὀνομασία ἐπαγγέλματος, οὐχὶ δὲ φύσεως, καὶ σημαίνει ὑπηρέτας, ἢ ἀγγελιαφόρους. Διὰ τοῦτο ἐν τῇ Ἱερᾷ Γραφῇ ἀποδίδοται αὕτη ἐνίοτε τοῖς *ἀνθρώποις*, τοῖς ὑπηρετοῦσι τῷ Θεῷ. Οὕτω παρὰ τῷ Προφήτῃ Μαλαχίᾳ ὁ ἱερεὺς καλεῖται *Ἄγγελος Κυρίου Παντοκράτορος* (2, 7)· Ὁ αὐτὸς δὲ Προφήτης τὸν Πρόδρομον τοῦ Ἰησοῦ Χριστοῦ καλεῖ Ἄγγελον (3, 1). Τὴν ὀνομασίαν δὲ ταύτην

ἐπικυροῖ καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστός. « Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν Μου πρὸ προσώπου σου (Ματθ 11,10. Ἴδε καὶ Ἀριθ. 20, 16. Ἀγγαίου 1, 13). Οἱ ἐπίσκοποι τῶν Ἐκκλησιῶν ἐν τῇ Ἀποκαλύψει τοῦ Ἁγίου Ἰωάννου καλοῦνται ἐπίσης Ἄγγελοι (Ἀποκάλ. 2, 1. 8, 12). Ἀλλ' ἐν τῇ Ἱερᾷ Γραφῇ ἰδίως καλοῦνται Ἄγγελοι, πνεύματα λογικά, ὑπέρτερα τοῦ ἀνθρώπου.

§ 95. Ἡ Ὕπαρξις τῶν Ἀγγέλων,

Τὴν ὕπαρξιν τοῦ πνευματικοῦ κόσμου, ἤτοι τῶν Ἀγγέλων ἀναμφιβόλως βεβαιοῖ ἡ Ἁγία Γραφή. Καὶ ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ εὑρίσκομεν, ὅτι οἱ Ἄγγελοι ἐξήγαγον τὸν Λὼτ ἐκ τῶν Σοδόμων, κατακριθέντων εἰς ὄλεθρον (Γεν. 19. 1). Ἐνεφανίζοντο τοῖς προπάτορσι πολλάκις (Γεν. 16, 22. 32), καὶ τοῖς προφήταις (4 Βασιλ. 1, 3. Δαν. 7, 10). Παρὰ τῷ Ἰὼβ πολλάκις ὁ λόγος περὶ Ἀγγελικοῦ κόσμου (1, 6. 2, 1. 4, 18). Ἐν τοῖς ψαλμοῖς πολλαχοῦ μνημονεύονται Ἄγγελοι (38, 8. 90, 11. 148, 1. 2), καὶ ὁ ἄνθρωπος συγκρίνεται πρὸς αὐτούς. « Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκει αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.» (ψαλ. 8, 5. 6). Ἐν δὲ τῇ Καινῇ Διαθήκῃ ὁ Ἅγιος Ἀπόστολος Παῦλος, ἐν τῷ πρώτῳ κεφαλαίῳ τῆς πρὸς ἑβραίους ἐπιστολῆς παραβάλλει πρὸς τοὺς Ἀγγέλους Αὐτὸν τὸν Ἰησοῦν Χριστόν. « Τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα » Ὁ Αὐτὸς δὲ Ἀπόστολος, παραινῶν Τιμοθέῳ, ὅπως ἐκτελῇ τὴν διακονίαν αὐτοῦ πιστῶς, λέγει. « Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν Ἀγγέλων Αὐτοῦ, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος» (1 Τιμ. 5. 21). Ἰδίως δὲ σαφὴς ἡ μαρτυρία αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ κατὰ τῶν Σαδδουκαίων τῶν λεγόντων, μὴ εἶναι

ἀνάστασιν νεκρῶν, μηδὲ μέλλουσαν ζωὴν, μηδὲ Ἀγγέλους. «Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς Ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσι (Ματθ. 22, 30).

§96. *Ἡ γένεσις τῶν Ἀγγέλων.*

Ὅτι οἱ Ἄγγελαι ἔλαβον τὴν ἀρχὴν αὐτῶν παρὰ Θεοῦ, τοῦτο σαφῶς διδάσκει ὁ Ἀπόστολος. «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι» (Κολοσ. 1, 16). Τὸν δὲ χρόνον, καθ' ὃν ἐποιήθησαν οἱ Ἄγγελοι, ἡ Ἱερὰ Γραφὴ οὐχ ὁρίζει μὲν, ἀλλ' ἀναμφίβολον τοῦτο, ὅτι αὐτοὶ ἐποιήθησαν πρὸ τοῦ ἀνθρώπου. Ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς λέγει. «Κατάλληλον ἦν πρῶτον ποιῆσαι τὴν νοητὴν οὐσίαν, εἶτα δὲ τὴν αἰσθητὴν, καὶ μετὰ ταῦτα ἐκ τῆς μιᾶς καὶ καὶ τῆς ἄλλης οὐσίας τὸν ἄνθρωπον» (1). Τοῦτο δὲ συμφωνεῖ τῇ Ἁγίᾳ Γραφῇ. Διότι ἐν τῇ βίβλῳ τοῦ Ἰὼβ Αὐτὸς ὁ Θεὸς λέγει. «Ὅτε ἐγεννήθη ἄστρα, ᾔνεσάν με ἐν φωνῇ μεγάλῃ πάντες Ἄγγελοί μου» (38, 7). Ὀρθῶς ἄρα τινὲς νομίζουσιν (2), ὅτι ἐν τοῖς «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν» ὑπὸ τὸ ὄνομα τοῦ οὐρανοῦ νοεῖται ὁ πνευματικὸς κόσμος· διότι κατωτέρω οὐκ ἀποδίδοται τῷ οὐρανῷ τούτῳ ἀταξίατις, ὡς τοῦτο τῇ γῇ.

§ 97. *Αἱ ἰδιότητες τῶν Ἀγγέλων*

Τὰς ἰδιότητας τῶν Ἀγγέλων δείκνυσιν ἡ Ἁγία Γραφὴ, ἀποδιδοῦσα αὐτοῖς ἐν γένει τὴν ὀνομασίαν τοῦ Πνεύματος. «οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα» (Ἑβρ. 1, 14). Ἄρα, ὡς πνεύματα οἱ Ἄγγελοι εἰσὶν

(1) Ἔκθεσις πίστεως. Βιβλ. Β'. Κεφ, γ.

(2) Ὠριγένης Αὐγουστῖνος.

α) Ἀσώματοι. Διὸ καὶ ὁ Ἰησοῦς Χριστὸς ἐν τῇ ἀποκρίσει Αὐτοῦ πρὸς τοὺς Σαδδουκαίους περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, ἀρνεῖται ἀπὸ τῶν Ἀγγέλων σωματικὰς ἰδιότητας, καὶ τὴν κατάστασιν αὐτῶν ἐν γένει ἀντιπαρατίθησι τῇ παρούσῃ καταστάσει τῶν ἀνθρώπων (Ματθ. 22, 30). Καὶ ὁ Ἀπόστολος Παῦλος ὁμοίως, τοῖς πνεύμασι σαρκὸς καὶ αἵματος. «Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις» (Ἐφ. 6,12). Νοοῦσι δὲ οἱ ἅγιοι Πατέρες τὸ ἀσώματον τῶν Ἀγγέλων οὐχὶ ἀπολύτως, ἀλλὰ κατ' ἀναφορὰν πρὸς ἡμᾶς τοὺς περιβεβλημένους βαρεῖαν καὶ παχυλὴν σάρκα. Ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς λέγει· «Ἀσώματος δὲ λέγεται, καὶ ἄϋλος (ὁ Ἄγγελος), ὄχι πρὸς ἡμᾶς· πᾶν γὰρ συγκρινόμενον πρὸς Θεὸν, τὸν μόνον ἀσύγκριτον, παχύτε καὶ ὑλικὸν εὑρίσκεται· μόνον γὰρ ὄντως ἄϋλον τὸ θεῖον ἐστὶ καὶ ἀσώματον» (1).

β) *Ἀόρατοι.* Διότι ὁ Ἅγιος Ἀπόστολος ἀντιπαραβάλλει τοὺς Ἀγγέλους πρὸς πᾶν τὸ ὁρατὸν καὶ καλεῖ ῥητῶς *ἀοράτους* (Κολ. 1, 16). Ὅ,τι δ' ἀφορᾷ τὰς μορφὰς, αἷς οὗτοι ἐνεφανίζοντο ἐνίοτε τοῖς ἀνθρώποις, καὶ δι' ὧν περιγράφονται ἐν τῇ Ἱερᾷ Γραφῇ, ταῦτα βεβαίως εἰσὶ σύμβολα, ἐκφράζοντα ὅμως πραγματικὰς ἐσωτερικὰς ἰδιότητας τῶν Ἀγγέλων π. χ. τὸ πολυόμματον καὶ αἱ πτέρυγες (Ἱερ. 1, Ἡσ. 6,) κτλ. Ἐν τούτοις καὶ ἡ ἰδιότης αὕτη παραλαμβάνεται ὑπὸ τῶν Ἁγίων Πατέρων περιωρισμένη. Ὁ Ἅγιος Δαμασκηνὸς λέγει. «Ἄγγελος δὲ καὶ ψυχὴ καὶ δαίμων, εἰ καὶ μὴ σωματικῶς καὶ παχέως, ἀλλὰ κατὰ τὴν ἑαυτῶν φύσιν καὶ σχηματίζονται καὶ περιγράφονται..· ἡ δὲ θεία φύσις ἀπερίγραπτός ἐστι μόνη καὶ παντελῶς ἀνείδεος καὶ ἀσχημάτιστος καὶ ἀκατάληπτος» (2).

γ) Ἡ μεγάλη ταχύτης, μεθ' ἧς οἱ Ἄγγελοι περιφέρονται ἀπὸ

---

(1) Ἔκθ. πίστεως· βιβλ. Β'. κεφ. Γ'.

(2) Λόγ Γ'. Περὶ εἰκόνων κφ. ΚΔ.

τόπου εἰς τόπον, ἀποδείκνυσιν ὅτι οὐ περιορίζονται καὶ αὐτοὶ ὡς ἡμεῖς ἐν χώρῳ καὶ χρόνῳ. Ἀλλὰ καὶ ἡ ἰδιότης αὕτη ὑποτίθησι περιορισμόν. Ὁ Ἅγιος Δαμασκηνὸς λέγει πάλιν. « Οἱ Ἄγγελοι περιγραπτοί εἰσι· ὅτε γάρ εἰσιν ἐν τῷ οὐρανῷ, οὐκ εἰσὶν ἐν τῇ γῇ, καὶ εἰς τὴν γῆν ὑπὸ τοῦ Θεοῦ ἀποστελλόμενοι οὐκ ἐναπομένουσιν ἐν τῷ οὐρανῷ . . . . . καὶ μὴ δύνασθαι κατὰ ταὐτὸν ὧδε κακεῖσαι εἶναι καὶ ἐνεργεῖν » (1) Διὰ τοῦτο ἀναγκαίως καὶ τὰ πνεύματα κατέχουσιν ἴδιον κόσμον ἐν τῷ συνόλῳ, ὅστις ὀνομάζεται ἐν τῇ Ἱερᾷ Γραφῇ *τρίτος Οὐρανὸς* (2 Κορ. 12, 2), καὶ *Οὐρανὸς τοῦ Οὐρανοῦ* (3 Βασιλ. 8, 27).

δ) Οἱ Ἄγγελοι ἔχουσι *νοῦν καὶ ἐλευθέραν θέλησιν*. Καὶ περὶ μὲν τοῦ νοὸς τῶν Ἀγγέλων μαρτυρεῖ ὁ Σωτὴρ, λέγων, ὅτι αὐτοὶ « διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός Μου, τοῦ ἐν οὐρανοῖς » (Ματθ. 18, 10). Περὶ δὲ τῆς θελήσεως μαρτυρεῖ ὁ Ἀπόστολος Πέτρος λέγων, ὅτι οὗτοι « ἐπιθυμοῦσι παρακύψαι εἰς τὰ μυστήρια τῆς πίστεως τοῦ Χριστοῦ » (1 Πέτρ. 1, 12).

ε) Οἱ Ἄγγελοι ἔλαβον *ἀθανασίαν*. Διότι ἐν αὐτοῖς οὐδὲν θνητὸν καὶ φθαρτόν. Ἐν τούτοις οἱ Ἄγγελοι εἰσὶν ἀθάνατοι κατὰ τοὺς λόγους τοῦ Ἁγίου Δαμασκηνοῦ, « οὐ φύσει, ἀλλὰ κατὰ χάριν· πᾶν γὰρ τὸ ἀρξάμενον καὶ τελευτᾷ κατὰ φύσιν » (2).

§ 98. *Ἡ Διαίρεσις τῶν Ἀγγέλων.*

Ὁ πνευματικὸς κόσμος κατ' ἀρχὰς ἐποιήθη ὑπὸ τοῦ Θεοῦ ἅπας τέλειος, ὡς καὶ ὁ ὑλικὸς κόσμος. Ἀλλ' ἡ Ἱερὰ Γραφὴ λέγει ἡμῖν, ὅτι προϊόντος τοῦ χρόνου συνέβη ἐν αὐτῷ μεγάλη μεταβολή. Καὶ τὰ μὲν τῶν πνευμάτων τούτων διετέλεσαν

(1) Ἔκθεσις πίστ. Βιβλ. Β'. κεφ. Γ'.
(2) Ἔκθ. πίστ. αὐτόθι.

πιστὰ τῷ Ποιητῇ αὐτῶν, καὶ μέχρι τοῦ νῦν διατελοῦσιν ἐν τῇ καταστάσει τῆς καθαρότητος καὶ τῆς τελειότητος, τὸ δὲ ἔπεσον. Καλοῦνται δὲ τὰ μὲν πρῶτα πνεύματα *ἀγαθοὶ Ἄγγελοι*· τὰ δὲ *πονηρά*. Διὰ τοῦτο ὀφείλομεν εἰπεῖν

α) Περὶ Ἀγγέλων ἀγαθῶν.

β) Περὶ πονηρῶν Πνευμάτων.

Α) Περὶ τῶν Ἀγαθῶν Ἀγγέλων.

§ 99. *Αἱ ἰδιότητες τῶν ἀγαθῶν Ἀγγέλων.*

Λαμπροὶ καὶ μεγαλοπρεπεῖς οἱ χαρακτῆρες δι' ὧν εἰκονίζει ἡ Ἁγία Γραφὴ τὴν φύσιν τῶν ἀγαθῶν Ἀγγέλων. Καλεῖ δ' αὐτοὺς ἐν γένει μὲν, ὑπερτέρους τοῦ ἀνθρώπου λέγουσα περὶ τοῦ ἀνθρώμου· « ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους » (ψαλ. 8, 6). Ἁπανταχοῦ δὲ παρίστησιν αὐτοὺς λαμπροὺς καὶ ὀνομάζει *Ἀγγέλους φωτὸς* (2 Κορ. 11. 14). Διὰ τοῦτο καὶ ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς λέγει, ὅτι οὗτοι εἰσὶ *δεύτερα φῶτα* (1) μετὰ τὸ πρῶτον τὸ ἀδημιούργητον φῶς, τὸν Θεόν. Οὗτοι καλοῦνται προσέτι καὶ υἱοὶ Θεοῦ. « ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ υἱοὶ τοῦ Θεοῦ παραστῆναι ἐνώπιον Κυρίου » (Ἰώβ. 21). Ἅγιοι. « Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ Ἅγιοι Ἄγγελοι μετ' αὐτοῦ » (Ματθ. 25, 31). Ἐκλεκτοὶ « διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν Ἀγγέλων Αὐτοῦ » (1 Τιμ. 5, 21). Ἡ τελειότης δὲ τοῦ νοὸς αὐτῶν φαίνεται ἐκ τούτου, ὅτι αὐτοὶ διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Οὐρανίου Πατρὸς (Ματθ. 18, 10), καὶ ὁ Θεὸς πολλάκις ἀποστέλλει αὐτοὺς εἰς τὸν κόσμον εἰς

---

(1) Ἔκθ. πίς. Β' κεφ. Γ'.

ἀποκάλυψιν τῶν βαθυτάτων μυστηρίων Αὐτοῦ (τῷ Δανιὴλ, τῷ Ἰωάννῃ τῷ Θεολόγῳ). Ἡ δὲ τελειότης τῆς θελήσεως αὐτῶν ἀποκαλύπτεται ἐκ τούτου, ὅτι οὗτοι διὰ τὴν μεγάλην αὐτῶν ἀγάπην οὐ βδελλύτσονται τὴν μετὰ τῶν ἁμαρτωλῶν ἀνθρώπων ἀναστροφὴν, ἀλλὰ χαίρουσιν ἐπὶ τῇ ἐπιστροφῇ τοῦ ἁμαρτωλοῦ (Λουκ. 15, 10). Περὶ δὲ τῆς ἰσχυος τῶν Ἀγγέλων μαρτυρεῖ ἡ Ἁγία Γραφὴ, ὀνομάζουσα αὐτοὺς *δυνατοὺς ἰσχύι* (ψαλ. 102, 20. 2 Πέτρ. 2, 11). Ἐν τούτοις οἱ Ἄγγελοι οὐ τὰ πάντα γινώσκουσι. Διότι π. χ. ἀγνοοῦσι τὸν χρόνον τῆς δευτέρας παρουσίας (Μαρ. 13, 52), καὶ κατὰ τὸν Δαμασκηνὸν, «οὐκ ἀπαθεῖς· μόνον γὰρ τὸ θεῖον ἀπαθὲς» (1). Διὸ ἐν τῇ βίβλῳ τοῦ Ἰὼβ λέγεται, ὅτι ὁ Θεὸς «καὶ ἐν τοῖς Ἀγγέλοις αὐτοῦ σκόλιόν τι ἐπενόησεν, ὁ Οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον Αὐτοῦ (4, 17. 15, 15).

§ 100. *Ἡ ἠθικὴ κατάστασις*

Ὁ Ἅγιος Δαμασκηνὸς, συμφώνως μετὰ τῶν Πατέρων διδάσκει περὶ τῆς ἠθικῆς καταστάσεως τῶν Ἀγγέλων, ὅτι εἰσὶ κατὰ φύσιν κινητοὶ πρὸς τὸ κακὸν, ἀλλὰ νῦν ἀκίνητοι οὐ φύσει, ἀλλὰ χάριτι (2). Ἡ χάρις δ' αὕτη ἐδωρήθη αὐτοῖς διὰ τὴν πολυχρόνιον ὑπακοὴν τῇ θελήσει τοῦ Θεοῦ, καὶ διὰ τὴν ἀκλόνητον πίστιν εἰς Θεὸν, ἣν οὗτοι ἀπέδειξαν ἐπὶ τῆς πτώσεως τοῦ Σατανᾶ. Πλὴν δὲ τούτου περιεποιήσαντο νῦν ἑαυτοῖς καθαρὰν γνῶσιν καὶ σταθερὰν ἕξιν ἐν τῷ ἀγαθῷ, ἰδόντες τρομερὰ παραδείγματα πτώσεως καὶ καταδίκης παρὰ τοῖς λοιποῖς τῶν ὄντων· μάλιστα δὲ μετὰ τὴν ἐνσάρκωσιν, θάνατον καὶ ἀνάστασιν τοῦ Σωτῆρος Χριστοῦ ἐστηρίχθησαν ἐν τῷ ἀγαθῷ. Διὸ, εἰ καὶ ἐγγὺς τῷ Θεῷ εἰσὶ, πάντοτε ὅμως παρίστανται ἐνώπιον Αὐτοῦ *μετὰ φόβου καὶ τρόμου.*

---

(1) Αὐτόθι.
(2) Αὐτόθι.

§ 101. *Ἡ Μακαριότης.*

Ἡ μακαριότης τῶν Ἀγγέλων συνίσταται ἐν τούτῳ, ὅτι α) οὗτοι «διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρὸς τοῦ ἐν Οὐρανοῖς» (Ματθ. 18, 10), τουτέστιν εὐφραίνονται ἀπολαύοντες Θεογνωσίας θεωρητικῆς τε καὶ πρακτικῆς, καὶ διατελοῦσιν ἐν στενωτάτῳ συνδέσμῳ μετὰ τοῦ Θεοῦ. Ἐκ τούτου δὲ προέρχεται βεβαίως ὑψίστη χαρὰ καὶ μακαριότης.

β) Εἰσὶν ἐν ἀμοιβαίᾳ φιλικῇ κοινωνίᾳ τελειοτάτης ὁμονοίας καὶ ἀγάπης, διὸ καὶ βεβαίως ἔχουσιν ἰδίαν γλῶσσαν, ὅπερ ὑπαινίττεται καὶ ὁ Ἅγιος Ἀπόστολος, μνημονεύων *τῶν γλωσσῶν τῶν Ἀγγέλων, καὶ ῥημάτων*, ἅπερ ἤκουσεν ἐπὶ τοῦ τρίτου Οὐρανοῦ (1 Κορ. 13, 1. 2 Κορ. 12, 4).

γ) Συνεργοῦσιν εἰς τὸ ἔργον τῆς σωτηρίας τῶν ἀνθρώπων, ἥτις ἐστὶ τοσοῦτον πολύτιμος καὶ Αὐτῷ τῷ Θεῷ. Ὁ Ἰησοῦς Χριστὸς λέγει, ὅτι «χαρὰ γίνεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι» (Λουκ. 15, 10).

§ 102. *Ὁ Ἀριθμός.*

Ἡ Ἁγία Γραφὴ οὐχ ὁρίζει μὲν τὸν ἀριθμὸν τῶν ἀγαθῶν Ἀγγέλων, ἀλλ' οὐχ ἧττον δείκνυσιν, ὅτι μέγιστος. Οὕτως ὁ Προφήτης Δανιὴλ εἶδεν, ὅτι «χίλιαι χιλιάδες ἐλειτούργουν τῷ Θεῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν Αὐτῷ» (7, 10). Τὸ αὐτὸ δὲ μαρτυρεῖ καὶ ὁ Ἰησοῦς Χριστὸς «ἢ δοκεῖς, ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν Πατέρα Μου, καὶ παραστήσει Μοι πλείους ἢ δώδεκα λεγεῶνας Ἀγγέλων» (Ματθ. 26, 53); Καὶ ὁ Ἀπόστολος Παῦλος λέγει, «Προσεληλύθατε . . . . . καὶ μυριάσιν Ἀγγέλων» (Ἑβρ. 12, 22).

§ 103. *Οἱ Βαθμοί.*

Ὅτι οἱ ἀγαθοὶ Ἄγγελοι ἔχουσι βαθμούς, καθ' οὓς διακρί-

νονται ἀλλήλων κατὰ τὴν ἑαυτῶν ἀξίαν, τοῦτο καταφαίνεται ἐκ τῶν ποικίλων ὀνομασιῶν αὐτῶν ἐν τῇ Ἁγίᾳ Γραφῇ. Αὕτη μνημονεύει τῶν Χερουβείμ (Γεν. 3, 24), τῶν Σεραφείμ (Ἡσ. 6, 2), τῶν Θρόνων, Κυριοτήτων, ἐξουσιῶν καὶ Ἀρχῶν (Κολ. 1, 16), Δυνάμεων καὶ Ἀγγέλων (Ῥωμ. 8, 38), Ἀρχαγγέλων (1 Θεσσαλ. 4, 16). Ἐπὶ τούτου δὲ θεμελιοῦται ἡ Οὐράνιος Ἱεραρχία τοῦ Ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ὅστις διαιρεῖ πάντας τοὺς Ἀγγέλους εἰς ἐννέα τάγματα, ταῦτα δὲ εἰς τρεῖς χορούς (διακοσμήσεις). Ἐν τῷ πρώτῳ χωρῷ τίθησιν οὗτος τὰ Σεραφείμ, τὰ Χερουβείμ, τοὺς Θρόνους· ἐν τῷ δευτέρῳ τὰς Κυριότητας, τὰς δυνάμεις τὰς ἐξουσίας, καὶ ἐν τῷ τρίτῳ τὰς ἀρχάς, τοὺς Ἀρχαγγέλους, καὶ τοὺς Ἀγγέλους. Ἡ ἀμοιβαία δ' αὐτῶν σχέσις, κατὰ τοὺς λόγους αὐτοῦ, αὕτη ἐστίν, ὅτι τὰ κατώτερα τάγματα διδάσκονται παρὰ τοῖς ἀνωτέροις τὰ θεῖα ἔργα, τὰ δὲ ἀνώτατα μανθάνουσιν τὰ μυστήρια τοῦ Θεοῦ παρ' αὐτοῦ τοῦ Θεοῦ (1).

§ 104. *Ἡ πρὸς τὸν Θεὸν σχέσις.*

Ἡ διακονία τῶν ἀγαθῶν Ἀγγέλων τῷ Θεῷ αὕτη ἐστὶ ὅτι

α) Δοξάζουσι τὸν Θεόν. Οὕτως ὁ Προφήτης Ἡσαΐας εἶδεν, ὅτι τὸ Σεραφὶμ εἱστήκεισαν κύκλῳ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ ἐκέκραγεν ἕτερος πρὸς ἕτερον, καὶ ἔλεγον « Ἅγιος, Ἅγιος, Κύριος Σαβαὼθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης Αὐτοῦ » (Ἡσ. 6, 3). Ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος εἶδεν ἐπίσης, ὅτι οὗτοι ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντες Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ (Ἀποκαλ. 4, 8 Δαν. 7, 10).

---

(1) Παρὰ Δαμ. ἔκθ. Πιστ. βιβλ· Β'. κφ. Γ.

β) Λειτουγοῦσι τῷ Θεῷ· Διότι λέγεται περὶ αὐτῶν, ὅτι ἐν τοῖς οὐρανοῖς ἐκπληροῦσι τὸ θέλημα τοῦ οὐρανίου Πατρὸς (Ματθ. 6, 10). Ποιοῦσι τὸν λόγον Αὐτοῦ καὶ ἀκούουσι τὴν φωνὴν τῶν λόγων αὐτοῦ (ψαλ. 102, 20). Ὡσαύτως δὲ διηκόνουν καὶ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ κατὰ τὴν ἐπίγειον αὐτοῦ διαμονὴν (Ματθ. 4, 11). Διακονοῦσιν αὐτῷ καὶ νῦν, διότι κάθηται ἐν δεξιᾷ τοῦ Θεοῦ Πατρὸς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ δυνάμεως καὶ κυριότητος (Ἐφ. 1, 21), καὶ διακονήσουσιν Αὐτῷ ἐν τῇ δευτέρᾳ παρουσίᾳ ἐρχομένῳ εἰς κρίσιν ζώντων καὶ νεκρῶν, περικυκλοῦντες τότε τὸν θρόνον αὐτοῦ (Ματθ. 25, 31).

§ 105.. *Ἡ μετὰ τῶν ἀνθρώπων ἐνγένει σχέσις αὐτῶν*

Οἱ ἀγαθοὶ Ἄγγελοι ἔχουσι καὶ πρὸς ἡμᾶς στενὴν καὶ ἀγαθοεργὸν σχέσιν. Διότι, ὡς πρεσβύτεροι ἀδελφοὶ τῆς αὐτῆς οἰκογενείας τοῦ αὐτοῦ Οὐρανίου Πατρὸς, καὶ κατὰ θέλησιν αὐτοῦ, καὶ κατ'ἰδίαν, λαμβάνουσιν ἐνεργὸν μέρος ἐν τοῖς ἀνθρωπίνοις ἔργοις. Ἡ Ἁγία Γραφὴ πλήρης τοιούτων παραμυθητικῶν παραδειγμάτων. Καὶ δὴ οἱ Ἄγγελοι

α) Ἀναγγέλουσι τοῖς ἀνθρώποις τὸ θέλημα τοῦ Θεοῦ, ὡς ἐν μὲν τῇ Παλαιᾷ Διαθήκη τῷ Ἀβραὰμ, Ἰακὼβ, Μωϋσῇ, Ἰησοῦ τοῦ Ναυῇ, Δαυὶδ, Δανιὴλ κτλ. Ἐν δὲ τῇ Καινῇ τῷ Ζαχαρίᾳ, τῇ Ὑπεραγίᾳ Θεοτόκῳ Παρθένῳ, τῷ Ἰωσήφ.

β) Ἐκτελοῦσιν ἐν τῷ ἀνθρωπίνῳ γένει διάφορα κρίματα τοῦ Θεοῦ, ὡς τὸ ἐπιτηρεῖν ὁλόκληρα Βασίλεια. Διότι ἐν τῷ Δευτερονομίῳ ἀναφέρεται, ὅτι, ὅτε διεμέριζεν ὁ ὕψιστος Θεὸς τὰ ἔθνη ὡς διέσπειρεν Υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ (Δευτ. 32, 8). Ἰδίως δὲ ἡ Ἀποκάλυψις τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου μαρτυρεῖ, ὅτι πολλάκις ὁ Θεὸς μεταχειρίζεται τοὺς Ἀγγέλους ἐκπληρωτὰς τῶν κρι-

μάτων αὐτοῦ ἐν τῷ ἀνθρωπίνῳ γένει, μάλιστα δὲ ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ.

γ) Ὡσαύτως, κατὰ τὴν διδασκαλίαν τῶν Ἁγίων Πατέρων ἐγχειρίζεται αὐτοῖς παρὰ τοῦ Θεοῦ ἡ τήρησις τῶν ἐλαχίστων ἀνθρωπίνων κοινωνιῶν, ὡς χωρῶν, πόλεων, Μονῶν, Ἐκκλησιῶν, ὡς καὶ ἡ Κυβέρνησις διαφόρων χωρῶν τῆς γῆς (Ἀποκλ. 7, 1. 14, 18. 15, 6) (1).

δ) Πρὸς τούτοις συνεργοῦσιν καὶ εἰς τὰ μερικὰ ἔργα τοῖς ἀνθρώποις π. χ. ἐμφανίζονται τῷ Πατριάρχῃ Ἰακὼβ καὶ θαρρύνουσιν αὐτὸν (Γεν. 32, 1)· διαφυλάττουσι τὸν Δανιὴλ ἐν τῷ λάκῳ τῶν Λεόντων (Δαν. 6, 22)· ἐξάγουσιν ἐκ τῆς φυλακῆς τὸν Ἀπόστολον Πέτρον, ἄλλοτε δὲ καὶ πολλοὺς Ἀποστόλους (Πραξ. 5, 18. 19. 12, 7)· παρίστανται τοῖς ἀποθνήσκουσιν καὶ τὴν ψυχὴν τοῦ Λαζάρου μεταφέρουσιν εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ (Λουκ. 16, 22)· ἀναφέρουσι τὰς προσευχὰς τῶν ἀνθρώπων πρὸς τὸν Θεὸν καὶ μεσιτεύουσιν ὑπὲρ αὐτῶν (Ἀποκ. 8, 3). Ἐν γένει δὲ ὁ Ἀπόστολος Παῦλος ὁρίζει τὴν συνέργειαν τῶν Ἀγγέλων λέγων, ὅτι ἀποστέλλονται εἰς σωτηρίαν ἡμῶν· « οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν » (Ἑβρ. 1, 14).

§ 106· *Ἡ σχέσις πρὸς ἕκαστον Χριστιανὸν, ἢ τὸ δόγμα περὶ τοῦ Ἀγγέλου φύλακος.*

Πλὴν τῆς κοινῆς ταύτης λειτουργίας τῶν Ἀγγέλων τῷ ἀνθρωπίνῳ γένει, ἔστιν ἔτι καὶ ἄλλη τις ἰδιαιτέρα πρὸς σωτηρίαν ἑκάστου Χριστιανοῦ. Καὶ δὴ ἡ Ἐκκλησία ἡμῶν διδάσκει, ὅτι ἕκαστος Χριστιανὸς ἔχει ἴδιον Ἄγγελον, ὅστις διαμένει παρ' αὐτῷ καὶ φυλάττει αὐτὸν, καὶ διὰ τοῦτο καλεῖται *Ἀγ-*

(1) Ἐκθ. πίστ. βιβλ. Β'. κεφ. Γ'. καὶ Ὀρθ. Ὁμολ. 19 ἐν.

γελος φύλαξ. Ἡ διδασκαλία δ' αὐτη ἐστὶ σταθερὰ καὶ διηνεκὴς τῆς Ἐκκλησίας τῆς τε Π. καὶ Κ. Διαθήκης. Οὕτως ὁ Ἀβραὰμ, ἀποστέλλων τὸν δοῦλον εἰς νύμφην τῷ Υἱῷ αὐτοῦ Ἰσαὰκ, λέγει· « Κύριος ἀποστελεῖ τὸν Ἄγγελον Αὐτοῦ ἔμπροσθέν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ » (Γεν. 24, 7). Ὁ δὲ ψαλμῳδὸς λέγει « Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν (ψαλ. 33, 8), καὶ ὅτι ὁ Θεὸς « τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ (τοῦ ἀνθρώπου), τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου » (ψαλ. 90, 11). Τέλος ἐν τῇ Κ. Διαθήκῃ Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ῥητῶς βεβαιοῖ τὴν ἀλήθειαν ταύτην, λέγων περὶ τῶν παίδων «ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. (Ματ, 18, 10). Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει « οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν»(Ἑβρ. 1, 14). Τὸ ἀναγκαῖον ἑκάστῳ ἡμῶν τοιούτου τελείου ὁδηγοῦ καὶ φύλακος δῆλον εἰκοθεν, ἐὰν μάλιστα α) ἀναλογισθῶμεν πόσον ἄπειροι καὶ ἄστατοι ἐν τῷ ἔργῳ τῆς Σωτηρίας ἐσμέν. β) Πόσους ἔχομεν ἐχθροὺς φανερούς τε καὶ κρυπτοὺς, πόσαι δυσκολίαι καὶ κίνδυνοι ἐν τῇ ὁδῷ τῆς σωτηρίας ἡμῶν. Καὶ τέλος γ) ὅτι τὸ ἔργον τῆς σωτηρίας ἡμῶν ἔχρηζε τοῦ ἀνεκτιμήτου αἵματος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἆρα οὐδὲ δυνατὸν, ὅπως ἀφεθῶμεν μόνοι ἐν τῷ σπουδαιοτάτῳ τούτῳ ἔργῳ. Τὰς πράξεις δὲ τῶν Ἀγγέλων φυλάκων δείκνυσιν ἡ Ἁγία Ἐκκλησία, ἀποκαλοῦσα αὐτοὺς *διδασκάλους* καὶ *χειραγωγούς*, διδάσκοντας ἡμᾶς πᾶν τὸ ἀγαθὸν καὶ χειραγωγοῦντας πρὸς σωτηρίαν· *φύλακας* τῶν ψυχῶν καὶ τῶν σωμάτων, φυλάττοντας ἀπὸ παντὸς βλαβεροῦ καὶ κακοῦ, ἰδίως δὲ ἀπὸ τῆς ἐπηρείας τῶν πονηρῶν πνευμάτων. Τέλος καλεῖ αὐτοὺς *μεσίτας* καὶ *προστάτας* ἀναφέροντας τὰς προσευχὰς ἡμῶν ἐνώπιον τοῦ Οὐρανίου Πατρός· οὐμὴν ἀλλὰ

καὶ εὐχομένους ὑπὲρ ἡμῶν καὶ καταβιβάζοντας ἐφ' ἡμᾶς τὴν εὐλογίαν τοῦ Θεοῦ.

§ 107. *Περὶ σεβασμοῦ τῶν Ἀγγέλων.*

Ἐπὶ τῆς περὶ Ἀγγέλων διδασκαλίας θεμελιοῦται καὶ τὸ ἕτερον Χριστιανικὸν δόγμα περὶ τοῦ σεβασμοῦ τῶν Ἀγγέλων. Τοῦτο δὲ ὀφείλομεν δικαίως· διότι, ἐπειδὴ εἰσὶν ἀνώτεροι ἡμῶν καὶ μάλιστα εὐεργετοῦσιν ἡμᾶς, δίκαιον καὶ ὅσιον ἄρα τιμᾶν καὶ σέβεσθαι κατὰ τὸν προσήκοντα τρόπον. Τοῦτο δὲ καὶ ἡ Ἁγία Γραφὴ δείκνυσι, παρέχουσα ἡμῖν παραδείγματα τιμῆς τῶν Ἀγγέλων, οἷον τὸ Ἰησοῦ Ναυῆ (Ἰησ. Ν· 5, 14), τὸ τοῦ Γεδεὼν (Κριτ. 13, 20), τὸ τοῦ Προφήτου Δανιὴλ (Δαν· 10, 9), τὸ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου (Ἀποκ. 22, 8 9)· Οὗτοι Προσεκύνουν μέχρις ἐδάφους τῷ φανερωθέντι αὐτοῖς Ἀγγέλῳ. Τὰ δὲ Χερουβὶμ ἐξεικονίζοντο παρὰ τοῖς Ἰουδαίοις ἔντε τῇ σκηνῇ καὶ τῷ Ναῷ καὶ ἐν αὐτοῖς τοῖς ἁγίοις τῶν ἁγίων ἐπὶ τῆς Κιβωτοῦ τῆς Διαθήκης (Ἐξοδ. 25, 18). Ὁ σεβασμὸς τῶν Ἀγγέλων βεβαιοῦται ἀναμφιβόλως καὶ ἐκ τοῦ παραδείγματος τῆς ἀρχαίας Ἐκκλησίας Διὰ τοῦτο καὶ ἡ Ὀρθόδοξος Ἐκκλησία, ἀπαγορεύουσα τὴν Θεοποίησιν τῶν Ἀγγέλων, εἴτε τὴν ἀπόδοσιν αὐτοῖς θείας τιμῆς, ὅπερ ἀπηγόρευσεν ἤδη καὶ ἡ τοπικὴ ἐν Λαοδικείᾳ Σύνοδος, παραγγέλει τιμᾶν αὐτοὺς, ὡς κτίσματα μὲν, ἀλλ' ἀνώτερα καὶ πλησιέστατα τῷ Θεῷ, ἅμα δὲ καὶ εὐεργετικὰ ἡμῖν. Τὸν τρόπον δὲ τοῦ σεβασμοῦ ἔδειξεν ἡμῖν ἡ Ἐκκλησία, α) ὁρίσασα αὐτοῖς ἰδιαιτέρας ἑορτάς. β) Συντάξασα εἰς τιμὴν αὐτῶν ὕμνους, ἐν οἷς ἐξυμνεῖ τὰς Θεοπρεπεῖς τελειότητας αὐτῶν. γ) Δοῦσα ἡμῖν προσευχὰς εἰς ἀπόδειξιν τῆς εὐγνωμοσύνης ἡμῶν καὶ εἰς αἴτησιν παρ' αὐτῶν προστασίας καὶ μεσιτείας παρὰ τῷ Θεῷ.

Β) Περὶ τῶν πονηρῶν Πνευμάτων.

§ 108. *Ἡ Ὕπαρξις τῶν πονηρῶν Πνευμάτων.*

Ἡ ὕπαρξις τῶν πονηρῶν πνευμάτων βεβαιοῦται ὑπὸ πλείστων μαρτυριῶν τῆς Ἱερᾶς Γραφῆς. Καὶ ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ τὸ πονηρὸν πνεῦμα ἐξαιτεῖται παρὰ τοῦ Θεοῦ ἄδειαν ὅπως πειράζῃ τὸν Ἰώβ (Ἰώβ. 1, 6. 2, 2), ἠνόχλει τὸν Σαοὺλ (1 Βασιλ. 16, 14. 15), ἠγέρθη κατὰ τοῦ Δαυὶδ (1 Βασ. 2, 11), καταδείκνυται ἐν τῇ βίβλῳ τοῦ Τωβὶτ (8, 3)· ἐν δὲ τῇ βίβλῳ τῆς Σοφίας τοῦ Σολομῶντος καλεῖται αἴτιον τοῦ θανάτου τῶν προπατόρων (Σοφ. 2, 24). Ἐν δὲ τῇ Καινῇ Διαθήκῃ οἱ Ἀπόστολοι Πέτρος καὶ Ἰούδας μνημονεύουσιν Ἀγγέλων ἁμαρτησάντων καὶ μὴ τηρησάντων τὴν ἑαυτῶν ἀρχὴν (2 Πετρ. 2. 4. Ἰουδ. 6). Καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ὁ ὑπομείνας τὸν πειρασμὸν τοῦ διαβόλου ἐν τῇ ἐρήμῳ (Ματθ. 4, 1—11), σαφῶς καὶ πολλάκις ἐδίδασκε περὶ τῶν πονηρῶν πνευμάτων. Οὕτως, ἐξηγῶν τὴν περὶ τῶν ζιζανίων τοῦ ἀγροῦ παραβολὴν, εἶπεν, ὅτι *ὁ ἐχθρὸς, ὁ σπείρας αὐτὰ, ἐστὶν ὁ διάβολος* (Ματθ. 13, 39). Ἐν ἑτέρῳ δὲ χωρίῳ ἐλέγχων τοὺς Ἰουδαίους λέγει «ὑμεῖς ἐκ Πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ Πατρὸς ὑμῶν θέλετε ποιεῖν. Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν. Ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ (Ἰωάν. 8, 44). Δοὺς δὲ τοῖς Ἀποστόλοις τὴν δύναμιν τοῦ ποιεῖν θαύματα, ἔδωκεν αὐτοῖς καὶ ἐξουσίαν τοῦ ἐκβάλλειν δαιμόνια «ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε» (Ματθ. 10, 8). Ὁ δὲ Ἅγιος Ἀπόστολος Ἰωάννης τὴν ἀλήθειαν τῆς ὑπάρξεως τῶν πονηρῶν πνευμάτων στενῶς συνδέει τῇ ἀληθείᾳ τῆς ἐν τῷ κόσμῳ ἐλεύσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ «ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστὶν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου» (1 Ἰωαν. 3, 8).

§ 109. *Ὁ ἀριθμὸς τῶν πεσόντων πνευμάτων.*

Ἡ Ἁγία Γραφὴ ἕνα δείκνυσιν ὁδηγὸν καὶ ἀρχηγὸν τῶν πονηρῶν πνευμάτων, ὅστις μεθ' ἑαυτοῦ ἀπεπλάνησε καὶ ταῦτα ἀπὸ τοῦ Θεοῦ. Οὕτως ὁ Ἰησοῦς Χριστὸς καλεῖ ἕνα αὐτῶν «πατέρα ψεύδους καὶ ἀνθρωποκτόνου ἀπ' ἀρχῆς» (Ἰωαν. 8, 44), καὶ λέγει περὶ πυρὸς αἰωνίου, ἡτοιμασμένου τῷ διαβόλῳ καὶ τῆς ἀγγέλοις αὐτοῦ (Ματθ. 25, 41), καὶ μνημονεύει ἄρχοντος τοῦ κόσμου, ὑφ' ὃν νοεῖ τὸν ἀρχηγὸν καὶ ἡγεμόνα τῶν πονηρῶν πνευμάτων. Καὶ ὁ Ἀπόστολος Ἰωάννης δεύκνυσιν ἐπίσης ἕνα ἀρχηγὸν πάσης ἁμαρτίας (ι Ἰωαν. 3,8), καὶ ἐν τῇ Ἀποκαλύψει αὐτοῦ διακρίνει ἐν τοῖς πονηροῖς πνεύμασι προϊστάμενον καὶ ὑποκειμένους (Ἀποκ. 12, 7—9). Ὁ ἀρχηγὸς δ' οὗτος τῶν πονηρῶν πνευμάτων καλεῖται *ἑωσφόρος* παρὰ τῷ Προφήτῃ Ἡσαΐᾳ (14, 12)· Ἀβαδδὼν ἢ *Ἀπολλύων* ἐν τῇ Ἀποκαλύψει (9, 11)· *Βεελζεβοὺλ* δὲ καὶ *Σατανᾶς* ἐν τῷ Εὐαγγελίῳ (Ματθ. 12, 24· 27)· *Βελίαρ* παρὰ τῷ Ἀποστόλῳ Παύλῳ (2. Κορ. 6, 14 15). Συνηθέστερον δὲ πάντων *διάβολος*. Ὅ,τι δὲ ἀφορᾷ τὸν ἀριθμὸν τῶν πεσόντων ἀπὸ τοῦ Θεοῦ καὶ ὑποταγέντων τῷ ἀρχηγῷ τοῦ σκότους πνευμάτων, ἡ ἁγία Γραφὴ διδάσκει μόνον, ὅτι ἐστὶ μέγιστος. Διότι τὸ ἄθροισμα τῶν πονηρῶν πνευμάτων καλεῖται *βασιλεία* (Λουκ. 11, 18). Καὶ ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ἐξέβαλεν ἐν τῇ χώρᾳ τῶν Γαδαρηνῶν ἐξ ἑνὸς ἀνθρώπου ὁλόκληρον Λεγεῶνα δαιμονίων (Λουκ. 8, 30).

§ 110. *Ἡ ἁμαρτία τῶν πεσόντων πνευμάτων.*

Ἐν τίνι συνίστατο ἡ ἁμαρτία τοῦ πεσόντος πνεύματος, τοῦτο καταφαίνεται ἐκ τῆς ἀντιπαραθέσεως χωρίων τινῶν τῆς Ἱερᾶς Γραφῆς. Καὶ δὴ ὁ Ἰησοῦς Χριστὸς λέγει, ὅτι ὁ διάβολος «ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, καὶ ὅτι ἐστὶ πατὴρ τοῦ ψεύ-

δους » (Ἰωάν. 8, 44). Ὁ δὲ Ἀπόστολος Ἰούδας μαρτυρεῖ ὅτι τὰ πεσόντα πνεύματα οὐκ *ἐτήρησαν τὴν ἑαυτῶν ἀρχὴν, ἀλλ' ἀπέλιπον τὸ ἴδιον οἰκητήριον* (Ἰουδ. 6). Ὁ δὲ Ἀπόστολος Παῦλος παρίστησιν, ὅτι ὁ διάβολος κατεδικάσθη ἰδίως διὰ τὸν τύφον αὐτοῦ (1 Τιμ. 3, 6). Οὕτω δὲ τὸ πρῶτον ἔθνος πρὸς τὴν πτῶσιν τῶν πνευμάτων ἦν τὸ ψεῦδος, τουτέστιν ἡ ψευδὴς ἔννοια περὶ τῶν ἰδίων τελειοτήτων καὶ τῆς σχέσεως αὐτῶν πρὸς τὸν Θεόν. Τούτῳ δὲ ἠκολούθησεν ἡ ἀλαζονία, ὅπως ἐξισωθῶσι πρὸς τὸν Θεὸν, γένωνται ἀνεξάρτητοι, καὶ καθιδρύσωσιν ἰδίαν βασιλείαν. Τέλος *φανερὰ παρακοὴ* καὶ *στάσις*, τουτέστιν ἡμὴ ἐκπλήρωσις τῶν ἀνατεθέντων αὐτοῖς παρὰ τοῦ Θεοῦ χρεῶν, καὶ ἡ ἐγκατάλειψις τῆς ἐν τῷ κόσμῳ τάξεως· Ὅ,τι δ' ἀφορᾷ τὴν ἀξίαν τοῦ κατὰ πρῶτον πεσόντος πνεύματος, οἱ Ἅγιοι Πατέρες τῆς Ἐκκλησίας ὁμοφώνως νομίζουσιν, ὅτι ἦν εἷς τῶν πρώτων καὶ πλησιεστέρων τῷ Θεῷ Ἀγγέλων (1).

§ 111 *Αἱ ἰδιότητες.*

Ἡ ἠθικὴ κατάστασις τῶν πονηρῶν πνευμάτων ἐστὶ τὰ μᾶλιστα ζοφερὰ καὶ ἀποτρόπαια. Οὗτοι ἔχουσι μὲν νοῦν καὶ γινώσκουσι πολλὰ· διότι ὁ Ἀπόστολος Ἰάκωβος βεβαιοῖ ὅτι τὰ *δαιμόνια πιστεύουσι καὶ φρίσσουσι τὸν Θεόν* (Ἰακ. 2, 19). ὡμολόγουν δὲ καὶ τὸν Σωτῆρα Ἰησοῦν Χριστὸν πολλάκις Υἱὸν Θεοῦ (Ματθ. 8, 29). Περὶ δὲ τῶν Ἀγγέλων λέγει τὸ πειράζον πνεῦμα « Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας » (Πράξ 16, 17). Ἐν δὲ τῇ βίβλῳ τοῦ Ἰὼβ λέγεται, ὅτι ὁ διάβολος περιέρχεται ὁλόκληρον τὴν ὑπ' οὐρανὸν, ἐξετάζων, ὅ τι ἐν αὐτῇ εἶναι τ' Ἰώβ. (1, 6. 7). Ἐν γένει δὲ τὰ πονηρὰ πνεύματα διδαχθέντα ὑπὸ τῆς πολυχρονίου πείρας, πολλάκις εἰσδύουσιν

(1) Ἔκθ. Πιστ. βιβλ. Β'. κφ. Α.

εἰς τὰς ἰδέας τῶν ἀνθρώπων, μαντεύουσι τὸ μέλλον, γινώσκουσι τὰ μακρὰν, ἀλλ' ὅμως πολλάκις ἀπατῶνται. Τὸ δὲ κυριώτερον χαρακτηριστικὸν τοῦ νοὸς αὐτῶν ἐστι τὸ μῖσος κατὰ τῆς ἀληθείας, τὸ ψεῦδος καὶ ἡ συκοφαντία. Διὸ καὶ ἐν τῷ Εὐαγγελίῳ καλεῖται ὁ διάβολος *πατὴρ τοῦ ψεύδους* (Ἰωαν. 8, 44). Ἐν δὲ τῇ Ἀποκαλύψει *διάβολος καὶ σατᾶνας* (12, 9 10). Ἡ θέλησις τῶν πονηρῶν πνευμάτων ἐστὶν ἐπίσης ἱκανῶς ἰσχυρά. Διὸ καὶ ὁ Ἀπόστολος Πέτρος παραβάλλει τὸν διάβολον πρὸς *λέοντα ὠρυόμενον καὶ ζητοῦντά τινα καταπίῃ* (1 Πέτρ. 5 8). Ὁ δὲ Ἀπόστολος Παῦλος περιβάλλει τὸν Χριστιανὸν εἰς πάλην κατὰ τοῦ διαβόλου ἰδίαν πανοπλίαν (ἐφ. 6. 12—17), καὶ λέγει περὶ τῆς ἐλεύσεως τοῦ Ἀντιχρίστου, ὅτι αὕτη ἔσται κατ' ἐνέργειαν τοῦ *Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους* (2 Θεσσαλ. 2, 9). Ἐν τούτοις ἅπασα ἡ δύναμις τῶν πονηρῶν πνευμάτων ἐξαρτᾶται ἐκ τῆς παραχωρήσεως τοῦ Θεοῦ· ἄνευ δὲ ταύτης οὐκ ἠδύναντο οὐδὲ εἰς τὰ ἐλάχιστα ζῶα εἰσελθεῖν (Ματθ. 8, 31). Τὰ δὲ κυριώτερα χαρακτηριστικὰ τῶν πονηρῶν πνευμάτων εἰσὶ μῖσος πρὸς τὸν Θεὸν καὶ πρὸς πᾶν ἀγαθὸν, δολιότης καὶ κακία. Διὸ καὶ ὁ Ἀπόστολος καλεῖ αὐτοὺς πνεύματα πονηρίας (ἐφ. 6, 10—21).

§ 112. Ἡ *τύχη τῶν πονηρῶν πνευμάτων.*

Ἡ τύχη τῶν πονηρῶν πνευμάτων ἀντιστοιχεῖ πρὸς τὴν ἠθικὴν κατάστασιν αὐτῶν. Εὐθὺς ἐξ ἀρχῆς μετὰ τὴν πτῶσιν ἀπεβλήθησαν ὑπὸ τοῦ Θεοῦ καὶ κατέπεσον ἐκ τοῦ Οὐρανοῦ « *Ἐθεώρουν τὸν σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ Οὐρανοῦ πεσόντα* (Λουκ. 10, 18). Νῦν δὲ ἡ κατάστασις αὐτῶν ἐστὶν ἀθυμίας καὶ βασάνων· διασκεδάζουσι δὲ τὴν ἑαυτῶν θλῖψιν, ὄλεθρον τῷ κόσμῳ ἐνεργοῦντες (Ματθ. 8, 29, 12, 43). Πρὸς τούτοις ἐστὶ κατάστασις φόβου καὶ καταδίκης εἰς βασάνους (Ἰακ. 2,

19). Διὸ καὶ ὁ Ἀπόστολος Πέτρος λέγει, ὅτι ὁ Θεὸς σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν αὐτοὺς, εἰς κρίσιν τετηρημένους (2 Πετρ. 2, 4). Ἐν δὲ τῷ μέλλοντι ἀναμένει αὐτοὺς πῦρ αἰώνιον, ἐν ᾧ *βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων* (Ἀποκ. 20, 10. Ματθ. 25, 11). Τοιαύτης δὲ ὁλοσχεροῦς ἀπομακρύνσεως ἀπὸ τοῦ Θεοῦ, καὶ τοσούτων καὶ ἀπείρων βασάνων κατέστησαν ἄξια τὰ πονηρὰ πνεύματα, πρῶτον μὲν διὰ τὸ βαρὺ ἁμάρτημα, ὅπερ ἔπραξαν. Διότι καὶ πρῶτον ἦν, καὶ ὑπ' αὐτῶν τῶν ἰδίων ἐπινοηθὲν, καὶ ἁμάρτημα οὐχὶ ἀπειρίας καὶ ἀσθενείας σωματικῆς, ἀλλ' ἀσωμάτων καὶ ἐξόχων ἐπὶ τελειότητι πνευμάτων. Δεύτερον δὲ διὰ τὴν πολυχρόνιον καὶ ἐπίμονον διαμονὴν αὐτῶν ἐν τῷ κακῷ, δι' οὗ ἐγένοντο αἴτιοι ἀπείρου κακοῦ ἐν τῇ δημιουργίᾳ τοῦ Θεοῦ. Κυρίως δὲ διὰ τὸ ἀμετανόητον αὐτῶν, μηδέποτε ἐπανελθεῖν καὶ διορθωθῆναι δυνάμενοι.

§ 113. *Σχέσις πρὸς ἅπαν τὸ ἀνθρώπινον γένος.*

Τὰ πονηρὰ πνεύματα, κατὰ παραχώρησιν θείαν, ἔχουσι σχέσιν καὶ πρὸς τὸν ἡμέτερον κόσμον. Ἡ Ἱερὰ Γραφὴ ὀνομάζει μάλιστα τὸν διάβολον *ἄρχοντα τοῦ κόσμου* (Ἰωάν. 12, 31). Διότι *ἐνεργεῖ* αὐτογνωμόνως ὡς βασιλεὺς, ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας (Ἐφ. 2, 2). Ὁ δὲ Ἀπόστολος μαρτυρεῖ, ὅτι ὁ τόπος τῆς παρούσης διαμονῆς τῶν κακῶν πνευμάτων, ἐστὶν ὁ ἀὴρ ὁ περιβάλλων τὸν πλανήτην ἡμῶν, καλῶν τὸν ἄρχοντα αὐτῶν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος (Ἐφ. 2, 2). Ἡ δὲ ἐνέργεια αὐτῶν ἐν τῷ κόσμῳ ἐστὶ τὰ μάλιστα ἐπιζήμιος καὶ ὀλεθρία. Διότι ἔχοντα ἄσπονδον μῖσος κατὰ τοῦ Θεοῦ καὶ φθονοῦντα τῷ ἀνθρώπῳ, ὅστις ἔλαβε παρὰ Θεοῦ τοιαύτας τελειότητας καὶ προωρίσθη εἰς αἰωνίαν μακαριότητα, πάντα ποιοῦσιν, ὅπως βλάψωσι καὶ καταστρέψωσι τὸ ἀνθρώπινον γένος, ἰδίως δὲ καταπολεμοῦσι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Διὸ

καὶ ἡ Ἱστορία τῆς Ἐκκλησίας ἐστὶ πλήρης παραδειγμάτων τοιούτων. Ἐν τῷ παραδείσῳ δὲ αὐτῷ ἤδη ἄρχεται πειράζων τὸν ἄνθρωπον ὁ διάβολος, καὶ μετὰ τοῦτο ἐγένετο κύριος τοῦ πλείστου τῶν ἀνθρώπων διὰ τῆς εἰδωλολατρείας, καὶ παντὶ σθένει ἔβλαπτε τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, τὴν σωζομένην ἐν τοῖς ἀπογόνοις τοῦ Ἀβραάμ. Ἐν δὲ τῇ Χριστιανικῇ Ἐκκλησίᾳ ἔσπειρεν οὗτος, κατὰ τοὺς λόγους τοῦ Σωτῆρος, πάντα τὰ φθοροποιὰ ζιζάνια (Ματθ. 13, 39). Ἐγένετο αἴτιος πάντων τῶν δεινῶν διωγμῶν, αἱρέσεων καὶ σχισμάτων. Καταπολεμεῖ δὲ αὐτὴν καὶ νῦν καὶ μάλιστα ἐγερθήσεται κατ' αὐτῆς, ὡς Ἀντίχριστος, ἕως οὗ ὁ εὐλογημένος καρπὸς τῆς γυναικὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ καταβαλὼν ἤδη αὐτὸν διὰ τοῦ σταυροῦ, συντρίψῃ τέλος καὶ τὴν ἰοβόλον κεφαλὴν αὐτοῦ.

§ 114. *Σχέσις πρὸς ἕκαστον ἄνθρωπον ἰδίᾳ.*

Πολεμοῦντα πρὸς ἅπαν τὸ ἀνθρώπινον γένος τὰ πνεύματα τῆς πονηρίας, καταπολεμοῦσιν ἅμα ἕκαστον ἰδίᾳ.

Διότι κατὰ τὴν Ἱερὰν Γραφὴν, ἕκαστος ἄνθρωπος, μὴ φωτισθεὶς ὑπὸ τοῦ ἁγίου Βαπτίσματος, ὑπόκειται τῇ ἐξουσίᾳ τοῦ πονηροῦ πνεύματος (Ἐφ. 2, 2· 3, Κολοσ. 1, 13). Διὸ καὶ ἡ Ἁγία Ἐκκλησία, εἰσάγουσα τὸν ἄνθρωπον εἰς τὴν Χριστιανικὴν πίστιν διὰ τοῦ μυστηρίου τοῦ Βαπτίσματος, μεταχειρίζεται τοὺς γνωστοὺς ἐξορκισμοὺς κατὰ τοῦ διαβόλου καὶ δέεται περὶ ἀπελευθερώσεως τοῦ ἀνθρώπου ἐκ τῆς ἐξουσίας αὐτοῦ. Ἐν τούτοις καὶ μετὰ ταῦτα αἱ προσπάθειαι αὐτοῦ, ὅπως κατακρατήσῃ τοῦ ἀνθρώπου, οὐ παύονται. Κατὰ παραχώρησιν δὲ θείαν

α) Κυριεύει ἐνίοτε *τῆς σαρκός*. ὡς τοῦτο καταδείκνυται ἐκ πολλῶν παραδειγμάτων δαιμονιζομένων ἐν τῷ Εὐαγγελίῳ, ἅτινα ἐξεικονίζουσι τὴν τρομερὰν καὶ ἐλεεινὴν κατάστασιν τῶν ἀνθρώπων, τῶν κατεχομένων ὑπὸ τῶν πονηρῶν πνευμάτων· ἔστι δ' ἰδεῖν καὶ νῦν τοιαῦτα. Ἰδίως δὲ

6) Οὐδενὸς ἀνθρώπου ἡ ψυχὴ ἐλευθέρα τῶν κινδύνων τῶν ἐκ τῆς πλεκτάνης τοῦ διαβόλου, μέχρις οὗ ὁ ἄνθρωπος διὰ πολλῶν ἀγώνων καὶ τῇ Θείᾳ ἀντιλήψει ὑπερβάλῃ τὸν κίνδυνον. Διότι ὁ διάβολος πάντα ποιεῖ καὶ πάντοτε, ὅπως ἐλάψῃ ἡμᾶς, προτρέπων πρὸς τὸ κακὸν καὶ ἀποτρέπων τῶν ἀγαθῶν ἔργων. Ὠφελούμενος δ' ἐκ τῆς ἀδυναμίας ἡμῶν, ὁτὲ μὲν διεγείρει ἐν ἡμῖν κακοὺς διαλογισμούς, ὡς ἐνέβαλεν εἰς τὴν καρδίαν τοῦ Ἰούδα, ὅπως παραδῷ τὸν Ἰησοῦν Χριστὸν (Ἰωάν. 13,2,)· καὶ τὰ μνημονευόμενα παρὰ τῷ Ἀποστόλῳ Παύλῳ *πεπυρωμένα βέλη τοῦ πονηροῦ* (ἐφ. 6, 16), οὐδὲν ἕτερον ἢ προτροπὴ τοῦ διαβόλου εἰς τὸ κακόν εἰσιν. Ὁτὲ δὲ κωλύει τὰ ἀγαθὰ ἔργα. Οὕτω ὁ Ἀπόστολος Παῦλος λέγει, ὅτι ὁ σατατᾶς πολλάκις ἐκώλυεν αὐτὸν τοῦ ἀπελθεῖν εἰς τοὺς θεσσαλονικεῖς (Θεσσαλ. 2, 18). Ἄλλοτε δὲ ἀπομακρύνει καὶ αἴρει τὰ πρὸς σωτηρίαν· οἷον ὁ σπόρος ὁ σπαρεὶς παρὰ τῇ ὁδῷ, κατὰ τὴν ἐξήγησιν τοῦ Ἰησοῦ Χριστοῦ, σπείρεται παρὰ τοιούτοις, οἵτινες ἀκούουσι τὸν λόγον τοῦ Θεοῦ, ἀλλ' εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν (Λουκ. 8, 12). Διὰ τοῦτο ὁ Ἀπόστολος Παῦλος παραινεῖ, ὅπως εἰς τὴν πρὸς τὸν διάβολον πάλην ἐνδυσώμεθα τὴν πανοπλίαν τοῦ Θεοῦ (Ἐφ. 6, 12—18). Ἐν γένει δὲ ἡ ἁγία Ἐκκλησία διδάσκει, ὅτι πάντα τὰ ἁμαρτήματα ἔχουσιν ἐνεργοὺς πονηρὰ πνεύματα. Ἔστι π. χ. πνεῦμα κακίας, πνεῦμα φθόνου, πνεῦμα ἀκρασίας, πνεῦμα ἀθυμίας, πνεῦμα ἀλαζονίας κτλ. Καὶ ἐν τῇ διαφορᾷ ταύτῃ τῶν ἰδιωμάτων καὶ ἐνεργειῶν τῶν πνευμάτων τῆς κακίας, κατὰ τὸν προορισμὸν τοῦ ἄρχοντος αὐτῶν, συνίσταται ἡ δυσειδὴς τάξις τοῦ ζοφεροῦ βασιλείου τῶν δαιμόνων.

§ 115. *Περὶ τῆς κοινωνίας μετὰ τῶν πονηρῶν πνευμάτων, ἤτοι περὶ μαγείας.*

Ἐκ τῆς ἐννοίας περὶ τῶν ἰδιοτήτων καὶ τῆς φθοροποιᾶς πρὸς

ἡμᾶς σχέσεως τῶν πονηρῶν πνευμάτων καταφαίνεται, πόσον ἁμαρτάνουσιν, ὅσοι ζητοῦσι τὴν μετ' αὐτῶν κοινωνίαν διὰ τῆς οὕτω καλουμένης μαγείας ἢ γοητείας. Λόγη ἀπηγορεύετο αὐστηρότατα ἤδη ἐν αὐτῇ τῇ Παλαιᾷ Διαθήκῃ (Δευτ. 18, 10—12. Λευιτ. 20, 6. 27). Οἱ δὲ κανόνες τῆς Ἁγίας ἡμῶν ἐκκλησίας ἀφορίζουσιν ἀπὸ τῆς ἐκκλησίας τοὺς μάγους, ὡς αἱρετικούς (1).

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Διδασκαλία περὶ τοῦ ἀνθρώπου.

§ 116. *Συνάφεια μετὰ τῶν προηγουμένων*

Τὸ ἰδιαίτατον ἀντικείμενον τῆς Οἰκονομίας τοῦ Θεοῦ ἐστιν ὁ ἄνθρωπος, ἡ σφραγὶς τῆς δημιουργίας Αὐτοῦ. Διὰ τοῦτο μετὰ τὴν περὶ τοῦ φυσικοῦ καὶ πνευματικοῦ κόσμου διδασκαλίαν ἕπεται ἡ περὶ τοῦ ἀνθρώπου.

§ 117 *Διαίρεσις.*

Ἐν τῇ ἱστορίᾳ τοῦ ἀνθρώπου τρεῖς περίοδοι διακρίνονται, ὧν ἡ μὲν *πρώτη* ἄρχεται ἀπὸ τῆς δημιουργίας αὐτοῦ μέχρι τῆς πτώσεως· αὕτη δ' ἐστὶν ἡ *ἀρχικὴ* κατάστασις αὐτοῦ. Ἡ δὲ *δευτέρα* ἀπὸ τῆς ἐπανορθώσεως τοῦ πεπτωκότος ἀνθρώπου μέχρι τῆς τελευταίας τύχης αὐτοῦ· αὕτη δ' ἐστὶν ἡ ὑπὸ τὴν χάριν κατάστασις αὐτοῦ Ἡ δὲ τρίτη περιλαμβάνει τὴν τελευταίαν τύχην καὶ ἀποκάλυψιν τῆς *ἐνδόξου* καταστάσεως. Οὕτω δὲ τὸ τμῆμα τοῦτο περιέχει ἐν ἑαυτῷ τὰ ἑξῆς κεφάλαια.

---

(1) 6 ης Οἰκ. Συν. Καν. 61. Γρηγ. Νυσ. 3.

α) Περὶ τῆς ἀρχικῆς καταστάσεως τοῦ ἀνθρώπου.
β) Περὶ τῆς ὑπὸ τὴν χάριν καταστάσεως τοῦ ἀνθρώπου.
γ) Περὶ τῶν ἐσχάτων καὶ τῆς ἀποκαλύψεως τῆς ἐνδόξου καταστάσεως τοῦ ἀνθρώπου.

ΚΕΦΑΛΑΙΟΝ. Α'.

Διδασκαλία περὶ τῆς ἀρχικῆς καταστάσεως τοῦ ἀνθρώπου.

§118. *Ἀντικείμενα τῆς διδασκαλίας*

Ἐν τῇ διδασκαλίᾳ περὶ τῆς ἀρχικῆς καταστάσεως τοῦ ἀνθρώπου περιέχονται. 1) Ἡ καταγωγὴ καὶ ἡ φύσις τοῦ ἀνθρώπου. 2) Ἡ πρώτη Διαθήκη τοῦ θεοῦ μετὰ τοῦ ἀνθρώπου. 3) Ἡ πτῶσις τοῦ ἀνθρώπου. 4) Ἡ διαφθορὰ παντὸς τοῦ ἀνθρωπίνου γένους ἡ ἐκ τῆς πτώσεως τοῦ πρώτου ἀνθρώπου προελθοῦσα.

1) Περὶ τῆς γενέσεως καὶ τῆς φύσεως τοῦ ἀνθρώπου.

§119. *Ἡ γένεσις τοῦ ἀνθρώπου*

Τίνι τρόπῳ ὁ ἄνθρωπος κατ' ἀρχὰς προῆλθεν ἐκ τοῦ θεοῦ, τοῦτο ἀποκαλύπτει ἡμῖν ὁ Θεόπνευστος Μωϋσῆς ἐν τῷ πρώτῳ καὶ δευτέρῳ κεφαλαίῳ τῆς Γενέσεως. Καὶ δὴ α) μετὰ τὸ τέλος πάσης τῆς ἐπιγείου δημιουργίας γίνεται ἐν τῷ μυστηρίῳ τῆς Τρισυποστάτου οὐσίας τοῦ Θεοῦ συμβούλιον περὶ τῆς δημιουργίας τοῦ ἀνθρώπου. «Καὶ εἶπεν ὁ Θεὸς· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν» (Γεν. 1, 26). Τὸ συμβούλιον δὲ τοῦτο, ἅμα μὲν δείκνυσι τὴν μεγάλην ὑπε-

ροχὴν τοῦ ἀνθρώπου ὑπὲρ πάντα τὰ κτίσματα καὶ τὸν ἴδιον αὐτοῦ προορισμόν· ἅμα δὲ περιλαμβάνει πᾶσαν τὴν Οἰκονομίαν περὶ παρούσης τε καὶ μελούσης, προσκαίρου τε καὶ αἰωνίου τύχης.

β) Κατὰ συνέπειαν τοῦ συμβουλίου τούτου ὁ Θεὸς ποιεῖ τὸν ἄνθρωπον, οὐχὶ ὡς τὰ ἄλλα κτίσματα, λόγῳ μόνῳ καὶ μιᾷ ἐνεργείᾳ τῆς παντοδυναμίας αὐτοῦ, ἀλλὰ κατά τινα ἰδίαν τάξιν καὶ ἐνέργειαν. Καὶ δὴ Αὐτὸς λαμβάνει χοῦν ἐκ τῆς γῆς καὶ ἐξ αὐτοῦ πλάττει τὸ σῶμα τοῦ ἀνθρώπου « καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, λαβὼν χοῦν ἐκ τῆς γῆς.» Εἶτα δὲ εἰς τὸ οὕτω προπαρασκευασθὲν σῶμα εἰσάγει τὴν ψυχὴν οὐχὶ δι' ἁπλῆς μόνον προσταγῆς γενηθήτω, ἀλλ' Αὐτὸς ἐμφυσᾷ αὐτήν· «καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν» (Γεν. 2, 7).

γ) Παρελθόντος χρόνου τινὸς μετὰ τὴν δημιουργίαν τοῦ ἀνθρώπου ὁ Θεὸς δίδωσιν αὐτῷ βοηθὸν, τὴν γυναῖκα, πλάσας τὸ σῶμα αὐτῆς, εἰς ἀπόδειξιν τῆς ἑνότητος αὐτῆς μετὰ τοῦ ἀνδρὸς, ἐκ τῆς πλευρᾶς αὐτοῦ. « Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. Καὶ ἐπέβαλε Κύριος ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. Καὶ ᾠκοδόμησε Κύριος ὁ θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ, εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδὰμ» (Γεν. 2, 20— 23).

δ) Τὰ ὀνόματα τῶν πρώτων ἀνθρώπων ἦσαν *Ἀδὰμ* καὶ *Εὔα*. Τὸ πρῶτον ἀναμιμνήσκει τὴν καταγωγὴν τοῦ σώματος τοῦ ἀνθρώπου *ἐκ τῆς γῆς*· τὸ δεύτερον σημαίνει *μητέρα πάντων τῶν ζώντων* (Γεν. 3, 20). Ἡ διήγησις δ' αὕτη τοῦ Μωϋσέως, ἢ μηδόλως ἀλληγορικὴ ἢ μεταφορικὴ ἀλλὰ καθαρῶς ἱστορικὴ, στηρίζεται καὶ ἐπ' ἄλλων χωρίων τῆς Γραφῆς. Καὶ δὴ ὁ Ἰησοῦς Χριστὸς λέγει « ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεὸς (Μάρκ. 10, 6). Ὁ δὲ Ἀπόστολος λέγει, «ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς » (1 Κορ. 15, 47).

«Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα (1 Τιμ. 2, 13).

§120. *Τὰ συστατικὰ τῆς ἀνθρωπίνης φύσεως μέρη.*

Ἐκ τῆς διηγήσεως τοῦ Μωϋσέως περὶ τοῦ τρόπου τῆς δημιουργίας τοῦ ἀνθρώπου καταφαίνεται, ὅτι ὁ ἄνθρωπος συνίσταται ἐκ δύω μερῶν. Τὸ πρῶτον δημιουργηθέν ἐστιν τὸ ὀργανικὸν *σῶμα* δι' οὗ συνδέεται ὁ ἄνθρωπος τῇ γῇ καὶ τῷ ὑλικῷ κόσμῳ. Τὸ σῶμά ἐστιν οὐσιῶδες μέρος τοῦ ἀνθρώπου· διότι ἄνευ αὐτοῦ ἡ ψυχὴ οὐκ ἠδύνατο ζῆν καὶ ἐνεργεῖν ἐν τῷ ὁρατῷ τούτῳ κόσμῳ, καὶ μετὰ τὸν ἀπ' αὐτοῦ ἀποχωρισμὸν ὁ ἄνθρωπος οὐκ ἔστιν τελεία οὐσία· διὸ καὶ ἐν τῇ μελούσῃ ζωῇ ἡμεῖς πάντες αὖθις καὶ διὰ παντὸς ληψόμεθα τὰ σώματα ἡμῶν. Τὸ δεύτερον μέρος, τὸ δημιουργηθὲν ὑπὸ τοῦ Ποιητοῦ, ἐστὶν *ἡ ψυχὴ*, δι' ἧς ὁ ἄνθρωπος συνδέεται τῷ πνευματικῷ κόσμῳ. Τὴν διττὴν δὲ ταύτην σύστασιν τοῦ ἀνθρώπου δείκνυσιν ἡ Ἁγία Γραφὴ καὶ ἀλλαχοῦ· καὶ δὴ ὁ Ἐκκλησιαστὴς μαρτυρεῖ «Καὶ ἐπιστρέψει ὁ χοῦς ἐπὶ τὴν γῆν, ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέψει πρὸς τὸν Θεὸν, ὃς ἔδωκεν αὐτὸ (12, 7). Ὁ Ἰησοῦς Χριστὸς ὡσαύτως λέγει· «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι» (Ματθ. 10, 28). Ὅ,τι δ' ἀφορᾷ τὸν νοῦν, εἴτε τὸ πνεῦμα, ὅπερ βασιζόμενοι τινες ἐπί τινων χωρίων τῆς Γραφῆς (1 Θεσσαλ. 5, 23. Ἑβρ. 4, 12), νομίζουσι τρίτον συστατικὸν μέρος, τοῦτο κατὰ τοὺς λόγους τοῦ Ἁγίου Δαμασκηνοῦ· «Οὐχ ἕτερον ἔχει παρ' ἑαυτῇ ἡ ψυχὴ τὸν νοῦν, ἀλλὰ μέρος αὐτῆς τὸ καθαρώτατον· ὥσπερ γὰρ ὀφθαλμὸς ἐν σώματι, οὕτως ἐν ψυχῇ νοῦς» (1)

§121. *Ἡ Τελειότης τῆς ἀνθρωπίνης φύσεως.*

Δημιουργηθεὶς ὁ ἄνθρωπος κατ' ἰδίαν βουλὴν τοῦ Θεοῦ καὶ

(1) Ἔκθ. πίστ. βίβλ. Β'. κφ. 16.

ἐνέργειαν, μετὰ τὸ τέλος τῆς δημιουργίας καὶ ὡς σφραγὶς αὐτῆς, ἔλαβε καὶ ἰδίας καὶ ἀνωτέρας τελειότητας. α) Ἐν ὅλῃ τῇ συστάσει αὐτοῦ παρίστησιν οὗτος θαυμάσιον καὶ ἐπ' ἄκρον σοφὸν συνδυασμὸν δύω φύσεων, πνευματικῆς τε καὶ ὑλικῆς ἐπιγείου καὶ οὐρανίου, προσκαίρου καὶ ἀθανάτου, καί ἐστι κρίκος δύω ἑτερογενῶν κόσμων ὁρατοῦτε καὶ ἀοράτου. β) Ἐν τῷ σώματι αὐτοῦ, τῷ πλασθέντι ἐκ τῆς γῆς ἀμέσως ὑπ' αὐτοῦ τοῦ Θεοῦ, συνεκεντρώθη πᾶν ὅ,τι κάλλιστον καὶ τελειότατον ἐν τῇ φύσει, ὥστε ὄντως μικρὸς κόσμος ἐστὶν ἐν τῷ μεγάλῳ κόσμῳ τοῦ Θεοῦ. Ἔλαβε δὲ καλὸν, ὄρθιον πρὸς οὐρανὸν ἀποβλέπον καὶ ἱκανώτατον πρὸς τὰς ἐνεργείας τῆς ψυχῆς σῶμα, ὥστε καὶ αὐτὸς ὁ Λόγος τοῦ Θεοῦ ηὐδόκησεν, ὅπως ἀναλάβῃ τὸ ἀνθρώπινον σῶμα, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐπαναπαύεται ἐν αὐτῷ ὡς ἐν θεοπρεπεῖ ναῷ. Ἰδίως δὲ γ) ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐκοσμήθη ὑψηλαῖς τελειότησιν. Διότι ἐποιήθη διὰ θείας πνοῆς ὅπερ σημαίνει ἰδίαν τινὰ συγγένειαν τῇ οὐσίᾳ τοῦ Θεοῦ, καί τινα ἴδιον ἄμεσον τρόπον καταγωγῆς ἐκ τοῦ Θεοῦ. Ἔχει ἐξόχους δυνάμεις· νοῦν, δι' οὗ αὕτη γινώσκει ἑαυτὴν, γινώσκει τὸν Ποιητὴν καὶ πᾶν τὸ δημιουργηθέν. *Ἐλευθέραν θέλησιν*, δι' ἧς ὁ ἄνθρωπος ὁρίζει αὐτὸς τὴν ἑαυτοῦ ἐνέργειαν μὴ ὑποκειμένην οὐδεμιᾷ ἐξωτερικῇ ἀνάγκῃ (Σιρὰχ 15, 14-20 Ἔχει καρδίαν ἱκανὴν, ὅπως ἀγαπᾷ τὸν Δημιουργὸν αὐτῆς καὶ εὑρίσκῃ ἐν Αὐτῷ τὴν ἰδίαν μακαριότητα. Ἐν τούτοις τὴν πρωτόγονον τελειότητα τῆς ψυχῆς παντὸς καθαρώτερον ἀποκαλύπτει ἡμῖν ἡ Ἁγία Γραφὴ, διδάσκουσα, ὅτι αὕτη ἐπλάσθη κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ. «Καὶ εἶπεν ὁ Θεὸς· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν (Γεν. 1, 26).

§ 122. *Ἡ Εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ ἐν τῷ ἀνθρώπῳ.*

Ἡ εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ, ὡς κυριωτέρα καὶ ὑψηλό-

λοτέρα τελειότης τοῦ πρωτοπλάστου ἀνθρώπου, κατὰ τὴν ἐξήγησιν τῶν Ἁγίων Πατέρων τῆς Ἐκκλησίας, διακρίνονται ἀλλήλων τούτῳ, ὅτι ὑπὸ μὲν τὴν εἰκόνα νοοῦνται τὰ ἰδιώματα καὶ πλενονεκτήματα τῆς ψυχῆς τοῦ ἀνθρώπου, τὰ δωρηθέντα αὐτῷ κατ' αὐτὴν τὴν δημιουργίαν, καὶ ἀποτελοῦντα τὴν οὐσίαν τῆς πνευματικῆς αὐτοῦ φύσεως, οἷα εἰσὶ· τὸ πνευματικὸν ὡς εἰκὼν τῆς τελειοτάτης ἁπλότητος τῆς οὐσίας τοῦ Θεοῦ· ἡ ἐλευθερία· ὡς εἰκὼν τῆς ἀπείρου ἐλευθερίας καὶ ἀνεξαρτησίας τῆς θελήσεως τοῦ Θεοῦ· ἡ ἀθανασία, ὡς εἰκὼν τῆς αἰωνιότητος τοῦ Θεοῦ· ἡ θέλησις, ἱκανὴ ὅπως ἀγαπᾷ τὸ ἀγαθὸν καὶ ᾖ ἁγία, ὡς εἰκὼν τοῦ Θεοῦ; ὅστις ἐστὶν ἡ ὑψίστη ἀγάπη καὶ ἁγιότης· τὸ δῶρον τοῦ λόγου, ὡς εἰκὼν τοῦ Λόγου τοῦ Θεοῦ. Ὑπὸ δὲ τὴν ὁμοίωσιν τοῦ Θεοῦ σημαίνεται ἡ κατάστασις τούτων, τῶν δωρηθέντων ἐν τῇ δημιουργίᾳ πλεονεκτημάτων ἡ θεοπρεπὴς καὶ πρὸς Θεὸν ἀποβλέπουσα. Ταῦτα δ' εἰσὶν ἡ εὐθύτης τοῦ νοὸς τὸ ἄμωμον καὶ ἡ ἁγιότης τῆς θελήσεως, ἡ καθαρότης τῆς καρδίας, καὶ λοιπαὶ ἀρεταὶ καὶ ἠθικαὶ τελειότητες, ἃς διδάσκει ὁ Ἅγιος Ἀπόστολος Παῦλος, εὐχόμενος τοῖς Ἐφεσίοις *ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας* (Ἐφ. 4, 24). Ταῦτα δὲ δωρηθέντα τῷ πρωτοπλάστῳ κατὰ τὴν δημιουργίαν ἐξηρτῶντο ἅμα καὶ ἐκ τῆς θελήσεως καὶ ἐνεργείας « τὸ μὲν γὰρ κατ' εἰκόνα τὸ νοερὸν δηλοῖ καὶ αὐτεξούσιον, ὡς λέγει ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνός, τὸ δὲ καθ' ὁμοίωσιν τὴν τῆς ἀρετῆς κατὰ τὸ δυνατὸν ὁμοίωσιν.» « Τὸ εἶναι κατ' εἰκόνα τοῦ Θεοῦ λέγει ὁ Ἅγιος Γρηγόριος ὁ Νύσσης; ἴδιον ἐστὶν ἡμῖν κατὰ τὴν πρώτην ἡμῶν δημιουργίαν. Τὸ δὲ εἶναι καθ' ὁμοίωσιν τοῦ Θεοῦ ἐξαρτᾶται ἐκ τῆς ἡμετέρας θελήσεως... καὶ ὑπάρχει ἐν ὑμῖν μόνον κατὰ τὸ δυνατὸν, ἀποκτᾶται δὲ διὰ τῆς ἐνεργείας» (1).

(1) Ἐκθ. πίστ. βιβλ. Β'. κεφ. 12. Γρηγ. Νύσ. ὁμιλ. εἰς Γέν. 1, 26. ἴδε καὶ Ἱερών. Ezech. 28. καὶ August. contra Adimant. c. 8. Eycher lib. 1 in Gen.

§ 123. Ἡ καταγωγὴ τοῦ ἀνθρωπίνου γένους.

Ἀπὸ τοῦ πρωτοπλάστου ζεύγους ἔχει τὴν ἀρχὴν ἅπαν τὸ ἀνθρώπινον γένος. Τοῦτο δὲ φαίνεται ἐκ τῶν ἑξῆς·

α) Ὁ Θεὸς, ποιήσας ἄρσεν καὶ θῆλυ, ἔδωκεν αὐτοῖς τὴν εὐλογίαν πρὸς πληθυσμὸν τοῦ γένους αὐτῶν. « Καὶ ηὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν » » (Γεν. 1, 27. 28).

β) Ὁ Μωϋσῆς λέγει ῥητῶς ὅτι πλὴν τοῦ Ἀδὰμ ἄνθρωπος οὐχ ὑπῆρχεν ἐπὶ τῆς γῆς· οὐ γὰρ ἐβρεξεν, Κύριος ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν (Γεν. 2,5)

γ) Τὸ αὐτὸ δε ἱκνυσι καὶ αὐτὴ ἡ ὀνομασία τῆς γυναικὸς μητρὸς πάντων τῶν ζώντων «Καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ, Ζωὴ, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων (Γεν. 3, 20).

δ) Ἡ Γενεαλογία ἡ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τῆς Γενέσεως, ἡ ἐν μέρει ἐπικυρουμένη ὑπὸ τῆς βίβλου τῶν Παραλειπομένων καὶ τοῦ Εὐαγγελίου τοῦ Λουκᾶ (1 Παραλ. 1, Λουκ. 3, 13-28) ἀνάγει κατ' εὐθεῖαν πάντας τοὺς λαοὺς εἰς μίαν ῥίζαν τὸν Ἀδὰμ καὶ Εὔαν (ἴδε καὶ Τωβ. 8, 6. Σοφ. 10, 1).

ε) Ἀλλ' ἰδίως ἐπικυροῖ τὴν σπουδαίαν ταύτην ἀλήθειαν ὁ Ἅγιος Ἀπόστολος Παῦλος, λέγων· « ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς (Πράξ. 17, 26).

§ 124. Ἡ καταγωγὴ ἑκάστου ἀνθρώπου ἰδίᾳ.

Ἐν τούτοις καὶ περ καταγόμενον τὸ ἀνθρώπινον γένος ἐκ τοῦ πρώτου ζεύγους, οὐχ ἧττον ὅμως ἐστὶ πλάσμα τοῦ Θεοῦ, καὶ ὁ Θεὸς, ὁ ἀμέσως πλάσας τοὺς πρώτους ἀνθρώπους, ἐστὶν ἅμα Ποιητὴς καὶ πάντων τῶν ἀπογόνων αὐτῶν, ἄγων εἰς φῶς ἕκαστον ἄνθρωπον διὰ τῶν γεννητόρων. Ποιεῖ δὲ

α) *Τὸ σῶμα.* Διότι εἰ καὶ ὁ ἄνθρωπος συλλαμβάνεται καὶ γεννᾶται ὑπὸ τῶν γονέων, ἀλλὰ τοῦτο οὐδέν ἕτερον ἐστὶν εἰ μὴ συνέπεια τῆς εὐλογίας τοῦ Θεοῦ, τῆς κατὰ τὴν σαφῆ μαρτυρίαν τοῦ Μωϋσέως τοῖς πρωτοπλάστοις δωρηθείσης καὶ ἐπαλαμβανομένης ἀκαταπαύστως ἐι τοῖς ἀπογόνοις αὐτῶν. Καὶ ἀλλαχοῦ δὲ τῆς Ἱερᾶς Γραφῆς λέγεται ῥητῶς. «Αἱ χεῖρες Σου ἐποίησάν με, καὶ ἔπλασάν με (ψαλ. 118, 73. Ἰωβ. 10, 8). Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ Σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ (ψαλ, 138, 15). Ἰδίως δὲ ὁ θεὸς ποιεῖ β) τὴν *ψυχήν*· διότι ὁ Ἐκκλησιαστὴς λέγει. Τὸ πνεῦμα ἐπιστρέφει πρὸς τὸν Θεὸν, ὃς ἔδωκεν αὐτὸ (12, 7). Ὁ δὲ Προφήτης Ἡσαΐας ὡσαύτως μαρτυρεῖ ὅτι ὁ Θεὸς δίδωσι πνοὴν τῷ λαῷ ἐπ' αὐτῆς (τῆς γῆς), καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτὴν (42, 5). Καὶ αὐτὸς ὁ Θεὸς λέγει δι' αὐτοῦ «πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα (57, 16). Καὶ ὁ Προφήτης Ζαχαρίας λέγει «Κύριος, ἐκτείνων οὐρανὸν, καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ (12, 1). Ὁ Ἀπόστολος Παῦλος ἐπίσης καλεῖ τὸν Θεὸν *Πατέρα τῶν Πνευμάτων* (Ἑβρ. 12, 9).

2) Περὶ τῆς πρώτης διαθήκης τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου.

§ 125. *Σκοπὸς καὶ περιορισμὸς τοῦ πρωτοπλάστου.*

Ποιήσας οὕτω τὸν ἄνθρωπον, καὶ προικήσας αὐτὸν τοιούτοις δώροις ὁ Θεὸς, ἔδειξεν αὐτῷ ὑψηλὸν σκοπὸν καὶ προορισμόν. Τοῦτο δ' ἐστίν

α) Ἡ ἀνύψωσις τῆς πνευματικῆς αὐτοῦ φύσεως εἰς ὑψηλότερον βαθμὸν τελειότητος διὰ τῆς βαθμηδὸν ἀναπτύξεως καὶ μορφώσεως τῶν δυνάμεων τῆς ψυχῆς, μέχρις οὗ δι' ἐνεργοῦς

προσεγγίσεως τῷ Θεῷ τῷ ἑαυτῆς ἀρχετύπῳ, κατορθώσῃ πλῆρες, κατὰ τὸ δυνατὸν, μέτρον ὁμοιώσεως καὶ στενώτατον δεσμὸν μετὰ τοῦ Θεοῦ, εἴτε κοινωνίαν τῆς θείας οὐσίας. Τοῦτο δ' ἀδιστάκτως ἀποκαλύπτεται ἐκ τούτου, ὅτι ἡ ἁγία πίστις ἡμῶν, ἥτις σκοπεῖ τὴν ἐπάνοδον τοῦ ἀνθρώπου εἰς τὴν πρωτόγονον κατάστασιν, μάλιστα δὲ τὴν ἄνοδον αὐτοῦ μέχρι τοῦ τελικοῦ σκοποῦ, πρὸς ὃν ἐδημιουργήθη καὶ ἐξ οὗ ἀπέκλινε διὰ τῆς πτώσεως, ἀπαιτεῖ «Γίνεσθε Ἅγιοι, ὅτι ἐγὼ, (τουτέστιν ὁ Θεὸς) *Ἅγιός εἰμι* (1 Πέτρ. 1, 16). Ἔστεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι (Ματθ. 5, 48). Καὶ ὁ Ἅγιος Ἀπόστολος Πέτρος λέγει· «δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως» (2 Πετρ. 1, 4). Πρὸς δὲ τούτοις καὶ αὐτῇ τῇ σωματικῇ φύσει τοῦ ἀνθρώπου ὥρισται, ὅπως βαθμηδὸν μεταμορφουμένη καὶ τελειουμένη, ἐκ χοϊκῆς ἐπιδῷ εἰς σῶμα *πνευματικὸν καὶ οὐράνιον* (1 Κορ. 15, 44-49).

β) Κατὰ τὸ μέτρον τῆς ἐπιδόσεως ταύτης ἔμελλε κατορθοῦσθαι καὶ ὁ ἕτερος σκοπὸς ἡ μακαριότης τοῦ ἀνθρώπου ἀποτέλεσμα οὖσα τοῦ προτέρου. Διότι, ἐπειδὴ ὁ Θεὸς ἡ ἄπειρος καὶ ἀνεξάντλητος πηγὴ παντὸς ἀγαθοῦ ἐστιν, ἄρα ἡ πρὸς αὐτὸν ἐξομοίωσις καὶ κοινωνία τῆς φύσεως αὐτοῦ συνεπάγει ἀναγκαίως καὶ τὸ αἴσθημα τῆς ὑψίστης μακαριότητος.

γ) Ἀλλ' ἐπειδὴ ὁ Κύριος *τὰ πάντα δι' ἑαυτὸν ἐποίησεν*, ὁ τελικὸς σκοπὸς ἄρα τῆς πλάσεως τοῦ ἀνθρώπου ἔνεστιν αὐτῷ τῷ Θεῷ. Τοῦτο ἐστὶν ἡ δόξα τοῦ Θεοῦ, ἥτις ἐκφραζομένη ἐπὶ τῆς γῆς ἐν τῇ ἀλόγῳ κτίσει τῇ ἄνευ συνειδήσεως ἔμελλεν ἐκφράζεσθαι ἐν τῷ ἀνθρώπῳ τῷ λογικῷ ἐν συνειδήσει καὶ ἐλευθέρως. Τοῦτο δὲ βεβαιοῖ καὶ ἡ Ἁγία Γραφὴ, λέγουσα «ὁ Θεὸς ἐκ σκότους ἡμᾶς ἐκάλεσεν εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, ὅπως ἐξαγγείλωμεν τὰς ἀρετὰς Αὐτοῦ» (1 Πέτρ. 2, 9). Καὶ ὁ Ἰησοῦς Χριστὸς ἐντέλλεται τοῖς μαθηταῖς αὐτοῦ. «Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν

τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς» (Ματθ. 5, 16). Διὸ καὶ ὁ Ἀπόστολος παραινεῖ τοῖς Χριστιανοῖς, ὅπως τὰ πάντα πράττωσιν εἰς δόξαν Θεοῦ. «Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε (1 Κορ. 10, 31).

§ 126. *Ἡ πρώτη Διαθήκη τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου.*

Ὡς πλάσμα ὁ ἄνθρωπος ἐξηρτᾶτο ἀναγκαίως ἐκ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο καὶ ὤφειλεν, ὅπως κατορθώσῃ τὸν ἴδιον σκοπόν. Ἀλλ' ἐπειδὴ ἔλαβε τὸ δῶρον τῆς ἐλευθερίας, διὰ τοῦτο ὁ Θεὸς, ἄγει αὐτὸν πρὸς τὸν σκοπὸν κατ' ἰδιαίτερον τρόπον. Ἤτοι μετ' αὐτοῦ καὶ ἐν αὐτῷ οἰκοδομεῖ τὸ βασίλειον αὐτοῦ, τουτέστι τὴν πρωτόγονον Ἐκκλησίαν ἐπὶ τῆς γῆς, θεὶς θεμέλιον τὴν διαθήκην μετὰ τοῦ ἀνθρώπου· Ἡ πρωτόγονος δ' αὕτη διαθήκη ἦν ἀμοιβαία συνθήκη τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου, καθ' ἣν ὁ μὲν Θεὸς παρέσχε τῷ ἀνθρώπῳ δικαιώματα, καὶ πλεονεκτήματα ἄλλα παρὰ τὰ δωρηθέντα αὐτῷ κατὰ τὴν πλάσιν, ὁ δὲ ἄνθρωπος ὑποχρεοῦται, ὅπως δεχόμενος ταῦτα μετ' εὐγνωμοσύνης, ἀποδείξῃ τῷ πλάστῃ αὐτοῦ ἀγάπην καὶ ὑπακοήν.

§ 127. *Ἡ χάρις τοῦ Θεοῦ τῷ ἀνθρώπῳ.*

Ὁ Θεὸς διὰ τὴν πρὸς τὸν ἄνθρωπον διαθήκην α) εἰσάγει αὐτὸν εἰς τὸν παράδεισον τῆς τρυφῆς, ἤτοι κάλλιστον κῆπον, φυτευθέντα κατ' ἰδίαν ἐνέργειαν τοῦ Θεοῦ καὶ βρίθοντα παντὸς εἴδους καρπίμων δένδρων. «Καὶ ἐφύτευσε Κύριος ὁ Θεὸς παράδεισον ἐν Ἐδέμ, κατὰ Ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς» (Γεν. 2, 8. 15).

β) Ἐν δὲ τῷ παραδείσῳ μεταξὺ ἄλλων δένδρων δίδωσιν αὐτῷ καὶ δένδρον ἰδίας φύσεως. «Καὶ τὸ ξύλον τῆς ζωῆς ἐν

μέσῳ τῷ παραδείσῳ » ὅπερ ἦν προωρισμένον πρὸς διατήρησιν τῆς ἀνθρωπίνης ζωῆς, ὅπως καρπούμενος ὁ ἄνθρωπος ἐξ αὐτοῦ ἔχῃ ὑγείαν καὶ ἰσχὺν σώματος, μὴ καταβαλλομένου ὑπὸ νόσων καὶ παρακμῆς τῆς ἡλικίας.

γ) Ἀνατίθησιν αὐτῷ τὴν ἐπὶ τῆς γῆς κυριαρχίαν, ὡς ἐξωτερικὸν σημεῖον τῆς ἐν αὐτῷ εἰκόνος αὐτοῦ Ἡ κυριαρχία δ' αὕτη συνίστατο, ἔνθεν μὲν ἐν τῷ δικαιώματι, ὅπως ἀπολαύῃ πάντων τῶν πρὸς διατήρησιν τῆς ζωῆς, καὶ πάσης ἀθώας ἡδονῆς. « Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ » (Γεν. 2, 16). ἔνθεν δὲ ἐν τῇ δυνάμει καὶ ἐξουσίᾳ, ἵνα ὑποτάσσῃ τὰ ζῶα ἑαυτῷ ἄνευ τινὸς φόβου, βλάβης καὶ κινδύνου ζωῆς, ἀλλὰ διὰ μόνου τοῦ λόγου, διὸ καὶ ὁ Ἀδὰμ κατὰ διαταγὴν θείαν δίδωσιν ὀνόματα πᾶσι τοῖς κτήνεσι. « Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς Θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ Οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ Οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ » (Γεν. 1, 26. 2, 20).

δ) Ὁ Θεὸς ὑπόσχεται τῷ ἀνθρώπῳ ἀθανασίαν ψυχῆς τε καὶ σώματος, ἐὰν πιστῶς τηρήσῃ τὴν διαθήκην. Ὅτι δὲ ὁ πρωτόπλαστος εἶχε τὸ δῶρον τῆς ἀθανασίας, τοῦτο δῆλον ἐκ τούτου, ὅτι ὁ Θεὸς ἀπειλεῖ ῥητῶς θάνατον διὰ τὴν παράβασιν τῆς ἐντολῆς (Γεν. 2, 17). Καὶ ὁ Σοφὸς λέγει, « ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, ἀλλ' ἔκτισεν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ » (Σοφ. 1, 13. 2, 23). Καὶ ὁ Ἀπόστολος Παῦλος καλεῖ ῥητῶς τὸν θάνατον *ὀψώνιον* τῆς *ἁμαρτίας* καὶ ἀποτέλεσμα ταύτης. « Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος » (Ρωμ. 5, 17. 6, 23). Φανερὸν δ' ἐχέγγυον τῆς ἀθανασίας ἦν αὐτῷ τὸ ξύλον τῆς ζωῆς.

ε) Τέλος τὸ μέγιστον ἀγαθὸν, οὗπερ ἀπήλαυεν ὁ πρῶτος ἄνθρωπος ἐν τῷ παραδείσῳ ἦν ἡ στενωτάτη κοινωνία μετὰ

τοῦ Θεοῦ, ἐν ᾗ ὁ Θεὸς ἐκοινώνει αὐτῷ τῆς ἑαυτοῦ παντουργοῦ ἰσχύος πρὸς διατήρησιν καὶ ἐπαύξησιν τῆς πνευματικῆς αὐτοῦ ζωῆς, καὶ συνεργείας ταῖς φυσικαῖς δυνάμεσιν αὐτοῦ πρὸς ἐπίτευξιν τῆς ὑψίστης τελειότητος, πρὸς ἣν αὗται εἰσὶ προωρισμέναι· ὥστε ἡ πρωτόγονος κατάστασις τοῦ ἀνθρώπου, ἦν οὐ μόνον καθαρὰ καὶ ἀβλαβής, ἀλλὰ καὶ κεχαριτωμένη. Τοῦτο δ' ἀπήτει καὶ ἡ ἀγαθότης καὶ σοφία τοῦ Θεοῦ, ὅπως ἀσφαλὴς ᾖ ὁ ἄνθρωπος ἐν τῷ πνευματικῷ βίῳ, καὶ ἡ βίβλος τῆς Γενέσεως ῥητῶς ἀποκαλύπτει τοῦτο. Διότι βλέπομεν, ὅτι ὁ Θεὸς περιπατεῖ ἐν τῷ παραδείσῳ καὶ οἰκειότατα, ὡς πατὴρ μετὰ τῶν τέκνων, διδάσκαλος μετὰ τῶν μαθητῶν, συναναστρέφεται τοῖς πρώτοις ἀνθρώποις, φωτίζων τὸν νοῦν αὐτῶν καὶ στηρίζων τὴν θέλησιν αὐτῶν ἐν τῷ ἀγαθῷ (Γεν. 1, 28. 2, 15—17. 19. 22 ἴδε καὶ Σιρ. 17, 1—13).

§ 128. *Ἡ δοθεῖσα ἐντολὴ τῷ πρώτῳ ἀνθρώπῳ.*

Ἵνα δὲ καὶ ὁ ἄνθρωπος, λαβὼν παρὰ Θεοῦ τοσαῦτα δῶρα, ἀποδείξῃ τὴν πιστὸν ἑαυτὸν τῇ διαθήκῃ καὶ ἔχῃ καὶ μέσον πρὸς ἄσκησιν καὶ τελείωσιν τῆς ἐλευθερίας καὶ ἐντελῆ παγίωσιν ταύτης ἐν τῷ ἀγαθῷ, ἦν ἀναγκαῖος νόμος τις σύμφωνος τῇ διττῇ φύσει τοῦ ἀνθρώπου, τῇ τε αἰσθητῇ καὶ πνευματικῇ. Πρὸς τοῦτο δ' ἦν ἐν τῷ παραδείσῳ τὸ *ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρόν*, καὶ ὁ Θεὸς ἔδωκεν ἐντολήν, ὅπως μὴ φάγωσιν ἀπὸ τῶν καρπῶν αὐτοῦ. « Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε » (Γεν. 2, 17). Ὠνομάσθη δὲ τὸ ξύλον τοῦτο οὕτως οὐχὶ διότι αὐτὸ παρεῖχε γνῶσιν καὶ ἀνύψου τὸν νοῦν· διότι ἡ πεῖρα ἀπέδειξε τὸ ἐναντίον· ἀλλὰ διότι, παρεῖχε τῷ ἀνθρώπῳ εὐκαιρίαν, ὅπως δείξῃ ἑαυτὸν ἀγαθὸν ἢ κακόν, καὶ ἡ γεῦσις τῶν καρπῶν τοῦ δένδρου τούτου ἐδίδαξεν αὐτὸ μετὰ ταῦτα ἐκ πείρας τὴν

διάκρισιν τοῦ καλοῦ, οὗτινος ἀπήλαυε, καὶ τοῦ κακοῦ, ὅπερ πρότερον ἠγνόει. Ἵνα δὲ ὁ Θεὸς προφυλάξῃ τὸν ἄνθρωπον ἀπὸ τῆς παραβάσεως τῆς ἐντολῆς, συνοδεύει τὴν ἀπαγόρευσιν αὐτοῦ μετ' ἀπειλῆς θανάτου, ὅπερ οὐκ ἔστι θετικὴ ἐκδίκησις τοῦ Θεοῦ· διότι ὁ *Θεὸς θάνατον οὐκ ἐποίησεν* (Σοφ. 1, 13)· ἀλλὰ φυσικὸν ἐπακολούθημα τῆς παρακοῆς καὶ τῆς γεύσεως τοῦ ἀπηγορευμένου καρποῦ. Ὑπὸ δὲ τὸν θάνατον νοεῖται ἐνταῦθα ὅ τε *πνευματικὸς, ἡ ἀπαλλοτρίωσις ἀπὸ τῆς ζωῆς μετὰ τοῦ Θεοῦ* (Ἐφ. 4, 18), καὶ ὁ *σωματικὸς*, ἡ φθορὰ τοῦ σώματος.

§ 129. *Συνέπεια τῆς διαθήκης ἡ μακαριότης τῶν πρώτων ἀνθρώπων.*

Οὕτω δὲ κανονισθεῖσα ἡ ζωὴ τῶν πρώτων ἀνθρώπων, ἐφ' ὅσον οὗτοι διετέλουν πιστοὶ τῇ Διαθήκῃ ἦν μακαριωτάτη, καὶ τὴν πηγὴν τῆς μακαριότητος εἶχον α) Ἐν αὐτῇ τῇ φύσει αὐτῶν· διότι αὕτη ἐδημιουργήθη οὐ μόνον καθαρὰ καὶ ἄβλαβὴς, ἀλλ' ἔφερε τὴν θείαν περιβολὴν τελεσφόρων τελειοτήτων. Καὶ τὸ μὲν σῶμα αὐτῶν ἦν ἐλεύθερον τῆς νηπιώδους ἀδυναμίας καὶ τῆς καταστρεπτικῆς ἐνεργείας τῶν στοιχείων· ἦν πάντοτε ὑγιὲς, ἄκμαῖον καὶ περικαλλὲς, διὸ καὶ οὐκ εἶχεν ἀνάγκην ἐνδύματος, ὡς ἀσπίδος μὲν πρὸς τὰ στοιχεῖα, καλύμματος δὲ οἵας δήποτε δυσμορφίας (Γεν. 2, 25). Τῇ δὲ ψυχῇ οὐδὲν βάρος καὶ στενοχωρίαν παρεῖχεν, οὐδὲν κώλυμα πρὸς τὴν ἐνέργειαν αὐτῆς. Ἡ δὲ ψυχὴ τῶν πρώτων ἀνθρώπων ἦν ἀπηλλαγμένη ἐπίσης τῆς νηπιώδους ἀτελείας, καὶ οὐδὲν αἴσθημα ἄγριον καὶ ἀγροῖκον ἐκυρίευεν αὐτῆς. Ὁ *νοῦς* αὐτῶν, καίπερ στερούμενος πλήρους ἀναπτύξεως καὶ εὐρείας γνώσεως, ἦν καθαρὸς ὅμως καὶ φωτεινὸς, μηδεμιᾷ ὑποκείμενος προλήψει καὶ πλάνῃ, κωλυούσαις τὴν ἐνέργειαν αὐτοῦ, ἦν δ' ἅμα εὐμαθὴς πρὸς πᾶσαν μάθησιν, καὶ ἡ γνῶσις αὐτῶν,

ἐν τῷ φωτὶ τοῦ Προσώπου τοῦ Θεοῦ, ἦν μεγάλη. Διότι αὐτοὺς ἐδίδασκεν αὐτὸς ὁ Θεός. Ἔχομεν δὲ ἀπόδειξιν καὶ δεῖγμα τῆς προόδου τοῦ Ἀδὰμ τὴν ὀνομασίαν τῶν ζώων. Ἡ θέλησις τῶν πρώτων ἀνθρώπων οὐκ ἦν βεβαίως ὅλως τελεία καὶ ἑδραία ἁγιότης, ἀλλ' ὅμως, οὐ μόνον ἦν εὐθεῖα καὶ ἀγνὴ ἤτοι ἀμόλυντος παντὸς ἀκαθάρτου ἐλατηρίου καὶ ἐπιτηδεία, ὅπως προκόπτῃ ἐν τῷ ἀγαθῷ ἄνευ δυσχερειῶν καὶ προσκομμάτων, ἀλλὰ καὶ ἔργῳ ἐγκρατὴς ἦν θεοδωρήτων τελειοτήτων, οἷα εἰσὶν ἡ καθαρὰ καὶ ἁγία ἀγάπη πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον, πιστότης, πραότης, ἀφέλεια, μετριοφροσύνη καὶ λοιπαὶ ἀρεταί. Οὕτω δὲ ἡ συναίσθησις παντὸς τούτου καὶ καθαρὰ συνείδησις οὐκ ἠδύνατο μὴ εἶναι αὐτοῖς πηγὴ μεγίστης μακαριότητος.

β) Ἐν τῇ ἀμοιβαίᾳ σχέσει πρὸς τὰ λοιπὰ ὄντα. Οὗτοι ὑπῆρχον ἐν πλησιεστάτῃ κοινωνίᾳ μετὰ τοῦ Θεοῦ καὶ διετέλουν τῷ φωτὶ τοῦ προσώπου τοῦ Θεοῦ λαμπρυνόμενοι. Τοῦτο δ' ἐπλήρου τὰς καρδίας αὐτῶν ζωηροτάτου αἰσθήματος ὑψίστης μακαριότητος. Διετέλουν δ' ἅμα ἀναμφιβόλως κοινωνοῦντες καὶ μετὰ τῶν ἀγγέλων, οἵτινες καὶ νῦν οὐ φεύγουσι τὴν μεθ' ἡμῶν ἀναστροφήν, τοῦτο δ' ἦν αὐτοῖς πηγὴ χαρᾶς καὶ ἀγαλλιάσεως. Τέλος ἡ ἀναστροφὴ μετὰ τῆς καλῆς μόλις ἐκ τῶν χειρῶν τοῦ Ποιητοῦ ἐξελθούσης φύσεως καὶ ἡ καλλιέργεια τοῦ παραδείσου (Γεν. 2, 15) ἦσαν ἐπίσης πηγὴ ἀγνῆς καὶ ὑψηλῆς ἡδονῆς.

3) Περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου.

§ 130. *Τὸ δυνατὸν τῆς πτώσεως.*

Ἡ ἀθῴα καὶ μακαρία κατάστασις τῶν πρώτων ἀνθρώπων οὐκ ἦν κατάστασις ἀμετάβλητος, διὸ καὶ οὐκ ἐγένετο κληρονομία τῶν ἀπογόνων αὐτῶν. Ἡ Ἱερὰ Γραφὴ οὐ λέγει, πόσον χρόνον οἱ προπάτορες ἡμῶν ἔζησαν ἐν τῷ παραδείσῳ πιστοὶ

ἐμμένοντες τῇ διαθήκῃ τοῦ Θεοῦ, ἀλλὰ λέγει μόνον ὅτι παρέβησαν αὐτὴν καὶ ἔπεσον. Τὸ δὲ δυνατὸν τῆς πτώσεως τῶν πρώτων ἀνθρώπων συνίστατο ἐν τούτῳ, ὅτι ἔβαινον ἔτι ἐπὶ τῆς ὁδοῦ τῆς δοκιμασίας, καὶ ἡ ἐλευθερία αὐτῶν οὐκ ἦν ἔτι ἐστηριγμένη διὰ πείρας καὶ ἕξεως ἐν τῷ ἀγαθῷ. Ἐν τούτοις φανερὸν καὶ τοῦτο, ὅτι, ἐπειδὴ οἱ ἄνθρωποι εἶχον τοσαύτας τελειότητας καὶ διετέλουν κοινωνοῦντες μετὰ τοῦ Θεοῦ, διὰ τοῦτο καὶ ἡ πτῶσις αὐτῶν ἦν δυνατὴ μόνον, οὐχὶ δὲ καὶ εὔκολος· ὥστε ἀκατάληπτος ἦν ἂν ἡ πτῶσις, εἰμὴ ἡ Ἱερὰ Γραφὴ οὐκ ἀπεκάλυπτε τὴν πρώτην αἰτίαν αὐτῆς, ἥτις οὐκ ἦν ἐν τῷ ἀνθρώπῳ.

§ 131. *Αἰτία τῆς πτώσεως.*

Ἡ αἰτία αὕτη ἐστὶν ὁ *ὄφις*, οὐχὶ ὅμως ὁ ἁπλοῦς καὶ φυσικὸς, ἀλλ' ὁ ἐμψυχωθεὶς ὑπὸ τοῦ ἐνοικήσαντος ἐν αὐτῷ διαβόλου. Διότι καλεῖται ἐν τῇ Γραφῇ *φρονιμώτατος* (Γεν. 3, 1), καὶ διεκρίνετο ἐπὶ ἱκανότητι λόγου. Ὅτι δὲ ὁ ὄφις οὗτος ἐστὶν ἀληθῶς ὁ διάβολος, τοῦτο καταφαίνεται ἐκ τῆς μαρτυρίας περὶ αὐτοῦ τῆς Καινῆς Διαθήκης. Διότι ὁ Ἰησοῦς Χριστὸς, μνημονεύων *τοῦ ἀνθρωποκτόνου ἀπ' ἀρχῆς καὶ τοῦ πατρὸς τοῦ ψεύδους* ὀνομάζει αὐτὸν *διάβολον* (Ἰωάν. 8, 44). Καὶ ὁ Ἀπόστολος Ἰωάννης ἀρχηγὸν τῆς ἁμαρτίας καλεῖ ἐπίσης *τὸν διάβολον* (1 Ἰωαν. 4, 8). Καὶ ἐν τῇ ἀποκαλύψει *ὁ ἀρχαῖος οὗτος ὄφις* καλεῖται *διάβολος* καὶ *σατανᾶς* (20, 2).

§ 132. *Ὁ Τρόπος τῆς πτώσεως.*

Ὁ ἐχθρὸς οὗτος τῆς ἀληθείας καὶ τοῦ ἀγαθοῦ φθονήσας ἐπὶ τῇ μακαριότητι τοῖς ἀνθρώποις (Σοφ. 2, 24), εἰσέδυσεν εἰς τὸν παράδεισον καὶ ἔπεισε τοὺς προπάτορας εἰς παράβασιν τῆς μετὰ τοῦ Θεοῦ διαθήκης, καὶ γεῦσιν ἐκ τοῦ ἀπηγορευμένου καρποῦ κατὰ τὸν ἑξῆς τρόπον. Μὴ ἐλπίζων ἐπιτυ-

χίαν παρὰ τῷ ἀνδρὶ, προσῆλθε πρῶτον τῇ γυναικὶ, καὶ ἀναιδεῖ ψεύδει χρώμενος ἐνέσπειρεν ἐν τῇ ἁπλῇ καὶ εὐπίστῳ καρδίᾳ αὐτῆς ἀμφιβολίαν περὶ τῆς ἀγαθότητος καὶ ἀληθείας τοῦ Δημιουργοῦ. Σοφιστικῶς δ' ἑρμηνεύων διέστρεψε τὴν ἔννοιαν περὶ τοῦ ἀπηγορευμένου δένδρου. « Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεὸς, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου, καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγούμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεὸς, οὐ φάγεσθε ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· οὐ θανάτῳ ἀποθανεῖσθε. Ἴδει γὰρ ὁ Θεὸς, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν (Γεν. 3, 1—5). Μετὰ τοῦτο ἡ Εὔα πληροῦται παρανόμου ἐπιθυμίας. « Καὶ ἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖον ἐστι τοῦ κατανοῆσαι· καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν. » Ἡ δὲ πτῶσις τῆς γυναικὸς, διὰ τὸν στενώτατον δεσμὸν τὸν φυσικόν τε καὶ ἠθικὸν, παρήγαγε καὶ τὸν ἄνδρα. « Καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς, καὶ ἔφαγον ».

§ 133. *Συνέπεια τῆς ἁμαρτίας ἡ διατάραξις τῆς ἐσωτερικῆς γαλήνης.*

Ἐκ τοῦ προπατορικοῦ ἁμαρτήματος προῆλθον ὀλέθρια ἐπακολουθήματα τοῖς ἀνθρώποις. Διότι διετάραξε τὴν ἐσωτερικὴν αὐτῶν ἁρμονίαν.

α) Ὁ *νοῦς* αὐτῶν, ὁ πρότερον καθαρῶς θεωρῶν τὸν Θεὸν ἐσκοτίσθη, καὶ πρὸς ἐπίγνωσιν τῶν θείων ἐγένετο ἀμβλὺς καὶ βραδύς. Τοῦτο δὲ καταφαίνεται ἐκ τοῦ μετὰ ταῦτα συμβάντος, ὅτε ταραχθέντες οἱ προπάτορες ἐκ τῆς παραβάσεως ἀπώλεσαν τὴν ἔννοιαν περὶ τῆς ἀπανταχοῦ παρουσίας τοῦ Θε-

οὖ, καὶ ἐνόμισαν, ὅτι δύνανται κρυβῆναι ἀπὸ τοῦ Θεοῦ. « Καὶ ἤκουσαν τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅτε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου »(Γεν. 3, 8).

β) Ἐν τῇ θελήσει τῶν προπατόρων ἡ πρώτη εὐθύτης, ἡ ἐν τῇ καθαρᾷ συνειδήσει καὶ ἁγίᾳ ἀγάπῃ πρὸς Θεὸν συνισταμένη κατελήφθη ὑπὸ φρίκης καὶ φόβου. Διότι πρὸς τὴν φωνὴν τοῦ Θεοῦ,ποῦ εἶ; ὁ Ἀδὰμ ἀπεκρίνατο « τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην, ὅτι γυμνὸς εἰμι, καὶ ἐκρύβην » (Γεν. 3, 9. 10). Πρὸς δὲ τοῦτῳ εὐθὺς ἐξ ἀρχῆς, ἤδη ἀναφαίνεται ἐν αὐτοῖς ἡ πρὸς τὸ ψεῦδος ῥοπή. Διότι ἀντὶ τῆς μετανοίας ἐπενόησαν ματαίαν δικαιολογίαν, καὶ ὁ μὲν Ἀδὰμ ἀπέδωκε τὸ πταῖσμα τῇ γυναικί, μάλιστα δὲ καὶ τῷ Θεῷ τῷ δόντι αὐτὴν « ἡ γυνὴ ἣν ἔδωκες μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον ». Ἡ δὲ γυνὴ τῷ ὄφει. « Ὁ ὄφις ἠπάτησέ με καὶ ἔφαγον (στιχ. 12—13).

γ) Ἡ ἐλευθερία αὐτῶν ὑπέκυψεν ὑπὸ διαφόρους ἐντυπώσεις καὶ ὀρέξεις,αἵτινες κατεκυρίευσαν τοῦ ἐν ἀνθρώπῳ πνευματικοῦ. Τοῦτο δὲ ἀπεδείχθη ἐν αὐτῷ τῷ ἔργῳ τῆς πτώσεως. Διότι ἡ γυνὴ παράγεται διὰ τοῦτο, ὅτι εἶδεν « ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖον ἐστὶ τοῦ κατανοῆσαι ». Οὕτω δὲ μετὰ τὴν πτῶσιν τῶν προπατόρων ἐφθάρη καὶ ἡ εἰκὼν τοῦ Θεοῦ παρ' αὐτοῖς, ἐξηλείφθη ἡ πρὸς Θεὸν ὁμοίωσις ἡ τέως προσγενομένη.

δ) Τὸ δὲ σῶμα ἀντὶ τῆς πρώτης τελειοτάτης ὑποταγῆς αὐτοῦ τῇ ψυχῇ κατακρατεῖ αὐτῆς, καὶ τὴν πρωτότυπον καλλονὴν διαδέχεται δυσμορφία, προελθοῦσα ἐκ τῆς ταραχῆς τῆς θελήσεως. Ἐντεῦθεν ἔλαβε τὴν ἀρχὴν καὶ τὸ αἴσθημα τῆς αἰδοῦς καὶ ἡ ἀνάγκη τῶν ἐνδυμάτων. « Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα » (3, 7). Τὴν δὲ διαρκῆ ὑγείαν καὶ

ἀθανασίαν ἀντικατέστησαν νόσοι καὶ αὐτὸς ὁ θάνατος «Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου, εἶπεν ὁ Θεὸς τῇ γυναικί, καὶ ἐν λύπαις τέξῃ τέκνα, ἕως τοῦ ἐπιστρέψαισε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης, τῷ δὲ ἀνδρὶ « ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ (στιχ. 16— 19). Καί τοι δὲ ὁ θάνατος οὐκ εὐθὺς συνέβη καὶ οἱ προπάτορες ἐπὶ μακρὸν ἔτι ἐβίωσαν χρόνον διὰ τὴν δαψίλειαν τῶν προτογόνων δυνάμεων, ἀλλ' ὅμως ἡ κατάστασις τοῦ θανάτου ἤρξατο ἤδη ἀπ' αὐτῆς τῆς πτώσεως αὐτῶν, ὅλος δ' ὁ βίος αὐτῶν ἔκτοτε οὐδὲν ἕτερον ἢ διηνεκὴς προσέγγισις τῷ θανάτῳ ἦν.

§ 134. *Διατάραξις τῆς ἐξωτερικῆς Εὐημερίας*

Ἡ ἁμαρτία τῶν προπατόρων διετάραξε καὶ τὴν ἐξωτερικὴν αὐτῶν εὐημερίαν. Ὁ Θεὸς ἐστέρησεν αὐτοὺς τῆς πρώτης οἰκειότητος μεθ' ἑαυτοῦ, ἀπεμάκρυνε τοῦ ξύλου τῆς ζωῆς, καὶ ἀπεδίωξε τοῦ παραδείσου τῆς τρυφῆς, οἰκίσας αὐτοὺς ἀπέναντι αὐτοῦ. «Καὶ εἶπε Κύριος ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. Καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα, καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, καὶ ἔταξε τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς(στιχ. 24—). Μετὰ δὲ τοῦτο ἡ κτίσις ἐπαύσατο ὑπείκουσα τῷ ἀνθρώπῳ ὡς βασιλεῖ. Εἰδὲ καί τινα κυριαρχίαν διέσωσεν, ἀλλ' ἀπώλεσε τὸ πλεῖστον αὐτῆς. Ἅπανατα δὲ τὰ στοιχεῖα ἄρχονται πολεμοῦντα αὐτῷ, καὶ αὐτὴ ἡ γῆ, ἥτις ἔτρεφεν αὐτὸν πρότερον δαψιλῶς καὶ ἀπόνως, ἀπαιτεῖ νῦν παρ' αὐτοῦ ἀτρύτους πόνους, καὶ ἱδρῶτας, ὅπως ἀποδῷ αὐτῷ τὸν ἐπιούσιον ἄρτον. « Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαισε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης » Ἀλλὰ τὸ ὀλεθριώτατον τῆς ἁμαρτίας ἦν τοῦτο, ὅτι ὑπέκυψαν τὸν αὐχένα οἱ προπάτορες τῇ ζοφερᾷ ἐξουσίᾳ τοῦ διαβόλου,

ἅμα δὲ καὶ πάντας τοὺς ἀπογόνους αὐτῶν ὑποχειρίους ἐποίησαν τῇ κακεντρεχῇ ἀφύκτῳ καὶ ἀδυσωπήτῳ ἐπηρείᾳ αὐτοῦ, ἄνευ θείας ἀρωγῆς μὴ δυναμένους ἀπαλλαγῆναι ταύτης (Γεν. 3, 15. Κολοσ. 1, 13).

§ 135. *Αἱ συνέπειαι ἐπὶ τῆς κτίσεως.*

Αἱ ὀλέθριαι συνέπειαι τῆς πτώσεως τοῦ ἀνθρώπου ἐπεξετάθησαν καὶ ἐπὶ πάσης τῆς περιστοιχούσης αὐτὸν φύσεως, ἐφ' ἧς κατέστη ὁ ἄνθρωπος βασιλεύς. Διότι, ὡς ἐν ἀρχῇ αὐτοῦ ἕνεκα ἅπασα ἡ γῆ ἔλαβε τὴν εὐλογίαν, οὕτω καὶ νῦν δι' αὐτὸν ὑπόκειται τῇ κατάρᾳ. «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, εἶπεν αὐτῷ, ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι» (στιχ. 17. 18). Συνέπειαι δὲ τούτου ἦσαν καὶ ὑπάρχουσι μέχρι τοῦ νῦν, ἡ ματαιότης, ὁ στεναγμὸς καὶ ἡ ἀσθένεια τῆς κτίσεως, περὶ ὧν λέγει ὁ Ἀπόστολος, τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα· πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν» (Ρωμ. 8. 20. 22)· Ὑποπίπτει δὲ ἡ κτίσις τῇ κατάρᾳ μετὰ τοῦ ἀνθρώπου, διότι ἡ βλάβη αὐτοῦ, ὡς κεφαλῆς καὶ βασιλέως, μετεδόθη ὁμοίως, ὡς μύασμα, πάσῃ τῇ κτίσει καὶ πᾶσι τοῖς στοιχείοις, ἅπερ ἔφερεν ἐν ἑαυτῷ, καὶ διότι, ὡς πρότερον ὁ ἄνθρωπος εἶχε τὴν μακαριότητα αὐτοῦ καὶ ἐν τῇ φύσει, οὕτω καὶ νῦν ὤφειλεν αἰσθάνεσθαι τὴν ἀθλιότητα καὶ ἐν αὐτῇ.

§ 136. *Τὸ βάρος τῆς ἁμαρτίας τοῦ Ἀδάμ.*

Διὰ τοῦτο ἡ ἁμαρτία τῶν προπατόρων ἦν ἀναμφιβόλως μεγάλη καὶ βαρεῖα. Τοῦτο δὲ καταφαίνεται α) ἐκ τῆς ἐντολῆς ἣν παρέβησαν. Διότι ἐπὶ ταύτης ἐστηρίζετο ἡ μετὰ τοῦ Θεοῦ διαθήκη. Παραβάντες δὲ τὴν διαθήκην ταύτην οἱ ἄνθρωποι εἰς ἄκρον ἐλύπησαν τὸν Ποιητὴν αὐτῶν καὶ εὐεργέτην, καὶ

ἔπραξαν ὅλως ἐναντία τῇ βουλῇ τοῦ Θεοῦ κατὰ πάσης δυνατῆς πτώσεως β) Ἐκ τῆς ἰδιότητος τῆς ἐντολῆς, ἥτις ἐλαφρὰ καὶ εὐκατόρθωτος ἦν. Διότι εἰ καὶ ἔβαινον ἔτι ἐπὶ τῆς ὁδοῦ τῆς δοκιμασίας, ἀλλὰ πολλὰς δωρηθείσας αὐτοῖς τελειότητας εἶχον, περιεφρουρηθείσας καὶ ὑπὸ τοῦ Θεοῦ κατὰ πάσης δυνατῆς πτώσεως γ) Ἐκ τῶν συνεπειῶν τῆς παραβάσεως τῆς ἐντολῆς. Διότι παραβάντες ταύτην, ἐγένοντο ἅμα παραβάται παντὸς τοῦ νόμου τοῦ Θεοῦ, καὶ κατέπεσον ὅλως εἰς τὴν ἄβυσσον τοῦ κακοῦ, εἰς τὸ ψεῦδος, τὴν ἐπιθυμίαν τῆς σαρκὸς, τὴν ἐπιθυμίαν τῶν ὀφθαλμῶν, τὴν ὑπερηφάνειαν καὶ αὐτὴν τὴν ἐπιθυμίαν τῆς θείας τιμῆς. Οὕτω δὲ διέφθειραν καὶ ἔβλαψαν ἅπασαν τὴν ἑαυτῶν φύσιν, πλὴν δὲ τούτου ἐγένοντο αἴτιοι πασῶν τῶν ἐπιγενομένων ἁμαρτιῶν καὶ πάντων τῶν ἀκαταλογίστων δεινῶν ἑαυτοῖς τε καὶ τοῖς ἀπογόνοις αὐτῶν, ἅμα δὲ καὶ αἴτιοι τῆς ταραχῆς καὶ τῶν συμφορῶν τῶν ἐν αὐτῇ τῇ ἀλόγῳ φύσει. Οὐχ ἧττον ὅμως ἦν ἡ ἁμαρτία τῶν προπατόρων οὐχὶ τοσοῦτον βαρεῖα, ὡς ἡ αὐτοῦ τοῦ ἀπατήσαντος, ἤτοι τοῦ πεσόντος πνεύματος. Ἀπεδείχθη δὲ ἐλαφροτέρα ἐν τῇ πλάστιγγι τῆς δικαιοσύνης τοῦ Θεοῦ, διότι οὐκ ἦν ἡ πρώτη ἁμαρτία, ἀλλ' ἔλαβε τὴν ἀρχὴν ἐκ τοῦ πατρὸς τοῦ ψεύδους καὶ πάσης ἁμαρτίας.

§ 137. *Τὰ λείψανα τοῦ ἀγαθοῦ.*

Εἰ καὶ βαρεῖα ἡ πτῶσις τῶν προπατόρων ἦν, ἀλλ' ὅμως οὐ πᾶν τὸ ἐν αὐτοῖς ἀγαθὸν ἐξηφάνισεν. Καὶ ἐξηλείφθη μεν ἡ ἐν αὐτοῖς ὁμοίωσις τοῦ Θεοῦ, καὶ ἅπασαι αἱ δυνάμεις τῆς ψυχῆς ἀπώλεσαν τὴν ἀρχικὴν καθαρότητα καὶ τὴν πρὸς μόνον τὸ ἀγαθὸν ροπὴν, τραπεῖσαι μάλιστα τὴν ἐναντίαν, ἀλλ' οὐχ ἧττον ὅμως ἴχνη τῆς εἰκόνος τοῦ Θεοῦ παρέμειναν αὐτῇ. Τοῦτο δὲ δῆλον α) ἐκ τούτου, ὅτι ἡ Γραφὴ καὶ μετὰ τὴν πτῶσιν θεωρεῖ ἔτι ὑπάρχουσαν τὴν ἐν ἀνθρώπῳ εἰκόνα τοῦ Θεοῦ. Οὕ-

τως ὁ Θεὸς, ὑπαγορεύων τῷ Νῶε τὸν νόμον κατὰ τῆς ἀνθρωποκτονίας, δείκνυσι καὶ τὴν βάσιν τούτου, ὅτι ὁ ἄνθρωπος ἐπλάσθη κατ' εἰκόνα «Θεοῦ ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον (Γεν. 9, 6).

β) Ἐκ τούτου, ὅτι ὁ Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν αἰσθάνεται αἰδῶ καὶ φόβον, καὶ ἀποδείκνυσι καθ' ἅπαντα τὸν βίον μετάνοιαν, καὶ προϊόντος τοῦ χρόνου ζητεῖ διὰ θυσιῶν διαλλαγὴν μετὰ τοῦ Θεοῦ.

γ) Ἐκ τῶν τιμωριῶν τοῦ ἀνθρώπου, ἐν αἷς βεβαίως, ἐπειδὴ λείψανά τινα τοῦ ἀγαθοῦ παρέμειναν αὐτῷ, διὰ τοῦτο καὶ ὁ Θεὸς κολάζει τὴν αὐστηρὰν αὐτοῦ δικαιοσύνην διὰ μεγάλης εὐσπλαγχνίας.

§ 138. *Τὸ ἀνίσχυρον τῶν προπατόρων πρὸς ἐπανόρθωσιν.*

Ἀλλὰ καὶ οὕτω ἡ πτῶσις τῶν προπατόρων ἦν τοσοῦτον μεγάλη, ὥστε κατέστησαν ἐντελῶς ἀνίσχυροι πρὸς ἐπανόρθωσιν. Τοῦτο δὲ καταφαίνεται ἐκ τούτου, ὅτι μετὰ τὴν παράβασιν τῆς ἐντολῆς, οὐ μόνον οὐκ ἔσπευσαν ἐπανελθεῖν πρὸς Θεὸν διὰ μετανοίας, ἀλλὰ καὶ ἐκρύβησαν ἀπὸ τοῦ προσώπου τοῦ Θεοῦ· καὶ οὐ παρέστησαν εὐθὺς πρὸς τὴν καλοῦσαν φωνὴν τοῦ Θεοῦ. *Ἀδὰμ ποῦ εἶ;* Τὸ δὲ ἀνίσχυρον αὐτῶν συνίστατο ἐν τούτῳ, ὅτι

α) Οὐκ ἠδύναντο ἀφ' ἑαυτῶν ἱκανὰ ποιεῖν τῇ ἀπείρῳ δικαιοσύνῃ τοῦ Θεοῦ δι' οὐδεμιᾶς θυσίας, ἴσης τῇ βαρείᾳ εὐθύνῃ αὐτῶν. β) Οὐκ ἠδύναντο διορθοῦν τὴν ἐρθαρμένην ὑπὸ τῆς ἁμαρτίας φύσιν καὶ ἐπανακάμψαι εἰς τὴν πρώτην ἀθωότητα, καθαρότητα, καὶ τὴν μετὰ τοῦ Θεοῦ ὁμοίωσιν· ἥκιστα δὲ γ) ἀπαλλαγῆναι τῆς ἐπ' αὐτῶν ἐξουσίας τοῦ διαβόλου, καὶ στῆσαι τὴν πρόοδον τοῦ κακοῦ ἐν τοῖς ἀπογόνοις αὐτῶν, καὶ ἐν ἅπαντι τῷ κόσμῳ. Οὕτω δὲ κατὰ τὸν νόμον τῆς δικαιοσύνης τοῦ Θεοῦ καὶ κατὰ θείαν ἀπόφασιν ἦν ἀναπόφευκτος αὐτοῖς ὁ αἰώνιος θάνατος καὶ ἡ ἀπώλεια.

4) Περὶ τῆς βλάβης παντὸς τοῦ ἀνθρωπίνου γένους διὰ τὴν πτῶσιν τῶν προπατόρων, ἤτοι περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος.

§139. *Συνέπειαι τῆς πτώσεως τῶν προπατόρων ἐν τοῖς ἀπογόνοις.*

Αἱ λυπηραὶ συνέπειαι τῆς ἁμαρτίας τῶν προπατόρων οὐκ ἔστησαν ἐπ' αὐτῶν μόνων, ἀλλὰ μετέβησαν καὶ μεταβαίνουσιν ἀπ' αὐτῶν, ὡς ἄθλιόν τι κληρονόμημα, πρὸς πάντας τοὺς ἀπογόνους αὐτῶν. Διὰ τοῦτο ἅπαν τὸ ἀνθρωπίνον γένος, στερούμενον τῆς προτογόνου ἀθωότητος καὶ μακαριότητος, ἀντὶ τούτων ἐκληρονόμησε τὸ οὕτω καλούμενον *προπατορικὸν ἁμάρτημα.*

§ 140. *Ἡ περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος ἔννοια.*

Ἁμαρτία καλεῖται ἡ παράβασις ἐν γένει τοῦ νόμου, ἡ παρεκτροπὴ ἀπὸ τοῦ ὀρθοῦ καὶ προσήκοντος τρόπου τῆς ἐνεργείας καὶ ἡ ἀπομάκρυνσις ἀπὸ τοῦ σκοποῦ καὶ προορισμοῦ. Συνίσταται δὲ, ἢ ἐν πράξει τινὶ μερικῇ καὶ ἅπαξ γενομένῃ, παραβαινομένου τοῦ νόμου (peccatum in actu, actuale), ἢ ἐν αὐτῷ τῷ ἤθει καὶ ἐν τῇ ἐσωτερικῇ καὶ ἐνδελεχεῖ ροπῇ εἰς ἐναντία τῷ νόμῳ ἔργα (peccatum instatu, in habitu, stabile, habituale), ἥτις πάλιν, ἢ ἐστὶν ἐπίκτητος ἕξει προτγινομένη (peccatum consuetudinis), ἢ σύμφυτος καὶ τῇ φύσει ἐνοῦσα (peccatum naturae). Ὑπὸ τὸ ὄνομα δὲ τοῦ προπαταρικοῦ ἁμαρτήματος peccatum originale) νοεῖται ἁμαρτία οὐχὶ κατὰ τὴν πρώτην ἔννοιαν, τουτέστιν οὐχὶ ἐν ἐνεργείᾳ, ἀλλ' ἁμαρτία κατὰ τὴν τελευταίαν σημασίαν, τουτέστιν ἐν καταστάσει, καὶ προσγινομένη οὐχὶ ἕξει ἀλλὰ φύσει, εἴτε ἄλλως ἡ ἔμφυτος διαφθορὰ τῆς φύσεως τοῦ ἀνθρώπου, δι' ἣν οὗτος στερούμενος τῶν προτέρων τελειοτήτων ὁρμᾷ μᾶλλον εἰς τὸ κακὸν, ἢ εἰς τὸ ἀγαθὸν

καὶ διὰ τοῦτο φυσικῶς ὑπόκειται τῇ κρίσει καὶ τῇ ὀργῇ τοῦ Θεοῦ, καὶ ἀπαλλαγῆναι τῆς καταστάσεως αὐτοῦ ταύτης ἰδίαις δυνάμεσιν οὐ δύναται.

§ 141. *Ὀνομασία αὐτοῦ ἐν τῇ Ἁγίᾳ Γραφῇ.*

Ἐν τῇ Ἁγίᾳ Γραφῇ ἡ βλάβη αὕτη καὶ φθορὰ τῆς ἀνθρωπίνης φύσεως πολλὰ ὀνόματα ἔχει. Καλεῖται δὲ α) *ἁμαρτία* «Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος. Νυνὶ δὲ οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία (Ῥωμ. 5, 12. 7, 17). β) *Νόμος τῆς ἁμαρτίας ἐν τοῖς μέλεσι.* «Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου (Ῥωμ. 7, 23). γ) *Παλαιὸς ἄνθρωπος.* Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, τουτέστιν μετὰ τοῦ Ἰησοῦ Χριστοῦ (Ῥωμ. 6, 6). Ἀποθέσθαι ἡμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης (Ἐφεσ. 4, 22. Κολοσ. 3, 9). δ) Σὰρξ καὶ σαρκικὸς ἄνθρωπος· «οὐ μὴ καταμείνῃ τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας (Γεν. 6, 3. Γαλ. 5, 17). ε) Κατάστασις χωρὶς Θεοῦ καὶ ἀπαλλοτρίωσις ἀπὸ τῆς ζωῆς τοῦ Θεοῦ «ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ... ἄθεοι ἐν τῷ κόσμῳ. ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ (Ἐφεσ. 2, 12, 4, 18).

§ 142. *Ἡ πραγματικὴ αὐτοῦ ὕπαρξις.*

Ὅτι τὸ ἀνθρώπινον γένος ὑπόκειται τῷ ὄντι τῇ προπατορικῇ ἁμαρτίᾳ καὶ τῇ φθορᾷ, τοῦτο ῥητῶς βεβαιοῖ ἡ Ἁγία Γραφὴ λέγουσα, ὅτι τὸ ἀνθρώπινον γένος καθ' ἅπαντα τὸν χρόνον, ἀπ' αὐτοῦ τοῦ Ἀδὰμ, ἦν καὶ ἔσται φθορὰ καὶ ἁμαρ-

τία, ὑποκείμενον ἅμα καὶ ταῖς τιμωρίαις αὐτοῦ, τοῖς δεινοῖς καὶ τῷ θανάτῳ. Λέγει δὲ καὶ ὁ ψαλμῳδὸς σαφῶς, ὅτι ὁ Κύριος ἐπέβλεψέ ποτε ἐπὶ τῆς γῆς καὶ εἶδε, ὅτι *πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός* (ψαλ. 13, 3). Καὶ ὁ Ἀπόστολος Παῦλος διδάσκει. «Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ (Ρωμ. 3, 23. 6, 12). Τὸ αὐτὸ βεβαιοῖ καὶ ἡ γενικὴ Ἱστορία πάντων τῶν ἐθνῶν καὶ ἀνθρωπίνων κοινωνιῶν, ἥτις οὐδὲν ἕτερον, ἢ περιγραφὴ ἔνθεν μὲν ἀνθρωπίνων ἐλαττωμάτων παντὸς γένους καὶ εἴδους, ἔνθεν δὲ τιμωριῶν τούτων, ἤτοι ἀναριθμήτων μεταβολῶν καὶ δεινῶν. Προσμαρτυρεῖ δὲ καὶ ἡ καθ' ἑκάστην πεῖρα καὶ παρατήρησις ἐπὶ τῶν ἀνθρώπων. Διὰ τοῦτο καὶ αὐτοὶ τῶν ἐθνικῶν οἱ σοφοὶ διαῤῥήδην καὶ πικρῶς αἰτιῶνται τὴν παντελῆ διαφθορὰν τῆς ἀνθρωπίνης φύσεως καὶ ὁμολογοῦσιν, ὅτι ἡ νόσος αὕτη οὐδενὶ φαρμάκῳ ἰάσιμος (1).

§. 143. *Αἰτία.*

Ἡ αἰτία τῆς διαφθορᾶς ταύτης οὐκ ἔνεστιν, οὔτε τῇ ἀρχικῇ κατασκευῇ τῆς ἀνθρωπίνης φύσεως· διότι ὁ Θεὸς οὐκ ἠδύνατο ποιῆσαι αὐτὴν κακὴν, ἀλλ' ἔπλασεν αὐτὴν ἐντελῆ· οὔτε τῷ φυσικῷ περιορισμῷ τοῦ νοὸς καὶ τῆς θελήσεως ἡμῶν· διότι αἱ δυνάμεις ἡμῶν, οὐκ εἰσὶ μόνον περιωρισμέναι, ἀλλὰ καὶ εὐτράπελοι πρὸς τὸ κακόν· οὔτε ἐν τῷ σώματι, οὔτης δῆθεν τῆς ὕλης ἑτέρας τινὸς ἀρχῆς τοῦ κακοῦ· διότι ἡμεῖς δμολογοῦμεν οὐχὶ δύο ἀρχὰς, ἀλλὰ μίαν, καὶ τοῦ πνεύματος

---

(1) Quid est hoc, quod nos aliud volentes, ad aliud semper trahat (Seneca). Cum lacte nutricis errorem suxisse videamur. (Cicero). Nitimur ad vetitum semper, cupimusque negata.. Video meliora proboque, deteriora sequor (Ovid). Vitiis sine nemo nascitur etc.

καὶ τῆς ὕλης· οὔτε ἐν τῇ ἀνατροφῇ καὶ μιμήσει· διότι τὸ κακὸν προηγεῖται πάσης ἀναιροφῆς καὶ μιμήσεως· ἀλλ' αἴτιον τούτου μόνον τὸ προπατορικὸν ἁμάρτημα, καὶ τοῦτο οὐκ ἔστιν ἄλλο τι, ἢ συνέπεια καὶ ἐξακολούθησις τῆς ἐν ἡμῖν πεπτωκυίας καταστάσεως τῶν προπατόρων. Τοῦτο δὲ ῥητῶς βεβαιοῖ α) ἡ Ἁγία Γραφή. Καὶ δὴ ὁ μὲν ψαλμῳδὸς σαφῶς ὁμολογεῖ, ὅτι ὁ ἄνθρωπος συλλαμβάνεται ἐν ἀνομίαις καὶ γεννᾶται ἐν ἁμαρτίαις (50, 7). Τοῦτο δὲ σημαίνει, ὅτι φέρει ἐν ἑαυτῷ τὴν ἁμαρτίαν, ὡς κληρονομίαν τῶν γονέων αὐτοῦ. Ἐν δὲ τῇ βίβλῳ τοῦ Ἰὼβ λέγεται. «Τίς γὰρ ἔσται καθαρὸς ἀπὸ ῥύπου; οὐδὲ εἷς, ἐὰν καὶ μιᾶς ἡμέρας γένηται ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς. Πῶς γὰρ ἔσται βροτὸς δίκαιος ἐνατίον Κυρίου; ἢ τίς ἂν ἀποκαθαρίσαι ἑαυτὸν γεννητὸς γυναικός (14, 4. 5 15, 14. 25 4). Ὁ δὲ Ἰησοῦς Χριστὸς λέγει τῷ Νικοδήμῳ· «Ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν Βασιλείαν τοῦ Θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σὰρξ ἐστι (Ἰωαν. 3, 3· 6), Καὶ ὁ Ἅγιος Ἀπόστολος λέγει· «δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν. Τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον· δι' ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα καὶ ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ (Ῥωμ. 5 12 18. 19). καὶ ἤμεν τέκνα φύσει ὀργῆς (Ἐφ. 2, 3). 6) Ἡ κοινὴ φωνὴ τῆς Οἰκουμενικῆς Ἐκκλησίας. Αὕτη διηνεκῶς ἀπ' αὐτῶν τῶν πρώτων αἰώνων ἐτήρει καὶ ὡμολόγει τὸ δόγμα τοῦτο, ὡς ἕν τῶν κυριωτέρων καὶ οὐσιωδεστέρων ἄρθρων τῆς Χριστιανικῆς πίστεως, καὶ ἐπὶ τῆς βάσεως ταύτης ἐτελεῖτο πάντοτε, οὐ μόνον ἐπὶ τῶν ἐνηλίκων, ἀλλὰ καὶ ἐπὶ τῶν νηπίων τὸ μυστήριον τοῦ βαπτίσματος, ὡς ἀναγκαῖον καὶ αὐτοῖς πρὸς καθαρισμὸν ἀπὸ τῆς ἁμαρτίας, οὐχὶ βεβαίως τῆς ἔργῳ γενομένης, διότι ἐν τοῖς νηπίοις τοιαύτη οὐκ ἔστι, ἀλλὰ τῆς προπατορικῆς. Κατὰ δὲ τὸν Ε' αἰῶνα τὸ δόγμα τοῦτο ἐκυρώθη ἐπὶ τῆς ἐν Καρθαγένῃ Συνόδου κατὰ τῆς αἱρέσεως τοῦ Πελαγίου τοῦ ἀρνουμένου τὴν ὕπαρξιν τοῦ προπατορικοῦ ἁμαρ-

τήματος, καὶ ἐξέδωκεν ἀφορισμὸν καὶ κατ' αὐτοῦ καὶ κατὰ παντὸς παραδεχομένου καὶ διδασκαλίαν αὐτοῦ. «Ὅστις δήποτε τὰ μικρὰ καὶ νεογέννητα ἐκ τῶν γαστέρων τῶν μητέρων βαπτιζόμενα ἀρνεῖται, λέγεται ἐν τῷ 121 κανόνι τῆς συνόδου ταύτης, ἢ λέγει, εἰς ἄφεσιν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Ἀδὰμ ἔλκειν προγονικῆς ἁμαρτίας, τὸ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενισίας, ἀνάθεμα εἴη (1). Καὶ δίκαιον· διότι πάντες οἱ ἄνθρωποι ἕλκουσι τὸ γένος ἐκ μόνου τοῦ Ἀδὰμ. ἄρα ἀναγκαίως ὤφειλον καὶ ὅμοιοι αὐτῷ εἶναι. «Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖν. Ματθ. 7, 18). Ἐπειδὴ δὲ ὁ Ἀδὰμ ἔβλαψε καὶ ἔφθειρεν ὅλον ἑαυτὸν διὰ τῆς ἁμαρτίας, διὰ τοῦτο παρήγαγε καὶ τέκνα κατὰ τὴν ἰδίαν εἰκόνα (Γεν. 5, 3).

§ 144. *Τρόπος τῆς μεταδόσεως.*

Ὁ Τρόπος τῆς μεταδόσεως τοῦ προπατορικοῦ ἁμαρτήματός ἐστι μυστήριον ἀκατάληπτον ἡμῖν. Ἀναντίρρητον ὅμως τοῦτο, ὅτι διὰ τῆς γεννήσεως μεταβαίνει ἀπὸ τῶν γονέων εἰς τὰ τέκνα. Περὶ δὲ τούτου σαφῶς μαρτυρεῖ ἡ Ἁγία Γραφή. « Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, λέγει ὁ Προφητάναξ ψαλμῳδὸς,

---

(1) Οἱ ὀπαδοὶ τοῦ Πελαγίου ἦσαν α) τέλειοι Πελαγιανοί, οἵτινες ὅλως ἀπέρριπτον τὴν ὕπαρξιν τοῦ προπατορικοῦ ἁμαρτήματος καὶ διισχυρίζοντο, ὅτι πάντες οἱ ἄνθρωποι γεννῶνται τοιοῦτοι οἷος ὁ Ἀδὰμ ἐποιήθη, καὶ ὅτι οὗτος τοῖς ἀπογόνοις αὐτοῦ οὐκ ἄλλως αἴτιος κακοῦ, εἰμὴ ἴσως μόνον διότι διὰ τῆς ἰδίας ἁμαρτίας ἔδωκε κακὸν παράδειγμα β) Ἡμιπελαγιανοί, παραδεχόμενοι τὸ προπατορικὸν ἁμάρτημα, ἀλλ' ὑπὲρ τὸ δέον περιορίζοντες τὴν δύναμιν αὐτοῦ ἐν τῇ ἀνθρωπίνῃ φύσει. Πλὴν τῆς ἐν Καρθαγένῃ Συνόδου ἐγένοντο καὶ πολλαὶ ἕτεραι τοπικαὶ μέχρις 24 ἐν τῇ Δύσει. Ἐκ δὲ τῶν Διδασκάλων τῆς Ἐκκλησίας τῶν ἀγωνισαμένων ὑπὲρ τῆς ἀληθοῦς διδασκαλίας κατὰ τῆς αἱρέσεως ταύτης, ἰδίως διέπριψεν ὁ Αὐγουστῖνος. Τὴν δὲ τοῦ Πελαγίου ψευδοδιδασκαλίαν κατὰ τοὺς μετὰ ταῦτα χρόνους ἐπανέλαβον οἱ Σωκινιανοὶ καὶ οἱ Ἀρμινιανοί.

καὶ ἐν ἁμαρτίαις ἐκίσσησέμε ἡ μήτηρ μου (ψαλ. 50, 7). Καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης διδάσκει, ὅτι, ἵνα γέννηταί τις τέκνον Θεοῦ, ὀφείλει γεννηθῆναι, οὐχὶ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ (Ἰωάν. 1, 13). Καὶ ὁ Ἀπόστολος Παῦλος λέγει· ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ (τουτέστιν ἐν τῇ σαρκίμου) ἀγαθὸν (Ῥωμ. 7, 18), καὶ θεμελιοῖ ἐπὶ τῆς ἀληθείας ταύτης τὸ ἀναγκαῖον τῆς ἐνσαρκώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἵνα διὰ τούτου ἐν αὐτῇ τῇ ῥίζῃ καθάρῃ τὴν ἡμετέραν φύσιν. « Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ (Ῥωμ. 8, 3).

§ 145. *Τὸ καθολικὸν τῆς ἁμαρτίας.*

Μεταδαῖνον ἀπὸ τῶν γονέων εἰς τὰ τέκνα διὰ τῆς γεννήσεως τὸ προπατορικὸν ἁμάρτημα περιλαμβάνει ἀναμφιβόλως ἅπαν τὸ ἀνθρώπινον γένος· διότι πάντες εἰσὶν ἐξ Ἀδάμ. Ὁ Ἀπόστολος Παῦλος λέγει « Ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ· πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ » (Ῥωμ. 3, 19. 23). Διὰ τοῦτο ὁ ψαλμῳδὸς ἀναβοᾷ πρὸς τὸν Θεόν. « Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν» (ψαλ. 129, 3. 142, 2). Ἐκ πάντων ὅμως τῶν ἀπογόνων τοῦ Ἀδὰμ ἐξαιρεῖται μόνος ὁ Ἰησοῦς Χριστὸς διότι οὗτος ἐστὶν οὐχὶ ἁπλοῦς ἄνθρωπος, ἀλλὰ θεάνθρωπος, καὶ ἐγεννήθη ἄνευ ἀνδρὸς τῇ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος ἐκ τῆς Ὑπερευλογημένης καὶ Παναμώμου Παρθένου, ἣν ἡ θεία χάρις πρότερον ἤδη ἀπέπλυνεν ἀπὸ παντὸς ῥύπου τῆς ἁμαρτίας, ἵνα ἐξ Αὐτῆς λάβῃ ὁ Υἱὸς τοῦ Θεοῦ καθαρὰν ἀνθρωπίνην

φύσιν πρὸς σωτηρίαν ἡμῶν. Διὸ ἀπ' αὐτῶν ἤδη τῶν χρόνων τοῦ Ἀβραὰμ, ἐξελέξατο ὁ Θεὸς καὶ ἰδίως καὶ ἑκατονταπλασίως ἐκάθαιρε τὴν μόνην γενεὰν ἐν τῷ ἀνθρωπίνῳ γένει, τοὺς προγόνους τῆς Ὑπεραγίας Παρθένου Μαρίας. Διὰ τοῦτο καὶ ὁ Ἀρχάγγελος Γαβριὴλ, εὐαγγελιζόμενος Αὐτῇ τὴν ἄσπορον σύλληψιν τοῦ Ἰησοῦ Χριστοῦ, ἀπεκάλεσεν Αὐτὴν Κεχαριτωμένην (τουτέστι πλήρη χάριτος). Καὶ οἱ Ἅγιοι Πατέρες τῆς Ἐκκλησίας ἀποδιδόασιν Αὐτῇ τὰ ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων. « Ὅλη καλὴ εἶ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. » (4, 7.). Ὁ δὲ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς καλεῖ *Αὐτὴν Παράμωμον στέρμα τοῦ Ἰωακὶμ, παράγιον βρέφος τῆς Ἄννης.*(1). Ἡ δὲ Ἁγία ἡμῶν Ἐκκλησία καθαρωτάτην καὶ μόνην καθαράν, Ἄχραντον, ἀμόλυντον παλάτιον, παράμωμον κατοικητήριον (2).

§ 146. *Ἡ συνεχὴς διάρκεια.*

Τὸ προπατορικὸν ἁμάρτημα, ἤτοι τὰ ἐπακολουθήματα αὐτοῦ διατελοῦσιν ὑπάρχοντα ἀδιαλείπτως ἐν τῷ ἀνθρώπῳ, μὴ δυναμένων ἐξαφανίσαι τὰ λείψανα αὐτῶν ἐξ ὁλοκλήρου, οὔτε ἀνατροφῆς, οὔτε παιδείας, οὔτε ποινῆς, οὔτε ἀμοιβῶν. Παρὰ πᾶσι πάσης τάξεως καὶ ἡλικίας ἔχει ἴδιον χαρακτῆρα, φέρει ἰδίους καρπούς. Καὶ ἐν αὐτῷ τῷ θηλάζοντι νηπίῳ φθόνος, καὶ πεῖσμα καὶ κακία, καὶ ἡ πρώτη συναίσθησις τῆς ζωῆς ἐν τῷ βρέφει ἐκφράζεται διὰ γοερᾶς καὶ κλαυθμηρᾶς φωνῆς. Διὰ τοῦτο ἡ Ἁγία Γραφὴ λέγει. « πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ, πάντας τὰς ἡμέρας » (Γεν. 6, 5). Καὶ Ὁ Ἅγιος Ἀπόστολος Παῦλος διὰ τοῦ ἰδίου παραδείγματος μαρτυρεῖ, ὅτι τὰ λείψανα τοῦ προπατορικοῦ ἁμαρτήματος ὑπάρχουσι καὶ ἐν τοῖς ἀναγεννηθεῖσιν ἀνθρώποις, ἀναμι-

(1) Λόγος εἰς τὴν Γέν. τῆς Ὑπερ. Θεοτόκου.

(2) Ἀκολουθ. εἰς τὸ Γενέσ. τῆς ὑπερ. Θεοτόκου.

μνήσκοντα τῷ ἀνθρώπῳ, ὅτι ἡ σωτηρία ἡμῶν ἐξαρτᾶται ἐκ τῆς ὑπερβολῆς τῆς δυνάμεως τοῦ Θεοῦ καὶ οὐκ ἐξ ἡμῶν (2 Κορ. 4, 7. Ῥωμ. 7, 14—25).

§ 147 *Τὸ περιεκτικὸν τῆς ἁμαρτίας.*

Τὸ προπατορικὸν ἁμάρτημα χωρεῖ δι' ἁπάσης τῆς ἀνθρωπίνης οὐσίας, οὐδὲν σῶον καὶ ἀβλαβὲς καταλεῖπον. Καὶ δὴ α)βλάπτει *τὴν ψυχήν*. Καὶ ἐν μὲν τῷ νῷ αἴτιον τῆς τυφλώσεως, βραδύτητος καὶ περιορισμοῦ τῆς γνώσεως, ὥστε, κατὰ τοὺς λόγους τοῦ Σοφοῦ « καὶ μόγις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου· τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασε (Σοφ. 9, 16); Ἐντεῦθεν δὲ αἱ πλάναι, προλήψεις, ἀπιστία καὶ δεισιδαιμονία. *Ἐν δὲ τῇ θελήσει* αἴτιον τῆς φιλαυτίας, ἥτις ἐστὶ τὸ κύριον ἐλατήριον τῆς ἐνεργείας τοῦ μὴ ἀναγεννηθέντος ἀνθρώπου, αἴτιον ἅμα τῆς βραδύτητος πρὸς τὸ ἀγαθὸν καὶ ταχύτητος πρὸς τὸ κακόν. *Ἐν δὲ τῷ αἰσθήματι ἤτοι καρδίᾳ* αἴτιον τῆς ἀποστροφῆς καὶ ἀναισθησίας πρὸς τὸ πνευματικὸν, τῆς ῥοπῆς πρὸς τὸ αἰσθητὸν καὶ σαρκικὸν, ὥστε, κατὰ τὸν λόγον τοῦ Σωτῆρος, ἐκ τῶν μυχῶν τῆς καρδίας ἐξέρχεται πᾶν κακὸν καὶ ἀκάθαρτον (Ματ. 15, 19). *Ἡ δὲ ἐλευθερία* τοῦ ἀνθρώπου, τὸ μέγιστον πλεονέκτημα αὐτοῦ, δέδεται ἀλλοτρίαις ὀρέξεσιν, καὶ ὁ ἄνθρωπος πολλάκις καθίσταται *δοῦλος τῆς ἁμαρτίας* (Ἰωαν. 8, 34). Αὐτὴ ἡ *συνείδησις* ἁμαρτάνει ἀγνοοῦσα τὸν νόμον, μὴ ὁμολογοῦσα τὴν εὐθύνην, σιωπῶσα ὅτε ἀναγκαία ἡ ὁμολογία.

β) Βλάπτει τὸ σῶμα τὸ προπατορικὸν ἁμάρτημα, αἴτιον γινόμενον τῆς παρὰ φύσιν δεσποτείας αὐτοῦ ἐπὶ τῆς ψυχῆς· διὸ πολλάκις καθίσταται μέγιστον βάρος ταῖς ψυχικαῖς δυνάμεσι καὶ κωλύει τὴν δραστικὴν ἐνέργειαν αὐτῶν. « φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχὴν, λέγει ὁ Σοφὸς, καὶ *βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα* (Σοφ. 9, 15). Μάλιστα δὲ

φανερὰ ἴχνη τῆς βλάβης τοῦ σώματος εἰσὶ τὰ ἀναρίθμητα εἴδη τῶν νόσων, ἅτινα καταβιβρώσκουσι τὴν ζωὴν τοῦ ἀνθρώπου, καὶ τὸ τέλος τούτων θάνατος, καὶ φθορὰ, καὶ ἀποσύνθεσις.

§ 148. *Ἡ δύναμις.*

Ἔστι δὲ τὸ προπατορικὸν ἁμάρτημα ἐν τῇ ἡμετέρᾳ φύσει οὐχὶ ἀρνητικόν τι, οἷον ἔλλειψις γνώσεως, καὶ ἀσθένεια δυνάμεων, ἀλλ' ἔστι θετικὴ ῥοπὴ πρὸς τὸ κακὸν καὶ πραγματικὴ κακὴ ἐν ἡμῖν ἀρχή. Ὁ Ἅγιος Ἀπόστολος Παῦλος ἐκφράζει τὴν δύναμιν αὐτοῦ, καλῶν *νόμον αἰχμαλωτίζοντα* ἡμᾶς ἄκοντας τῇ ἐξουσίᾳ τῆς ἁμαρτίας, τότε, ὅτε τὸ *θέλειν τὸ καλὸν παράκειται ἡμῖν, καὶ ἀρχὴν ζῶσαν καὶ ἐνεργοῦσαν* ἐν τῷ ἀνθρώπῳ (Ῥωμ. 7, 14=25). Τοσοῦτον δὲ βλάπτει καὶ φθείρει τὴν ἡμετέραν φύσιν, ὥστε ὅμοιος ὁ ἄνθρωπος πεπτωκότι καὶ πληγὰς λαβόντι, καὶ μὴ δυναμένῳ ἐγερθῆναι, ἥκιστα δὲ βαδίζειν ἄνευ θεραπείας καὶ στηριγμάτων. Ἡ δύναμις δὲ τῆς ἁμαρτίας ταύτης αὐξάνει ἐν τῷ ἀνθρώπῳ συνεργοῦντι καὶ αὐτῷ τοσοῦτον, ὥστε καθίσταται κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, *νεκρὸς*, τουτέστιν ὅλως ἀνίκανος πρὸς τὸ ἀγαθὸν (Ἐφ' 2, 5), καὶ ὅλως ἀνίατον τραῦμα, ὥστε κατὰ τὸν Προφήτην « οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους » (Ἡσ. 1,6).

§ 149. *Τὰ λείψανα τοῦ ἀγαθοῦ.*

Καὶ ὅμως ἡ ἀνθρωπίνη φύσις οὐ μετεβλήθη ὅλως εἰς ἐντελῆ ἁμαρτίαν, ἀλλὰ διετήρησε τὴν ἑαυτῆς οὐσίαν, φέρουσα ἀνεξάλειπτα τὰ ἴχνη τῆς εἰκόνος τοῦ Θεοῦ, καί τοι ἐπισκοτισθέντα ἐν τοῖς ἀπογόνοις μᾶλλον τῶν προπατόρων. Ἡ ψυχὴ οὐκ ἀπώλεσε τὴν πνευματικὴν αὐτῆς οὐσίαν καὶ μέρος τῆς ἐλευθέρας αὐτῆς θελήσεως, ὥστε εἰ καὶ οὐχὶ πάντοτε δύναται

ποιεῖν τὸ ἀγαθὸν, ἀλλὰ τοὐλάχιστον δύναται *θέλειν* (Ῥωμ. 7, 1). Διὰ τοῦτο καὶ ἦσαν νόμοι παρὰ τοῖς ἀνθρώποις, καὶ αὐτοὶ οἱ ἐθνικοὶ, κατὰ τοὺς λόγους τοῦ Ἀποστόλου Παύλου, *α φύσει τὰ τοῦ νόμου ποιοῦσιν* (Ῥωμ. 2, 14). Πρὸς τούτοις παρέμεινε τῷ ἀνθρώπῳ ὁ νοῦς καὶ ὁ νόμος αὐτοῦ ἡ ζήτησις *τῆς ἀληθείας* (Ῥωμ. 1, 20)· ἔμεινεν ἡ θέλησις καὶ ὁ νόμος αὐτῆς, *ἡ ἀγάπη πρὸς τὸ ἀγαθὸν* (Ῥωμ. 2, 14. 15)· ἔμεινεν *ἡ συνείδησις ἡ ἡσυμφάσκουσα τῷ Νόμῳ* (Ῥωμ. 7, 16), καὶ καταδικάζουσα τὴν παράβασιν αὐτοῦ (Αὐτόθι. 2, 15)· Ἔμεινε *τὸ αἴσθημα* καὶ ὁ νόμος αὐτοῦ ἡ *τῆς μακαριότητος δίψα*. Διὰ τοῦτο διεσώθη ἐν τῷ ἀνθρωπίνῳ γένει καὶ ἡ *θρησκεία*, καὶ ἡ ἀνάγκη αὐτῆς ἔμφυτος τῷ ἀνθρώπῳ. Διὰ τοῦτο καὶ ἐν τῷ μυστηρίῳ τῆς ἀπολυτρώσεως οὐκ ἐπλάσθη νέα ἀνθρωπίνη φύσις, ἀλλ' ἡ αὐτὴ *ἀνακαινισθεῖσα καὶ ἀνεγερθεῖσα ἐπηνορθώθη*.

§ 150. *Ἡ εὐθύνη.*

Ὅτι δὲ τῷ προπατορικῷ ἁμαρτήματι ὑπεύθυνος ὁ ἄνθρωπος δῆλον ἐκ τῆς Ἁγ. Γραφῆς, ἥτις ἀποκαλεῖ τὴν ἁμαρτίαν ταύτην *ἔχθραν κατὰ τοῦ Θεοῦ* (Ρωμ. 5, 10), καὶ ῥητῶς λέγει, ὅτι πάντες *ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ* (Ρωμ. 3, 23). *Πάντες τέκνα φύσει ὀργῆς* (Ἐφεσ. 2, 3), *οὐ δύνανται ἰδεῖν τὴν Βασιλείαν τοῦ Θεοῦ* (Ἰωάν. 3, 3. 6), ἀλλ' ὑπόκεινται *τῇ σκοτεινῇ Ἐξουσίᾳ τοῦ Διαβόλου* (Κολ. 1, 13. ἐφεσ, 2, 2. 13). Ὑπεύθυνοι δ' ἐσμὲν τῷ προπατορικῷ ἁμαρτήματι· α) οὐχὶ διὰ τὴν ἁμαρτίαν αὐτὴν τοῦ Ἀδὰμ, ἀλλὰ διὰ τὴν συνέπειαν αὐτῆς, τὸ προπατορικὸν δηλονότι ὀφείλημα, ὅπερ τὰ τέκνα φυσικῶς ἀναλαμβάνουσιν, λαμβάνοντα μετὰ τῆς ζωῆς καὶ πάντα τὰ δικαιώματα τοῦ προπάτορος.

β) Ὑπεύθυνοι δὲ καὶ διὰ τοῦτο, διότι ὁ ἀρχικὸς δεσμὸς τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου ἦν Διαθήκη, ἐν ᾗ ὁ Ἀδὰμ ἀντικαθίστα πάντας ἡμᾶς, ἄρα καὶ παραβὰς αὐτὴν παρέβη καὶ ἐκ

πάντων ἡμῶν. γ) Ἐσμὲν δ' ὑπεύθυνοι οὐχὶ, ὥσπερ ἂν εἰ ἦν τοῦτο θετικὴ ἐκδίκησις τοῦ Θεοῦ, ἀλλὰ διότι ἐστὶ πραγματικὴ διαφθορὰ τῆς ἡμετέρας φύσεως, καὶ διὰ τοῦτο ὁ ἄνθρωπος φύσει ἀπαρέσκει τῷ Θεῷ, ἀνίκανος ὢν πρὸς χρῆσιν τῶν θείων δώρων, ὡς ὁ ὀφθαλμιῶν ἀσθενὴς πρὸς τὸ φῶς, ὁ ἐστερημένος ὀρέξεως οὐ μεταλαμβάνει τροφῆς, ὁ λεπρὸς στερεῖται τῆς κοινωνίας τῶν ἀνθρώπων.

§ 151. *Τὸ ἀνίσχυρον τοῦ ἀνθρώπου*

Ὑποκείμενος φύσει τῇ προπατορικῇ ἁμαρτίᾳ πᾶς ὁ ἐξ Ἀδὰμ, ὑπόκειται ἅμα ἀναγκαίως καὶ πάσαις ταῖς συνεπείαις αὐτῆς, ἤτοι τῇ κατάρᾳ καὶ τῷ θανάτῳ, ὅλως ἀνίσχυρος ὤν, ὅπως ἀπαλλαγῇ ἰδίαις δυνάμεσιν. Τοῦτο δὲ μαρτυρεῖ ἡ μακρὰ πεῖρα παντὸς τοῦ ἀνθρωπίνου γένους. Διότι δι' ὅλων αἰώνων, οὐ μόνον πάντα ποιήσας ὁ ἄνθρωπος οὐδόλως ἑαυτὸν ἐπηνόρθωσεν, ἀλλὰ καὶ, προϊόντος τοῦ χρόνου, μᾶλλον διεφθείρετο καὶ ἔβαινεν εἰς τὴν παντελῆ ἀπώλειαν. Τὸ ἀνίσχυρον δὲ τοῦτο συνίσταται ἐν τούτῳ, ὅτι ὁ ἄνθρωπος α) οὐ δύναται, ὅπως ἱκανὰ ποιήσῃ ἰδίαις δυνάμεσι τῇ δικαιοσύνῃ τοῦ Θεοῦ, διά τε τὸ προπατορικὸν ἁμάρτημα, καὶ διὰ τὰς ἰδίας ἁμαρτίας, αἵτινες διὰ τὴν πρώτην κατέστησαν ἀναπόφευκτοι, καὶ ἑπομένως ὑπόκειται πάντοτε τῇ καταδίκῃ ταύτῃ. α Ἐπικατάρατος πᾶς ὁ ἄνθρωπος, ὅστις οὐκ ἐμμενεῖ ἐν πᾶσι τοῖς λόγοις τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτοὺς » (Δευτ. 27, 26). β) Οὐ δύναται ἰδίαις δυνάμεσι διορθοῦν ἑαυτὸν, ἐπειδὴ διὰ τὴν ἁμαρτίαν μακρὰν ἐστὶ τῆς πηγῆς τοῦ φωτὸς, δυνάμεως καὶ ζωῆς, τουτέστι τῆς μετὰ τοῦ Θεοῦ ἑνώσεως· γ) Ἀδυνατεῖ τέλος, ὅπως νικήσῃ τὸν ἀρχηγὸν τῆς ἁμαρτίας διάβολον, καὶ ἀπαλλαγῇ τῆς σκοτεινῆς ἐξουσίας αὐτοῦ, ἅμα δὲ καὶ ἐξαλείψῃ τὰ ὀλέθρια ἐπακολουθήματα τῆς ἁμαρτίας, τὰ ἐν τῇ φύσει. Διότι οὐκ ἐδημιούργησεν ὁ ἄνθρωπος αὐτήν.

Οὕτω δὲ ἡ πρωτόγονος ἁμαρτία τίθησιν ἄῤῥηκτον μεσότοιχον μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, καὶ ἡ ἐπανάληψις τοῦ δεσμοῦ μετὰ τοῦ Θεοῦ ὅλως ἀδύνατος τοῖς ἀνθρώποις μόναις ταῖς ἰδίαις δυνάμεσιν ἀφεθεῖσιν.

— —

ΚΕΦΑΛΑΙΟΝ Β'.

Διδασκαλία περὶ τῆς ὑπὸ χάριν καταστάσεως τοῦ ἀνθρώπου.

§ 152. *Ἡ ἀνάγκη τῆς Θείας βοηθείας πρὸς σωτηρίαν τοῦ ἀνθρώπου.*

Μετὰ τὴν παράβασιν ὑπὸ τοῦ ἀνθρώπου τῆς διαθήκης μετὰ τοῦ Θεοῦ, καὶ τὴν διαφθορὰν ἁπάσης τῆς φύσεως, καὶ τὴν εὐθύνην ἐνώπιον τοῦ Θεοῦ, ὑπελείπετο δυοῖν θάτερον, ἢ ὤφειλεν ὁ ἄνθρωπος αἰωνίως ἀπόλλυσθαι ὑπὸ τὴν κρίσιν καὶ ὀργὴν τοῦ Θεοῦ, ἢ αὐτὸς ὁ Θεὸς ὤφειλεν ἐπινοῆσαι ὑπερφυσικὸν μέσον πρὸς σωτηρίαν τοῦ ἀνθρώπου.—

§ 153. *Ἡ περὶ τούτου Βουλὴ τοῦ Θεοῦ.*

Ὁ Θεὸς ηὐδόκησεν, ὅπως ἐκλέξῃ τὸ τελευταῖον. Διότι *οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ* (*Ἰεζ.* 33, 11), *ἀλλὰ πάντας θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν* (1 *Τιμ.* 2, 4). Διὰ τοῦτο ἤδη *πρὸ καταβολῆς κόσμου*, ὡς λέγει ὁ Ἀπόστολος (Ἐφεσ. 1, 4), ὅτε διελογίζετο περὶ τῆς δημιουργίας τοῦ ἀνθρώπου, ηὐδόκησεν καὶ ὅπως σώσῃ αὐτὸν, πτώσεως τυχούσης, καὶ προώρισε τὸ πρὸς τοῦτο μέσον. Ἡ προαιώνιος δ' αὕτη καὶ πλήρης ἀνεξιχνιάστου σοφίας τριαδικὴ

βουλὴ τοῦ Θεοῦ περὶ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους καὶ ὁ προορισμὸς τοῦ εἰς τοῦτο μέσου, καλεῖται ἐν τῇ Ἱερᾷ Γραφῇ *βουλὴ* τοῦ Θιοῦ (Πράξ. 2, 23), *πρόγνωσις καὶ προορισμὸς* (Ρωμ. 8, 20), *μυστήριον τοῦ θελήματος τοῦ Θεοῦ* (Ἐφ, 19), *μυστήριον χρόνοις αἰωνίοις σεσιγημένον* (Ρωμ. 16, 24), *μυστήριον ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν ἐν τῷ Θεῷ* (*Κολ.* 1, 26), καὶ *ἀποκεκρυμμένον μάλιστα ταῖς ἀρχαῖς καὶ ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις* (Ἐφ. 3, 9. 10, 1 Πετρ. 1, 19. 20).

§ 154. *Ἐλατήριον*

Τὸ ἐλατήριον εἰς τὴν πανάγαθον ταύτην βουλὴν τοῦ Θεοῦ ἦν α) ἡ ἀγάπη τοῦ Τρισυποστάτου Θεοῦ πρὸς τὴν ἰδίαν αὐτοῦ οὐσίαν, ἥτις καὶ προέτρεψεν Αὐτὸν, ὅπως φανερώσῃ τὴν δόξαν Αὐτοῦ ἐν τῇ δημιουργίᾳ, πολῷ δὴ μᾶλλον ἐν τῇ ἀπολυτρώσει τοῦ ἀνθρώπου. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος Παῦλος λέγει, ὅτι ὁ Θεὸς ηὐδόκησεν, ἵνα ἐξαγοράσῃ ἡμᾶς ἰδίως *εἰς ἔπαινον τῆς δόξης Αὐτοῦ* (Ἐφεσ. 1, 6. 12 14), καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ἄγων εἰς πέρας τὸ ἔργον τῆς σωτηρίας ἡμῶν ἔλεγε· « νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν Αὐτῷ (Ἰωάν. 13, 31), καὶ ηὔξατο τῷ Πατρὶ « Ἐγώ Σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω (Ἰωάν. 17, 4). β) Ἡ ἄπειρος ἀγάπη τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον » (Ἰωάν. 3, 16). « Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ· ἵνα ἐνδείξηται τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ (Ἐφ. 2, 4· 5. 7).

§ 155. *Οἱ ἀναγκαῖοι ὅροι πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου.*

Εἰ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ ἡ εὐδοκίσασα σῶσαι τὸν ἄνθρωπον ἄπειρος καὶ ἐλεύθερα, ἀλλ' ἅμα καὶ ἡ ἁγιότης δικαιοσύνη καὶ σοφία τοῦ Θεοῦ ἄπειροί εἰσιν· διὰ τοῦτο τὸ ἔργον οὐκ ἠδύνατο τελεσθῆναι ἁπλῶς, καὶ ἀδύνατον ἦν, ὅπως σωθῇ ὁ ἄνθρωπος ἄνευ τινὸς ὅρου. ὡς δ' ἐν πάσαις ταῖς ἐνεργείαις τοῦ Θεοῦ, οὕτω καὶ ἐνταῦθα ὤφειλον ὅπως, *ἔλεος καὶ ἀλήθεια συναντηθῶσι, δικαιοσύνη καὶ εἰρήνη καταφιληθῶσι*, κατὰ τοὺς λόγους τοῦ ψαλμῳδοῦ (84, 11) Οὕτω δὲ, ἵνα διὰ τῆς σωτηρίας τῶν ἀνθρώπων μὴ λυθῇ ἡ ἁρμονία ἡ ἐν τῇ ἀγάπῃ, ἁγιότητι, δικαιοσύνῃ καὶ σοφίᾳ τοῦ Θεοῦ, ἀναγκαῖον· α) ἵνα σώζηται ἡ αἰώνιος δικαιοσύνη τοῦ Θεοῦ, προσφερομένης αὐτῇ τοιαύτης θυσίας, οἵα ἦν καὶ ἡ βαρεῖα εὐθύνη τοῦ ἀνθρωπίνου γένους, καὶ δυναμένης ἐξαγοράσαι ἁπάσας τὰς ἁμαρτίας πάντων ἐν γένει τῶν ἀνθρώπων. β) Ὅπως διορθωθῇ ἡ ἀνθρωπίνη φύσις, καὶ ἀποδοθῇ αὐτῇ ἡ πρώτη τελειότης καὶ ὁμοίωσις τῷ Θεῷ καὶ προσενεχθῇ αὐτῇ φῶς, δύναμις καὶ ζωὴ, ὧν ἐστερήθη διὰ τῆς ἁμαρτίας. γ) Ὅπως, καταλυθέντων τῶν ἔργων τοῦ διαβόλου καὶ κατανικηθέντες αὐτοῦ κατὰ κράτος, ἐξαλειφθῶσι πάντα τὰ ἴχνη τῆς ἁμαρτίας τὰ ἐν τῷ κόσμῳ, *εἰς οἰκονομίαν τοῦ πληρώματος καὶ ἀνακεφαλαίωσιν τῶν πάντων*, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου (Ἐφ. 1, 10. 22. 23).

§ 156. *Ἡ Μεσιτεία τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὡς μέσον πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου.*

Ἐπειδὴ οὐδεὶς ἄνθρωπος, ὡς ἀπόγονος τοῦ πεπτωκότος Ἀδὰμ, ἠδύνατο ἀφ' ἑαυτοῦ ἐκπληρῶσαι ὅρον τινα τούτων οὐ μόνον ὑπὲρ παντὸς τοῦ ἀνθρωπίνου γένους, ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ μόνου, δῆλον ἄρα, ὅτι πρὸς τοῦτο ἦν ἀναγκαία ἄλλη

μεσιτεία ἱκανὴ εἰς ἀντικατάστασιν τοῦ ἀνθρώπου. Τίς δ' αὕτη; Ἡ θεία ἀποκάλυψις ἀναγγέλει ἡμῖν, ὅτι *οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς* (Ἡσ. 63, 9)· ἤτοι τὸ δεύτερον πρόσωπον τῆς ὑπεραγίας Τριάδος, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον » (Ἰωάν. 3, 16).

§ 157. *Διαθήκη τοῦ Θεοῦ Πατρὸς μετὰ τοῦ Θεοῦ Υἱοῦ περὶ σωτηρίας τοῦ ἀνθρώπου.*

Οὕτω δὲ προηγήθη τῆς καταλλαγῆς, καὶ δευτέρας διαθήκης τοῦ Θεοῦ μετὰ τοῦ πεπτωκότος ἀνθρώπου, ἡ μεσιτεία τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, ἐν τῇ αἰωνίᾳ βουλῇ τῆς Ἁγίας Τριάδος, καὶ ἡ διαθήκη τοῦ Θεοῦ Πατρὸς μετ' αὐτοῦ, ἐν ᾗ ὁ Θεὸς καὶ Πατὴρ ηὐδόκησεν, ὅπως σώσῃ τὸν ἄνθρωπον, καὶ ἔδωκε τῷ Υἱῷ τοῦ Θεοῦ ἐντολήν, ὅπως ἐκπληρώσῃ τὴν βουλὴν ταύτην, ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ἐδέξατο τὴν ἐντολὴν ταύτην καὶ ἔγνω, ὅπως ἐκπληρώσῃ τὸ θέλημα τοῦ Πατρός. Τὴν διαθήκην δὲ ταύτην τοῦ Θεοῦ Πατρὸς μετὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐξεικονίζει ὁ Προφητάναξ Δαβὶδ ἐν τῷ 39ῳ ψαλμῷ, ἔνθα παρίστησι τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντα τῷ Πατρί. « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας. Τότε εἶπον, ἰδοὺ ἥκω ... τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου· (πρβλ. Ἑβρ. 5, 1—9), Καὶ ὁ Προφήτης Ἡσαΐας. «Ἡ παιδεία Κυρίου ἀνοίγει τὰ ὦτα μου. Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν Μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων (50, 2—7).

Τῆς διαθήκης δὲ ταύτης πολλάκις μνημονεύει καὶ αὐτὸς ὁ

Υἱὸς τοῦ Θεοῦ. « Ἐγὼ τίθημι τὴν ψυχήν μου ὑπὲρ τῶν προβάτων, ἵνα πάλιν λάβω αὐτήν. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ Πατρός μου. Ὁ Πατὴρ ἔδωκέ μοι ἐντολήν, τί εἴπω καὶ τί λαλήσω. Καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν (Ἰωαν 10, 17. 18. 12, 49. 50. 14, 31). Διὰ τοῦτο ὁ Υἱὸς τοῦ Θεοῦ καὶ καλεῖται Μεσίτης ἡμῶν (1 Τιμ. 2, 15), *ἔγγυος Καινῆς Διαθήκης* (Ἑβρ. 7, 22. 8, 6), καὶ νέος Ἀδάμ, τουτέστι ἀντιπρόσωπος τοῦ ἀνθρωπίνου γένους ἐν τῇ Καινῇ Διαθήκῃ (1 Κορ. 15, 45).

§ 158. *Δευτέρα Διαθήκη τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου, ἤτοι Διαθήκη τῆς Χάριτος.*

Ἐπὶ τῆς ἐσωτερικῆς ταύτης διαθήκης τοῦ Θεοῦ Πατρὸς μετὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ περὶ τῆς σωτηρίας τοῦ ἀνθρώπου θεμελιοῦται ἡ δευτέρα ἐπανελειφθεῖσα διαθήκη τοῦ Θεοῦ μετὰ τοῦ πεπτωκότος ἀνθρώπου. Ἡ διαθήκη δ' αὕτη ἀποκαλεῖται διαθήκη τῆς χάριτος· διότι ἐν αὐτῇ εἰς ὕψιστον βαθμὸν ἀπεκαλύφθη ἡ ἄπειρος καὶ ἀνέκφραστος ἀγάπη, εἴτε κατὰ τὴν ἔκφρασιν τοῦ Ἀποστόλου *ὁ περισσεύων πλοῦτος τῆς χάριτος* τοῦ Θεοῦ Πατρὸς, τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ Πνεύματος τοῦ Ἁγίου πρὸς τὸν ἄνθρωπον, φανερωθείσης οὐ μόνον δωρεὰν, ἀλλὰ καὶ ὅτε ἤδη ὁ ἄνθρωπος ἦν ἀνάξιος ταύτης, ὑπέκειτο δὲ ὡς ἁμαρτωλὸς, τῇ ὀργῇ καὶ τῇ κρίσει τοῦ Θεοῦ (Ῥωμ. 5, 8. Ἐφεσ. 1, 7. 2, 4. 5). Διακρίνεται δὲ τῆς πρώτης διαθήκης διὰ τοῦτο, ὅτι ἡ πρώτη ἦν διαθήκη *ὁράσεως* καὶ ἀμέσου μετὰ τοῦ Θεοῦ κοινωνίας. Αὕτη δ' ἐστὶ διαθήκη *πίστεως* εἰς τὸν Μεσίτην τῆς σωτηρίας· ἐκεῖ ἦν πραγματικὴ *ἀπόλαυσις* τῆς μακαριότητος τοῦ παραδείσου, ἐνταῦθα δὲ μόνον *ἐλπὶς* εἰς μέλλουσαν μακαριότητα. Ἐν τούτοις ἡ δευτέρα διαθήκη ἔχει καὶ τὰ ἴδια πλεονεκτήματα. Ἐκεῖ ἀντὶ ἡμῶν ὁ Ἀδάμ· ἐνταῦ-

θα ὁ *Υἱὸς τοῦ Θεοῦ· ἐκεῖ ἦν παράδεισος ἐλεγεῖος, ἐνταῦθα* ἐπαγγέλλεται *οὐράνιος* (Ἰωάν. 14, 2, 3). Οὕτω δὲ ἡμεῖς διὰ τὴν ἀνέκφραστον ἀγάπην τοῦ Θεοῦ ἐλάβομεν ἐν τῇ ἐξαγορᾷ οὐκ ἔλαττον τοῦ ἐν τῇ πτώσει ἀπολεσθέντος.

§ 159. *Τὸ Καθολικὸν τῆς Διαθήκης τῆς Χάριτος.*

Ἡ Διαθήκη τῆς χάριτος ἐστὶ διαθήκη καθολικὴ, τουτέστιν ἐπεκτείνεται ἐφ' ἅπαντας ἀνεξαιρέτως τοὺς ἀπογόνους τοῦ Ἀδὰμ παντὸς χρόνου καὶ ἔθνους. Διὰ τοῦτο καὶ τὰ μέσα τῆς χάριτος πρὸς σωτηρίαν προητοιμάσθησαν, προωρίσθησαν καὶ μεταδίδονται τοῖς πᾶσι. Τοῦτο δὲ α) ῥητῶς βεβαιοῖ ἡ Ἁγία Γραφὴ, διδάσκουσα, ὅτι *ὁ Θεὸς πάντας ἀνθρώπους θέλει σωθῆναι* (1 Τιμ. 2, 4). *οὐ γὰρ ἔστι προσωληψία παρ' αὐτῷ καὶ οὗτός ἐστι Θεὸς οὐχὶ Ἰουδαίων μόνον ἀλλὰ καὶ ἐθνῶν* (Ῥωμ. 2, 11. 3, 29). Ὁμοίως β) τοῦτο ἐπιβεβαιοῖ καὶ ἡ ἀξία αὐτοῦ τοῦ Μεσίτου τῆς σωτηρίας ἡμῶν. Διότι οὗτος οὐκ ἔστιν ὡς ἡμεῖς δημιούργημα, ἀλλ' αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ· ἄρα ἡ ἀξιομισθία Αὐτοῦ ἱκανὴ πρὸς σωτηρίαν παντὸς τοῦ κόσμου καὶ πάντων τῶν ἀνθρώπων. Διὰ τοῦτο καὶ λέγει ὁ Ἀπόστολος Παῦλος. « Ἀλλ' οὐχ' ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν » (Ῥωμ. 5, 15 . . . .). γ) Καὶ Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς διδάσκει πανταχοῦ, ὅτι ἦλθε σώσων ἅπαντα τὸν κόσμον (Ἰαν. 3, 16. 17). Καὶ ὁ Ἀπόστολος Ἰωάννης λέγει περὶ Αὐτοῦ, ὅτι αὐτὸς *ἱλασμός ἐστι οὐ περὶ τῶν ἡμετέρων ἁμαρτιῶν μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.* (1 Ἰωαν. 2, 2). Διὸ καὶ ἀπεστάλησαν οἱ Ἀπόστολοι κηρύξοντες τὸ Εὐαγγέλιον *εἰς τὸν κόσμον ἅπαντα, πᾶσι τοῖς ἔθνεσι καὶ πάσῃ τῇ κτίσει* (Ματθ. 28, 19. Μαρκ. 16, 15). Ὅτι δ

ἀφορᾷ τὴν ἀπιστίαν καὶ τὴν ἀπώλειαν τινῶν, τοῦτο ἀπαντα-χοῦ ἐν τῇ Ἁγίᾳ Γραφῇ ἀποδίδοται οὐχὶ τῷ Θεῷ, ὅπερ, οὕτως ἔχον, ἦν ἂν προορίζειν τοὺς μὲν εἰς σωτηρίαν τοὺς δὲ εἰς ὄλε-θρον, ἀλλὰ τῇ κακίᾳ καὶ σκληροκαρδίᾳ αὐτῶν τῶν ἀνθρώπων (Ματθ. 23, 37. Ἰωαν. 5, 40. Πραξ. 7, 51) Διότι ὁ Θεὸς θέλων πάντας σωθῆναι ἀπαιτεῖ ἅμα καὶ ἑκούσιον πίστιν, καὶ οὐδένα ἄγει εἰς τὴν διαθήκην αὐτοῦ βιάζων καὶ ἀναγκάζων· διότι οὕτω παραβιάζεται ἡ ἐλευθερία τοῦ ἀνθρώπου.

§ 160. *Τάξις τῆς Οἰκονομίας τοῦ Θεοῦ εἰς σωτηρίαν τοῦ ἀνθρώπου.*

Οὕτω δὲ ὁρισθείσης τῆς μεσιτείας τοῦ Υἱοῦ τοῦ Θεοῦ περὶ τῆς σωτηρίας τοῦ ἀνθρώπου ἐν τῇ αἰωνίῳ βουλῇ τῆς Ὑπεραγίας Τριάδος, ὡρίσθη ἅμα καὶ ἡ τάξις τῆς ἀπολυτρώσεως ἣν ὁ Ἀπόστολος Παῦλος ἀποκαλεῖ *οἰκονομίαν Θεοῦ* (Ἐφ. 3, 9). Ἡ οὐσία δὲ τῆς Οἰκονομίας ταύτης ἐστὶν ὅτι, μετὰ τὴν ἀπαι-τουμένην προετοιμασίαν τοῦ ἀνθρωπίνου γένους, τὸ δεύτερον Πρόσωπον τῆς Ὑπεραγίας Τριάδος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ Πατρὸς, ὤφειλεν ἐν ὡρισμένῳ χρόνῳ πρὸς σωτηρίαν ἡμῶν κατελθεῖν ἐξ οὐρανῶν καὶ σαρκωθῆναι ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρω-πῆσαι. Εἶτα δὲ παθεῖν ὑπὲρ ἡμῶν, σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι καὶ ἀνελθεῖν εἰς τοὺς οὐρανοὺς καὶ καθίσαι ἐκ δεξιῶν τοῦ Πατρός. Μετὰ ταῦτα τὸ τρίτον Πρόσωπον τῆς Ὑπεραγίας Τριάδος τὸ Πνεῦμα τὸ Ἅγιον, διὰ τὴν ἀξιομισθίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὤφειλε κατελθεῖν ἐκ τοῦ Θεοῦ Πατρὸς ἐκπορευόμενον καὶ παραμένειν ἀχωρίστως τοῖς πιστοῖς, τῇ δὲ ἰσχύει τῆς χάριτος αὐτοῦ μεταδοῦναι τοῖς ἀνθρώποις τὸ μυ-στήριον τῆς ἀπολυτρώσεως, τὸ τελεσθὲν ὑπὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ· Ὅπως ἐνδελεχῇ δὲ τήρησιν καὶ διαμονὴν ἐπὶ τῆς γῆς τῆς χά-ριτος τῆς σωτηρίας, οἱ πιστεύοντες εἰς τὸν Λυτρωτὴν τῶν ἀν-

θρώπων τὸν Υἱὸν τοῦ Θεοῦ καὶ περιποιητάμενοι ἑαυτοῖς τὴν ἀξιομισθίαν Αὐτοῦ τῇ χάριτι τοῦ Παναγίου Πνεύματος ὀφείλουσιν ἀποτελεῖν μίαν κοινωνίαν τὴν Ἐκκλησίαν, εἴτε τὴν μακαρίαν Βασιλείαν τῆς χάριτος, ἵνα κοινῇ ἀγωνιζόμενοι ἐν τῷ ἔργῳ τῆς σωτηρίας, ἐπιτυχέστερον διανύσωσι τὸ στάδιον τοῦ βίου καὶ ζωῆς αἰωνίου τύχωσιν.

§ 161. *Διαίρεσις τῆς Διδασκαλίας ταύτης.*

Οὕτω δὲ δῆλον ὅτι ἡ διδασκαλία περὶ τῆς οἰκονομίας τῆς χάριτος τοῦ Θεοῦ διαιρεῖται εἰς τὰ ἑπόμενα τέσσαρα 1) περὶ τῆς προπαρασκευῆς τοῦ ἀνθρωπίνου γένους πρὸς τὸ μυστήριον τῆς ἀπολυτρώσεως. 2) Περὶ τῆς τελέσεως τοῦ μυστηρίου τῆς ἀπολυτρώσεως, διὰ τῆς ἐλεύσεως τοῦ Λυτρωτοῦ. 3) Περὶ τῆς μεταδόσεως εἴτε τῆς οἰκειώσεως τῷ ἀνθρώπῳ τοῦ μυστηρίου τῆς ἀπολυτρώσεως. 4) Περὶ τῆς σταθερᾶς καὶ ἀδιαλείπτου ἐξακολουθήσεως τοῦ μυστηρίου τῆς ἀπολυτρώσεως ἐν τῇ στρατευομένῃ Ἐκκλησίᾳ, ἤτοι περὶ τοῦ *Βασιλείου τῆς χάριτος.*

Α΄. Διδασκαλία περὶ τῆς προπαρασκευῆς τοῦ ἀνθρωπίνου γένους πρὸς τὸ μυστήριον τῆς ἀπολυτρώσεως.

§ 162. *Ἡ ἀνάγκη τῆς προπαρασκευῆς τοῦ ἀνθρωπίνου γένους πρὸς ὑποδοχὴν τοῦ Λυτρωτοῦ.*

Εἰ καὶ ἡ ἀπολύτρωσις ὤφειλεν ἐπεκτείνεσθαι ἐπὶ πάντας τοὺς ἀνθρώπους παντὸς χρόνου καὶ γένους· ἀλλὰ, κατ' οἰκονομίαν Θεοῦ, ὁ Λυτρωτὴς ἐπεφάνη τῷ κόσμῳ οὐχὶ εὐθὺς μετὰ τὴν πτῶσιν τοῦ ἀνθρώπου, ἀλλὰ μετά τινας χιλιάδας ἐτῶν

εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ὡς λέγει ὁ Ἀπόστολος (Ἐφεσ. 1, 10) Τοῦτο δὲ, ἵν' ἔχῃ καιρὸν τὸ ἀνθρώπινον γένος ὅπως προπαρασκευασθῇ εἰς ὑποδοχὴν τοῦ Λυτρωτοῦ καὶ οἰκείωσιν ἑαυτῷ τοῦ μυστηρίου τῆς ἀπολυτρώσεως. Ἡ δὲ προετοιμασία αὕτη ὤφειλεν ἐν τούτῳ συνίστασθαι, ὅπως α)ἐκλεκτὴ μερὶς τοῦ ἀνθρωπίνου γένους, οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ, βαθύτερον, κατὰ τὸ δυνατὸν, αἰσθανθῶσι τὴν ἐλεεινὴν κατάστασιν ὑπὸ τὴν ἐξουσίαν τῆς ἁμαρτίας καὶ τοῦ διαβόλου, καὶ οὕτω θερμώτερον ποθήτωσι βοήθειαν καὶ προθυμότερον δέξωνται αὐτὴν, ὅταν δοθῇ. Ἐν δὲ τούτῳ τῷ χρόνῳ καθάρωσιν ἑαυτοὺς, ὅση δύναμις, ἀπὸ τοῦ καλοῦ καὶ τελειωθῶσιν ἐν τῇ ἀρετῇ. β)Ἵνα τὸ μόλυσμα τῆς ἁμαρτίας, βαθέως εἰσδύσαν εἰς τὴν ἀνθρωπίνην φύσιν, φανερωθῇ. Λέγει δὲ περὶ τούτου ὁ Ἅγιος Γρηγόριος ὁ Νύσσης (1), «Ὡς ὁ Ἰατρὸς ἀναμένει ἐκ τῆς νόσου φανέρωσιν, οὕτως καὶ ὁ τοὺς κακῶς ἔχοντας τὴν ψυχὴν ἰατρεύων ἀνέμεινε τὴν ἐκ κακίας νόσον ἢ κατεκρατήθη τῶν ἀνθρώπων ἡ φύσις, πᾶσαν ἐκκαλυφθῆναι, ὡς ἂν μηδὲν τῶν κεκρυμμένων ἀθεράπευτον μείνειε». Καὶ, ὡς λέγει ὁ Ἀπόστολος, *οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις τοῦ Θεοῦ* (Ῥωμ. 5. 20).

§ 163. *Διαίρεσις τῆς Διαθήκης τῆς χάριτος κατὰ χρόνον εἰς Παλαιὰν καὶ Καινήν.*

Ἐν τούτοις ἡ τοσοῦτον βραδεῖα ἔλευσις τοῦ Λυτρωτοῦ οὐδεμίαν ζημίαν ἐπήνεγκε τῇ σωτηρίᾳ τῶν ἀνθρώπων τῶν βιωσάντων πρὸ αὐτοῦ. Διότι, ὡς ἡμεῖς σωζόμεθα νῦν διὰ τῆς πίστεως εἰς τὸν ἐλθόντα Λυτρωτὴν, οὕτω καὶ οἱ πρὸ ἡμῶν ἐσώζοντο, ἢ ἤλπιζον σωτηρίαν διὰ τῆς πίστεως εἰς τὸν ἐρχόμενον

(1) Λόγος εἰς τὴν Χριστοῦ Γέννησιν.

Λυτρωτήνι Ἐπὶ τούτου δὲ στηρίζεται ἡ διαίρεσις τῆς δευτέρας διαθήκης τῆς χάριτος εἰς *Παλαιὰν καὶ Καινήν*. Ἡ πρώτη περιλαμβάνει τοὺς χρόνους μέχρι τῆς ἐλεύτεως, ἡ δευτέρα τοὺς χρόνους μετὰ τὴν ἔλευσιν τοῦ Λυτρωτοῦ. Αὗται δ' οὖσαι κατ' οὐσίαν ἕν καὶ τὸ αὐτό, ὡς θεμελιούμεναι ἐπὶ τῆς πίστεως εἰς τὸν Λυτρωτὴν, διακρίνονται ἀλλήλων διὰ τούτου, ὅτι ὁ χαρακτὴρ τῆς πρώτης ἐστὶν ἡ πίστις εἰς τὸν *ἐρχόμενον*, ὁ δὲ χαρακτὴρ τῆς δευτέρας ἡ πίστις εἰς τὸν *ἐλθόντα* Λυτρωτήν· ἐκεῖ παρασκευάζετο μόνον ἡ ἀπολύτρωσις τοῦ ἀνθρώπινου γένους, ἐν ταύθα αὕτη ἔργῳ ἐξετελέσθη.

§ 164. *Ἡ Πραγματικὴ ὕπαρξις τῆς πίστεως εἰς τὸν ἐρχόμενον Λυτρωτὴν κατὰ τοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης.*

Ὅτι τὸ φῶς τῆς εἰς τὸν ἐρχόμενον Λυτρωτὴν πίστεως ἐφώτιζε πραγματικῶς ἤδη κατὰ τοὺς πρώτους χρόνους τὸ ἀνθρώπινον γένος, τοῦτο ἀναμφιβόλως ἀποδείκνυσιν ὁ Ἀπόστολος Παῦλος, παριστὰς ὁλόκληρον *νέφος μαρτύρων* τῶν τῆς παλαιᾶς διαθήκης δικαίων, καὶ λέγων, ὅτι πάντες οὗτοι ἐσώζοντο οὐχὶ ἄλλως εἰμὴ διὰ πίστεως. *Κατὰ πίστιν οὗτοι πάντες ἀπέθανον* λέγει *καὶ τοι μὴ λαβόντες τὰς ἐπαγγελίας*, τουτέστιν, μὴ λαβόντες πρὸ καιροῦ πάντα τὰ ἀγαθὰ, ἅπερ ἔμελλε φέρειν ἐπὶ τῆς γῆς ὁ Λυτρωτὴς, καὶ ὅμως *πόρρωθεν αὐτὰ εἶδον καὶ ἠσπάσαντο* (Ἑβρ. 11, 13. 19).

§ 165. *Ὄργανα πρὸς διέγερσιν καὶ τήρησιν αὐτῆς*

Τὰ ὄργανα δι' ὧν ὁ Θεὸς προέτρεπε καὶ ἐτήρει παρὰ τοῖς τῆς Παλαιᾶς Διαθήκης τὴν πίστιν εἰς τὸν Λυτρωτὴν καὶ διηγειρεν ἐν αὐτοῖς τὴν ἐπιθυμίαν καὶ τὸν εἰς παραδοχὴν Αὐτοῦ ζῆλον εἰσίν· α) αἱ ἐπαγγελίαι, αἱ προφητεῖαι, καὶ οἱ τύποι, ἅπερ αὐτὸς ἔδωκεν κατὰ καιρὸν αὐτοῖς, ἀπὸ Ἀδὰμ μέχρι τῶν τελευταίων χρόνων. β) Ὁ νόμος, ὡς *παιδαγωγὸς εἰς Χρισ-*

τὸν, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου (Γαλ. 3, 24) καὶ γ) ἡ τύχη τοῦ ἀνθρωπίνου γένους, ἥτις, ὑπὸ τὴν σοφὴν διοίκησιν τῆς θείας Προνοίας τελοῦσα, ἦγε πρὸς τὸν αὐτὸν σκοπὸν, ὡς καὶ αἱ προφητεῖαι καὶ ὁ νόμος, καὶ βαθμηδὸν προπαρεσκεύαζε τοὺς ἀνθρώπους εἰς ὑποδοχὴν τοῦ Λυτρωτοῦ.

§ 166. *Πίστις εἰς τὸν Λυτρωτὴν ἀπὸ Ἀδὰμ μέχρις Ἀβραάμ.*

Ἡ διαθήκη τῆς χάριτος τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, ἤρξατο εὐθὺς μενὰ τὴν πτῶσιν τοῦ ἀνθρώπου. Λέγει δὲ ὁ ἱερὸς Ἱστορικὸς, ὅτι ὅτε ὁ Ἀδὰμ ἔπεσε, καὶ ταραχθείσης τῆς συνειδήσεως, ἔφευγε τὸν Θεὸν, ὁ Θεὸς αὐτὸς εὗρεν αὐτὸν, ἀπήγγειλεν αὐτῷ τὴν καταδίκην, ἀλλ' ἅμα ἔσπειρεν ἐν τῇ καρδίᾳ αὐτοῦ τὸ πρῶτον σπέρμα τῆς πίστεως διὰ παρηγόρου ἐπαγγελίας, ἐν ᾗ ὁ ἐρχόμενος Λυτρωτὴς ὠνομάσθη *Σπέρμα Γυναικὸς*, μέλλον ποτε συντρίψειν τὴν κεφαλὴν τοῦ ἀπατεῶνος ὄφεως. «Καὶ ἔχθραν θήτω ἀναμέσον σου, λέγει ὁ Θεὸς τῷ ὄφει, καὶ ἀναμέσον τοῦ σπέρματός σου καὶ ἀναμέσον τοῦ Σπέρματος αὐτῆς. Αὐτός σου τηρήσει (1) κεφαλὴν καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν» (Γεν. 3, 15). Πλὴν δὲ τῆς ἐπαγγελίας ταύτης, ἢ τοῦ πρωτευαγγελίου, ὡς ὀνομάζουσιν αὐτὴν οἱ ἅγιοι πατέρες, ἔδωκε προεικόνισμα τοῦ μέλλοντος σωτηρίου θανάτου τοῦ Λυτρωτοῦ ἐν ταῖς *θυσίαις*, ὧν ἡ χρῆσις φαίνεται ἤδη ἐν τῇ οἰκογενείᾳ τοῦ Ἀδάμ. Βέβαιον δ' ὅτι τήν τε ἐπαγγελίαν ταύτην καὶ τὸ προεικόνισμα κατενόησαν οἱ προπάτορες. Διότι ὁ Ἀδὰμ, ἐπιθυμῶν, ὅπως ἐν αὐτῷ τῷ πρωτοτόκῳ αὐτοῦ ἴδῃ τὸ ἐπηγγελμένον Σπέρμα, ἐκάλεσεν αὐτὸν *Κάϊν* τουτέστιν εὕρημα. Ὁ δὲ Ἄβελ, κατὰ τὴν μαρτυρίαν τοῦ Ἀπο-

(1) Ἐν τῷ πρωτοτύπῳ Ἰασχοὺφ, τουτέστει παραφυλάξει, αἴφνης προσβαλεῖ καὶ συντρίψει.

στύλου, *πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ* (Ἑβρ. 11, 4). Ὁ δὲ Λάμεχ ἐλπίζων ὄψεσθαι ἐν τῷ Υἱῷ αὐτοῦ τὴν ἐπηγγελμένην ἀνάπαυσιν τῶν ἀνθρώπων ὠνόμασεν αὐτὸν *Νῶε*, τουτέστιν ἀνάπαυσιν. Καὶ αὐτὸς ὁ Νῶε ὡμολόγησε τὴν πίστιν αὐτοῦ ἐν τῇ εὐλογίᾳ ἣν ἔδωκε τῷ Σὰμ, καὶ κατέστησεν αὐτὸν γενάρχην τοῦ ἐπηγγελμένου σπέρματος (Γεν. 4, 15, 29. 9, 26. 27).

§ 167. *Ἀπὸ Ἀβραὰμ μέχρι Μωϋσέως.*

Μετὰ τὴν ἐξάπλωσιν τῆς εἰδωλολατρείας ἐν τοῖς ἀπογόνοις τοῦ Νῶε, ὁ Θεὸς πρὸς τήρησιν τῆς ἀληθοῦς πίστεως καὶ τῶν ἀπαρχῶν τῆς Ἐκκλησίας ἐκλέγει ἐκ τοῦ ἀνθρωπίνου γένους τὴν φυλὴν τοῦ Ἀβραὰμ, καὶ ἐπηγγείλατο αὐτῷ ὅτι ἐκ τῆς φυλῆς αὐτοῦ ἐξελεύσεται τὸ σπέρμα, ἐν ᾧ ἐνευλογηθήσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς (Γεν. 12, 3. 18, 18. 22, 16—18) Εἶδε πρὸς τούτοις ὁ Ἀβραὰμ καὶ τύπον τοῦ Λυτρωτοῦ, ὅστις ἔμελλε παραδώσειν ἑαυτὸν εἰς θυσίαν ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰσαάκ, ὅτε κατὰ θείαν ἐντολὴν προσήνεγκεν αὐτὸν εἰς θυσίαν. Τοῦτο δὲ βεβαίως ὑπονοεῖ ὁ Ἰησοῦς Χριστὸς, λέγων Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε, καὶ ἐχάρη (Ἰωάν. 8, 56). Ἡ ἐπαγγελία δὲ ἡ δοθεῖσα τῷ Ἀβραὰμ, ἐπανελήφθη τῷ Ἰσαὰκ (Γεν. 26, 4) καὶ τῷ Ἰακὼβ (28, 14), ὃς ὑπέδειξε πρὸς τούτοις τὴν φυλὴν τοῦ ἐλευσομένου Λυτρωτοῦ, τὸν καιρὸν τῆς ἐλεύσεως αὐτοῦ, τὸν σκοπὸν αὐτοῦ καὶ τὴν πρὸς αὐτὸν ἐπιστροφὴν τῶν ἐθνικῶν. Διότι εὐλογῶν τὸν Υἱὸν αὐτοῦ Ἰούδαν, ἔλεγεν· «οὐκ ἐκλείψει ἄρχων (σχεδὸν ῥάβδος, σκῆπτρον) ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται (Σιλὼ εἰρηνευτὴς) *καὶ αὐτὸς προσδοκία ἐθνῶν* (Γεν. 49, 10).

§ 168. *Κατὰ τοὺς χρόνους τοῦ Μωϋσέως.*

Ὁ Μωϋσῆς προεῖπε περὶ τοῦ ἐλευσομένου Λυτρωτοῦ, ὅτι οὗτος ἔσται Προφήτης, ὅμοιος αὐτῷ. «Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε (Δευτ 18, 15. 18. 19). Πρὸς τούτοις ἔσχεν ὁ λαὸς τοῦ Θεοῦ πρὸς στερέωσιν τῆς πίστεως αὐτοῦ καὶ πολλοὺς τύπους τῶν μελλόντων χρόνων τοῦ Λυτρωτοῦ. Ἡ ἔξοδος ἐκ τῆς Αἰγύπτου, ὁ ἀμνὸς ὁ πασχάλιος ἡ διάβασις τῆς ἐρυθρᾶς θαλάσσης, τὸ μάννα, τὸ ὕδωρ τὸ ἐκ πέτρας, ὁ χαλκοῦς ὄφις, καὶ ἐν γένει ἅπασα ἡ τῶν Ἰσραηλιτῶν Ἱστορία ἐπὶ Μωϋσέως εἶχε, κατὰ τοὺς λόγους τοῦ Ἀποστόλου, τυπικὴν σημασίαν· «ταῦτα δὲ πάντα, λέγει οὗτος, τύποι συνέβαινον ἐκείνοις (1 Κορ, 10, 11). Ἐπίσης καὶ ἅπας ὁ τελετουργικὸς νόμος τοῦ Μωϋσέως προεικόνιζε διὰ πάντων, θυσιῶν, καθαρισμῶν, ῥαντισμῶν, ἑορτῶν, τὰ συμβάντα τῆς καινῆς διαθήκης καὶ ἦν, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, *σκιὰ* «*αὐτῶν* σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων (Ἑβρ. 10, 1). καὶ ἀλλαχοῦ «Ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ (Κολοσ- 2′, 17). Κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ ἔξω τῆς Ἐκκλησίας τοῦ Ἰσραὴλ προεφήτευσεν ὁ Βαλαὰμ «ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ· οἱ εὐλογοῦντες αὐτὸν, ηὐλόγηνται, καὶ οἱ καταρώμενοι αὐτὸν, κεκατήρανται (Ἀριθ. 24, 3—9. 15—17).

§ 169. *Κατὰ τοὺς χρόνους τοῦ Δαβίδ.*

Τῷ Προφητάνακτι Δαβὶδ ἀπεκάλυψεν ὁ Θεὸς ὅτι ὁ ἐπηγγελμένος Λυτρωτὴς ἔσται ἐκ τοῦ γένους αὐτοῦ, καὶ ἐν αὐτῷ θρόνος Ἰσραὴλ ἀνορθωθήσεται εἰς τὸν αἰῶνα (2 Βασιλ. 7, 12

—19, ψαλ. 88, 29—38). Πλὴν τούτου ἐν τοῖς ψαλμοῖς τοῦ Δαβὶδ εἰσὶν ἐναργεῖς προφητεῖαι α) περὶ τοῦ προσώπου τοῦ μέλλοντος Λυτρωτοῦ, ὅτι οὗτος ἐστὶ *Κύριος καθήμενος ἐκ δεξιῶν τοῦ Θεοῦ* (ψαλμ. 109, 1), *Θεὸς, κεχρισμένος παρὰ πάντας τοὺς μετόχους αὐτοῦ* (ψαλμ. 44, 7. 8), *Υἱὸς Θεοῦ γεννηθεὶς ἀπ' αἰῶνος* (ψαλμ. 2, καὶ 109), τῷ θελήματι τοῦ Θεοῦ λαβὼν τὸ σῶμα (ψαλ. 109, 7), *καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ* (ψαλμ. 109, 4). β) Περὶ τῆς καταστάσεως αὐτοῦ. Ὅτι ὑποστήσεται ἐσχάτην ταπείνωσιν, ὑπομενεῖ ὄνειδος καὶ ἐξουθένημα, τραύματα χειρῶν καὶ ποδῶν, καὶ τὰ ἱμάτια αὐτοῦ διαμερισθήσονται διὰ κλήρου (ψαλ. 21, 68, 108), καταβήσεται εἰς ᾅδην, ἀλλ' οὐ μενεῖ ἐκεῖ καὶ οὐκ ὄψεται διαφθορὰν (ψαλ. 15, 10), ἀναβήσεται εἰς οὐρανοὺς καὶ καθίσει ἐκ δεξιῶν τοῦ Θεοῦ, ἵνα θῇ τοὺς ἐχθροὺς αὐτοῦ ὑποπόδιον τῶν ποδῶν (ψαλ. 23, 3. 109, 1), καὶ βασιλεύσει εἰς τὸν αἰῶνα ἐπὶ πάντων τῶν λαῶν (ψαλ. 2, 44, 72, 88, 86, 98).

§ 170. *Κατὰ τοὺς χρόνους τῶν προφητῶν.*

Προϊόντος τοῦ χρόνου καὶ κατὰ τὰς ἀνάγκας ἐναργέστερον ἀπεκάλυπτεν ὁ Θεὸς τοῖς ἀνθρώποις τὴν διδασκαλίαν περὶ τοῦ ἐλευσομένου Λυτρωτοῦ διὰ τῶν Προφητῶν.

Ὁ Προφήτης Ὡσηὲ προεφήτευσε περὶ τῆς ἀποβολῆς τοῦ Ἰουδαϊκοῦ λαοῦ ἀπὸ τῆς βασιλείας τοῦ Μεσσίου διὰ τὴν ἀπιστίαν καὶ ἀσέβειαν, καὶ τῆς κλήσεως καὶ ἀντικαταστάσεως αὐτοῦ διὰ τῶν ἐθνικῶν (Ὡσηὲ 2, 19. 23. πρβλ. Ῥωμ. 9, 24—26). Ὡσαύτως περὶ τῆς καθαιρέσεως ὑπὸ τοῦ Μεσσίου τοῦ ᾅδου καὶ τοῦ θανάτου (13, 14. προβλ. 1 Κορ. 15, 55).

Ἰωνᾶς, διὰ τῆς θαυμασίου τριημέρου διαμονῆς ἐν τῇ κοιλίᾳ τοῦ κήτους προετύπωσε τὸν θάνατον καὶ τὴν ζωηφόρον ἀνάστασιν τοῦ Λυτρωτοῦ (2, προβ. Ματθ. 12, 40.

Ὁ Ἀμὼς ἐκήρυττεν, ὅτι ἡ πεπτωκυῖα σκηνὴ τοῦ Δαβὶδ,

τουτέστιν ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἀνεγερθήσεται, καὶ ἀνοικοδομήσει αὐτὴν ὁ Θεὸς διὰ παντὸς, καὶ πάντα τὰ ἔθνη ἐκζητήσουσι τὸν ἀληθινὸν Θεὸν (9, 11. 12).

Ὁ *Ἡσαΐας*, ὃν διὰ τὴν ἐνάργειαν τῶν προφητειῶν οἱ Πατέρες τῆς Ἐκκλησίας καλοῦσιν εὐαγγελιστὴν τῆς Παλαιᾶς Διαθήκης, προεῖπεν, ὅτι ὁ Λυτρωτὴς γεννηθήσεται ἐκ Παρθένου. « Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ» (7, 14). Ὅτι Οὗτος ἔσται παῖς, ἀλλ' ἅμα τὸ ὄνομα αὐτοῦ Θεὸς Ἰσχυρὸς, Ἄγγελος μεγάλης βουλῆς, Ἄρχων εἰρήνης (9, 6. 7). ὅτι πρὸ Αὐτοῦ ἐμφανισθήσεται ὁ Πρόδρομος (40, 1—10)· ὅτι Αὐτὸν χρίσει τὸ Πνεῦμα τοῦ Θεοῦ πρὸς εὐαγγελισμὸν, καὶ ποιήσει μεγάλα θαύματα (35, 1—6. 61, 1. 2)· ἔσται πρᾶος καὶ εὔσπλαχνος, ἅγιος καὶ ἀναμάρτητος (42, 1—4. 53, 9)· ἀναλήψεται τὰς ἁμαρτίας ἡμῶν καὶ διὰ τὰς ἀνομίας ἡμῶν παραδοθήσεται εἰς μώλωπας, ῥαπίσματα καὶ ἐμπτυσμοὺς, λογισθήσεται μετὰ ἀνόμων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεται καὶ ἀρθήσεται ἀπὸ τῆς γῆς ἡ ζωὴ Αὐτοῦ, ἀλλὰ τῷ μώλωπι Αὐτοῦ ἰαθησόμεθα (53, καὶ 50, 4—7). Μετὰ ταῦτα καθιδρύσει νέαν βασιλείαν, εἰς ἣν καλέσει καὶ τὰ ἔθνη, τὰ μὴ ἐπικαλούμενα πρότερον τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ, πέμπων πρὸς τοῦτο τοὺς Ἀποστόλους αὐτοῦ εἰς πάντα τὰ πέρατα τῆς γῆς (2, 2—5. 9, 7. 11, 1—10. 49, 6, καὶ 65, 19. 66, 1).

Ὁ *Μιχαίας* προεῖπεν, ὅτι τόπος τῆς γεννήσεως τοῦ Λυτρωτοῦ ἔσται *ἡ Βηθλεὲμ τῆς Ἰουδαίας*, δείξας ἅμα καὶ τὴν προαιώνιον γέννησιν Αὐτοῦ ἐκ τοῦ Θεοῦ Πατρὸς ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος (5, 2).

Ὁ *Ἰωὴλ* προανήγγειλε διαψιλεστέραν ἔκχυσιν τοῦ Πνεύματος τοῦ Ἁγίου ἐφ' ἅπαντας τοὺς μέλλοντας πιστεύειν εἰς τὸν Λυτρωτὴν (2, 28).

Ὁ *Σοφονίας* προανήγγειλε τὴν χαρὰν τῆς θυγατρὸς Σιὼν

ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ἐν μέσῳ Ἱερουσαλὴμ ἐν τῷ Μεσσίᾳ, καὶ διὰ τὴν σωτηρίαν ἣν οὗτος προσήνεγκε μεθ' ἑαυτοῦ ἐπὶ τῆς γῆς (3, 14—17).

Ὁ Ἱερεμίας προανήγγειλεν, ὅτι ὁ ἐρχόμενος Λυτρωτής, *Οὗ τὸ ὄνομα Κύριος ὁ δίκαιος ἡμῶν, βασιλεύσει ἐπὶ τοῦ θρόνου Δαβὶδ φέρων μεθ' ἑαυτοῦ νέαν διαθήκην*, ἐντελεστέραν τῆς πρώτης, καὶ γραφεῖσαν οὐχὶ ἐπὶ λιθίνων πλακῶν, ἀλλ' ἐν τοῖς διανοήμασι καὶ ταῖς καρδίαις τῶν ἀνθρώπων (23, 5. 6 33, 16. 17. 20—22. 31, 31—34).

Ὁ Βαροὺχ προεφήτευσεν, ὅτι ὁ Θεὸς ἡμῶν ὀφθήσεταί ποτε ἐπὶ τῆς γῆς καὶ μετὰ ἀνθρώπων συναναστραφήσεται (3, 36—38).

Ὁ Ἀββακοὺμ ἐκήρυττεν, ὅτι ὁ Λυτρωτὴς *ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ, ὁ δὲ δίκαιος ἐκ πίστεως εἰς Αὐτὸν ζήσεται.* Ὅτι οὗτος ἐκπορεύεται εἰς σωτηρίαν τῶν ἀνθρώπων αὐτοῦ, σῶσαι τοὺς χριστοὺς αὐτοῦ, καὶ ὅτι ἐπὶ τῆς ἐλεύσεως Αὐτοῦ *ἐμπλησθήσεται σύμπασα ἡ γῆ τοῦ γνῶναι τὴν δόξαν Κυρίου, ὡς ὕδωρ πολὺ κατακαλύψει αὐτούς* (2, 3. 4. 14. 3, 13).

Ὁ Ἰεζεκιὴλ προεῖπε περὶ τῆς καινῆς διαθήκης, ὅτι αὕτη ἔσται *αἰωνία*, ὅτι τὰ διεσκορπισμένα πρόβατα οἱ ἀληθεῖς Ἰσραηλῖται, οἵτινες εἰσὶ πάντες οἱ πιστεύοντες εἰς τὸν ἐρχόμενον Λυτρωτὴν συναθροισθήσονται, καὶ Οὗτος ἔσται ὁ μόνος Ποιμὴν αὐτῶν, καὶ ποιμανεῖ αὐτοὺς εἰς τὸν αἰῶνα, καὶ αὐτὸς ὁ Θεὸς κατασκηνώσει ἐν αὐτοῖς εἰς τὸν αἰῶνα (34, 23—31. 37, 26—28).

Ὁ Δανιὴλ ἀκριβέστατα ὥρισε τὸν χρόνον τῆς ἐλεύσεως τοῦ Λυτρωτοῦ δι' ἑβδομάδων ἑπταετῶν (9, 24—27).

« Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου Ἰσραὴλ, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, τοῦ συντελέσαι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι τὰς ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ τοῦ ἀγαγεῖν δικαι-

οσύνην αἰώνιον· καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρίσαι ἅγιον ἁγίων. Καὶ γνώσῃ καὶ συνήσεις, ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ, ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξήκοντα δύο· καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα, καὶ περίτειχος, καὶ ἐκλενωθήσονται οἱ καιροὶ, καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο, ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν, καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου τάξει ἀφανισμοῖς. Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ Ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔσται, καὶ ἕως τῆς συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν (1).

---

(1) Ἡ Προφητεία αὕτη κατὰ τὴν ἐξήγησιν τοῦ Θεοδωρήτου ἔχει τοιαύτην ἔννοιαν. 490 ἔτη (αἱ ἑβδομάδες εἰσὶν ἑβδομάδες ἐτῶν κατὰ τὸ Λευιτ. 25, 8) ὡρίσθησαν τῷ λαῷ, μέχρις οὗ παλαιωθῇ καὶ συντελεσθῇ ἡ ἁμαρτία (τουτέστι τὸ κακὸν καὶ ἡ διαφθορὰ τοῦ ἀνθρωπίνου γένους κορυφωθῇ), ὁ δὲ Μεσσίας ὁ Ἅγιος Ἁγίων ἡ δικαιοσύνη ἡ αἰώνιος τελέσῃ τὴν ἀπολύτρωσιν καὶ δικαίωσιν τῶν ἀνθρώπων ἀπὸ τῆς ἁμαρτίας, ἐξαλείψῃ δὲ τὴν ἀνομίαν καὶ καθάρῃ αὐτὴν καὶ οὕτω πληρώσῃ τὰς ἐπαγγελίας καὶ Προφητείας σφραγίζων αὐτὰς διὰ τούτου. Ἄρχονται δὲ τὰ ἔτη ἀπὸ τοῦ χρόνου, καθ' ὃν ἐκδοθήσεται τὸ διάταγμα περὶ τῆς οἰκοδομῆς τῆς Ἱερουσαλὴμ ὅπερ ἐστὶ τὸ δεύτερον διάταγμα Ἀρταξέρξου τοῦ Μακρόχειρος κατὰ τὸ 20 ἔτος τῆς Βασιλείας αὐτοῦ (Νεεμ. 2, 1. 8), ἀντιστοιχοῦν τῷ 3 ἔτει τῆς 81 Ὀλυμπιάδος, τουτέστι 453 πρὸ Χριστοῦ. Ἀπὸ τοῦδε λοιπὸν μέχρι τῆς ἐμφανίσεως Χριστοῦ ἡγουμένου παρελεύσονται 69 ἑβδομάδες, εἴτε 483 ἔτη· τοῦτο δὲ καὶ συμπίπτει τῷ 15 ἔτει τῆς Βασιλείας Τιβερίου, ὅτε ἐνεφανίσθη εἰς τὸ βάπτισμα ὁ Ἰησοῦς Χριστός. Κατὰ τὸ διάστημα τῶν 483 ἐτῶν ἀνακαινισθήσονται ἡ Ἱερουσαλὴμ καὶ ὁ Ναὸς, ὁ δὲ λαὸς ἀπολίσει χρίσμα καὶ κρίμα κατὰ τὸ τέλος τῆς 62 ἑβδομάδος, ὃς τοῦτο συνέβη ἐπὶ Ἡρώδου, ἀποκτείναντος Ὑρκανὸν τὸν ἔσχατον ἀπὸ Μακκαβαίων Ἀρχιερέα καὶ Βασιλέα, καταστάντος δὲ αὐτοῦ ὑπὸ Ῥωμαίων Βασιλέως. Ἀπ' αὐτοῦ δὲ, ὃς ὠνητὰς τὰς Ἀρχιερωσύνας ἐποιήσατο, κατὰ Ἰώσηπον

Ὁ *Ἀγγαῖος*, παρηγορῶν τὸν λαὸν, ὅστις ἐπὶ τῶν ἐγκαινίων τοῦ δευτέρου ναοῦ τῶν Ἱεροσολύμων μετὰ ἀλίψεως ἐμνημόνευε τοῦ μεγαλείου τοῦ πρώτου, προεῖπεν, ὅτι ἡ δόξα τοῦ ναοῦ τούτου ἔσται μείζων τοῦ πρώτου, διότι ἐν αὐτῷ ἐμφανισθήσεται ὁ Λυτρωτὴς (2, 10).

Ὁ *Ζαχαρίας*, προεῖδε τὴν βασιλικὴν, ἅμα δὲ πραεῖαν καὶ ταπεινὴν εἴσοδον Αὐτοῦ εἰς Ἱερουσαλὴμ (9, 9), τὴν παράδοσιν Αὐτοῦ ἀντὶ τριάκοντα ἀργυρίων (11, 12), τὸν μετὰ ταῦτα διασκορπισμὸν τῶν μαθητῶν Αὐτοῦ ὡς προβάτων ἄνευ ποιμένος (13, 7), καὶ τὸ τραῦμα Αὐτοῦ τὸ ἐκ τῆς λόγχης (12, 10).

Τέλος ὁ *Μαλαχίας* ἀνήγγειλε περὶ τοῦ Προδρόμου τοῦ μέλλοντος προπορεύεσθαι πρὸ προσώπου τοῦ Λυτρωτοῦ, ὅστις ἐστὶν ὁ *Κύριος* καὶ ὁ *Ἄγγελος τῆς Διαθήκης* (3, 1).

§ 171. *Προπαρασκευὴ εἰς ὑποδοχὴν τοῦ Λυτρωτοῦ διὰ τοῦ νόμου.*

Ὡς ὁ Θεὸς διὰ τῶν προφητειῶν καὶ τῶν τύπων ἐτήρει καὶ ἐστήριζε τὴν πίστιν τῶν Ἰουδαίων εἰς τὸν ἐρχόμενον Λυτρωτὴν, οὕτω καὶ διὰ τοῦ ἠθικοῦ καὶ πολιτικοῦ νόμου προπαρεσκεύαζεν αὐτοὺς εἰς ὑποδοχὴν τοῦ ἐπηγγελμένου Μεσσίου,

---

(Ἀρχ. 20, 8. 18, 3), καὶ ὅτι ἐνίους αὐτὸ ἐκ τοῦ ἱερατικοῦ γένους προεχειρίζοντο αὐτὸς καὶ ὁ Ἀρχέλαος καὶ οἱ Ῥωμαῖοι, ἐξωλοθρεύθη τὸ χρίσμα. Μετὰ ταῦτα κατὰ τὸ ἥμισυ τῆς 70 ἑβδομάδος, τουτέστι μετὰ τρία καὶ ἥμισυ ἔτη μετὰ τὸ Βάπτισμα τοῦ Ἰησοῦ Χριστοῦ, κατὰ τὸ 4 ἄρα Πάσχα, καθ' ὃ ἔπαθεν, αἴρεται θυσία καὶ σπονδὴ, ἀντικαταστησάσης τὴν Παλαιὰν τῆς Κ. Διαθήκης, ἥτις ἐπὶ ἑβδομάδα *μίαν* ὑπὸ Χριστοῦ καὶ τῶν Ἀποστόλων δυναμοῦται Μετὰ δὲ τοῦτο μέχρι συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν ὅταν ἴδωσι τὸ βδέλυγμα τῆς ἐρημώσεως ἐν τῷ Ἱερῷ· τουτέστιν ἐντελῶς· καὶ διὰ παντὸς ἐξολοθρευθήσεται ἡ πόλις καὶ ὁ Ναὸς, ὅταν ὁρίσῃ ὁ Θεὸς, ἵνα τὸ βδέλυγμα τῆς ἐρημώσεως βεβηλώσῃ τὸν Ναὸν (ἴδε Θεοδωρ. εἰς Δανιὴλ κφ. 9).

ὄντος τοῦ Νόμου παιδαγωγοῦ εἰς Χριστὸν (Γαλ. 3, 24).

α) Ὁ *ἠθικὸς νόμος*, διὰ τὴν αὐστηρότητα ἔκτασιν καὶ λεπτομέρειαν, ὢν τὸ ἄριστον ὄργανον πρὸς *ἐπίγνωσιν τῆς ἁμαρτίας*, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου (Ῥωμ. 3, 20), καὶ τὸ πιστότερον κάτοπτρον, ἐν ᾧ πανταχοῦ καὶ ἐν παντὶ καιρῷ ἕκαστος ἄκων ἠδύνατο ἐσοπτρίζεσθαι τὴν ἠθικὴν αὐτοῦ δυσμορφίαν, ἦγεν ἀναγκαίως τὸν ἄνθρωπον εἰς τὴν βαθεῖαν ἐκείνην, καὶ ταπεινόφρονα συνείδησιν τῆς ἰδίας ἁμαρτίας καὶ τῆς ἐνώπιον τοῦ Θεοῦ εὐθύνης, ἣν τοσούτῳ καθαρῶς ἐξέφρασεν ὁ προφήτης Δαβίδ. « ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστίσεται ; μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν » (ψαλ. 129, 3· 142, 2). Τοῦτο δὲ διήγειρεν ἅμα ἀναγκαίως καὶ τὴν ἐπιθυμίαν, ἵνα τάχιστα ἔλθῃ ὁ ἐπηγγελμένος Λυτρωτὴς καὶ σώσῃ ἐκ τοῦ φορτίου τῆς ἁμαρτίας καὶ τῆς κατάρας.

β) Ὁ *πολιτικὸς* νόμος πάλιν μορφῶν τὰ μέλη τῆς Θεοκρατικῆς βασιλείας, προπαρασκεύαζεν εἰς τὴν βασιλείαν τοῦ Χριστοῦ. Τὰ δὲ παρὰ τοῖς Ἰσραηλίταις τρία ἀξιώματα, τὸ Βασιλικὸν, Ἀρχιερατικὸν καὶ Προφητικὸν προεικόνιζον τὴν τριπλῆν διακονίαν τοῦ Μεσσίου.

§ 172. *Προπαρασκευὴ πρὸς ὑποδοχὴν τοῦ Λυτρωτοῦ διὰ τῆς ἱστορίας τοῦ λαοῦ.*

Πρὸς διατήρησιν τῆς πίστεως εἰς τὸν Λυτρωτὴν καὶ προπαρασκευὴν εἰς ὑποδοχὴν Αὐτοῦ συνετέλει καὶ ἅπασα ἡ ἱστορία τοῦ λαοῦ τοῦ Θεοῦ. Καὶ ἐν μὲν τῇ ἱκανῶς εἰρηνικῇ καὶ λαμπρᾷ βασιλείᾳ τοῦ Δαβὶδ καὶ Σολομῶντος ἐδωρήθη τοῖς Ἰσραηλίταις τύπος τῆς μακαρίας βασιλείας τοῦ Μεσσίου ἐπὶ τῶν πιστῶν τέκνων καὶ ὑπηκόων τοῦ Θεοῦ· αἱ δὲ συμφοραὶ, δι' ὧν ὡς ἐπὶ τὸ πλεῖστον ἐπαίδευεν αὐτοὺς ὁ Θεὸς συνετέλουν πρὸς φυλακὴν καὶ καθαρισμὸν αὐτῶν ἀπὸ τῆς ἐθνικῆς πλάνης

καὶ ἀσεβείας. Οὕτως ἐν Αἰγύπτῳ οὗτοι πολλὰ ὑπέστησαν, ἐν Παλαιστίνῃ ὀλίγης ἡσυχίας ἀπήλαυσαν, ἐν δὲ Βαβυλῶνι καὶ μετὰ ταῦτα πάλιν συμφοραὶ καὶ δειναί. Πάντα δὲ ταῦτα ἀναγκαίως διετίθουν αὐτοὺς εἰς ζωηρὰν συναίσθησιν τῶν ἰδίων ἁμαρτημάτων, ἅμα δὲ διήγειρον καὶ βαθμηδὸν ἐνίσχυον τὴν ἐπιθυμίαν, ὅπως ἴδωσι τάχιστα τὸν ἐπηγγελμένον Λυτρωτήν. Τὴν ἐπιθυμίαν δὲ ταύτην σαφῶς ἐκφράζουσιν οἱ Προφῆται. Καὶ δὴ ὁ μὲν Ἱερεμίας πολλάκις ἀνεβοᾷ. « Ἐλπὶ; Ἰσραὴλ! Ὑπομονὴ Ἰσραὴλ Κύριε, Σωτὴρ ἡμῶν ἐν καιρῷ τῆς θλίψεως! μὴ ἐπιλάθητι ἡμῶν (Ἱερεμ. 17, 13. 14, 8. 9). Ὁ δὲ Μαλαχίας παρηγόρει τοὺς συγχρόνους αὐτῷ Ἰουδαίους, ὅτι ὁ ποθούμενος ὑπ' αὐτῶν ταχέως ἥξει. « ἐξαίφνης ἥξει εἰς τὸν Ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ Ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται » (3, 1). Κατὰ δὲ τοὺς χρόνους τῶν Μακκαβαίων πάντες ἀνέμενον τὸν Μεσσίαν, ὡς τάχιστα ἐλευσόμενον. Διότι ἐν τῇ βίβλῳ τῶν Μακκαβαίων λέγεται, « ὅτι οἱ Ἰουδαῖοι καὶ οἱ Ἱερεῖς ηὐδόκησαν τοῦ εἶναι αὐτῶν Σίμωνα ἡγούμενον καὶ Ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι Προφήτην πιστὸν » (1 Μακ. 14, 41). Προϊόντος δὲ τοῦ χρόνου ἡ προσδοκία αὕτη μᾶλλον ηὔξανεν, καὶ τέλος, πρὸ αὐτῆς τῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριστοῦ, ἡ μακαρία βασιλεία τοῦ Μεσσίου κατέστη τὸ πρώτιστον καὶ περιπόθητον μέλημα ἑκάστου, μέχρι καὶ αὐτοῦ τοῦ ἐσχάτου Ἰσραηλίτου. Διὸ καὶ κατὰ τὸν χρόνον τῆς ἐπιγείου διαμονῆς τοῦ Ἰησοῦ Χριστοῦ βλέπομεν, ὅτι τὸν υἱὸν τοῦ Δαβὶδ διὰ στόματος πάντες εἶχον, καὶ ἡ Σαμαρῖτις ἀνέμενεν Αὐτόν. Οἱ δὲ πτωχοὶ καὶ τυφλοί, καὶ αὐτὴ ἡ χανανέα γυνὴ ἐγίνωσκον περὶ τοῦ υἱοῦ Δαβίδ.

§ 173. *Προπαρασκευὴ τῶν Ἐθνῶν.*

Ὅ,τι δ' ἀφορᾷ τοὺς ἐθνικούς, εἰ καὶ ὁ Θεὸς, κατὰ τοὺς λόγους τοῦ Ἀποστόλου, εἴασεν αὐτοὺς *μέχρι τινὸς πορεύ-*

εσθαι ταῖς ὁδοῖς αὐτῶν (Πράξ. 14, 16), καὶ οὐκ ἔδωκεν αὐτοῖς ἄμεσον Ἀποκάλυψιν, ἀλλ' ὅμως οὐκ ἀπέβαλεν αὐτοὺς ἐντελῶς, οὐδὲ ἁμάρτυρον ἑαυτὸν κατέλιπεν αὐτοῖς, ἀλλὰ παρεσκεύαζε καὶ αὐτοὺς εἰς ὑποδοχὴν τοῦ Λυτρωτοῦ. Τὰ δὲ πρὸς τοῦτο ἦσαν· α) ἡ φωνὴ τῆς ὁρατῆς φύσεως κηρύττουσα αὐτοῖς τὸν Θεὸν, ὡς τοῖς Ἰσραηλίταις ἡ Ἀποκάλυψις, καὶ ἡ φωνὴ τῆς συνειδήσεως, ἡ ἐλέγχουσα τὴν ἐν αὐτοῖς ἁμαρτίαν ὡς τὴν τῶν Ἰσραηλιτῶν ὁ νόμος. Ἀμφότερα δὲ ἦσαν τοσοῦτον εὐκρινῆ, ὥστε οἱ μὴ προσέχοντες αὐτοῖς, κατὰ τοὺς λόγους τοῦ Ἀποστόλου, *εἰσὶν ἀναπολόγητοι* (Ῥωμ. 1, 19. 2, 14—16). β) Ἅπασα ἡ ἱστορία τῶν ἀρχαίων λαῶν, ἥτις, κατὰ τὴν σαφῆ μαρτυρίαν τῆς ἁγ. Γραφῆς (Δαν 2, 21. 4, 14), πάντοτε ἐν χερσὶν ἦν τῆς προνοίας καὶ σκοπίμως κατευθύνετο εἰς ὡρισμένον τι, τὴν προπαρασκευὴν δηλαδὴ τῆς γῆς εἰς τὴν βασιλείαν τοῦ Χριστοῦ. γ) Ἡ μετὰ ταῦτα ἐξάπλωσις τῶν ἀληθειῶν τῆς Ἀποκαλύψεως διὰ τῆς ἀπανταχοῦ ἐξαπλώσεως τῶν Ἰουδαίων, καὶ ἰδίως διὰ τῆς μεταφράσεως τῆς Ἁγίας Γραφῆς εἰς τὴν Ἑλληνικὴν, τὴν πάγκοινον τότε γλῶσσαν. Ὅτι δὲ οἱ ἐθνικοὶ ὄντως παρεσκευασμένοι ἦσαν πρὸς ὑποδοχὴν τοῦ Μεσσίου διὰ τῶν ὁδῶν τούτων ὡσαύτως, ὡς καὶ οἱ Ἰουδαῖοι διὰ τοῦ νόμου, ἀπέδειξε τοῦτο τρανῶς ἡ πεῖρα. Διὰ τοῦτο καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς πολλάκις εὕρισκε παρὰ τοῖς ἐθνικοῖς τοσαύτην πίστιν, ὅσην οὐδὲ ἐν τῷ Ἰσραήλ. Γνωστὸν δ' ὅτι τὸ Εὐαγγέλιον ταχύτερον καὶ προθυμότερον παρέλαβεν οἱ ἐθνικοὶ, ἢ τῶν Ἰουδαίων οἱ πλεῖστοι.

Β'. Διδασκαλία περὶ τῆς τελέσεως τοῦ Μυστηρίου τῆς ἀπολυτρώσεως διὰ τῆς ἐλεύσεως ἐπὶ τῆς γῆς τοῦ Σωτῆρος τοῦ κόσμου Ἰησοῦ Χριστοῦ.

§ 174. *Ἔλευσις τοῦ ἐπηγγελμένου Λυτρωτοῦ.*

Μετὰ τὸ πλήρωμα τοῦ προορισθέντος χρόνου, ὅτε ἡ μὲν

κρειττων μερὶς τοῦ ἀνθρωπίνου γένους, οἱ ἀληθεῖς Ἰσραηλῖται ἱκανῶς προπαρεσκευάσθησαν καὶ μετὰ πόθου διακαοῦς τὸν ἐπηγγελμένον ἀνέμενον, ἡ δὲ χειρίστη ἐπ' ἄκρον ἐξίκετο πλάνης καὶ διαφθορᾶς, παντα χοῦ δ' ἦν συνείδησις ἄκρας ἀδυναμίας καὶ ἀνάγκης ὁλοσχεροῦς παλιγγενεσίας τοῦ κόσμου· τότε τέλος ὁ ἐπηγγελμένος ἦλθε καὶ ἐτέλεσε τὸ πρὸ αἰώνων προορισθὲν καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ προαναγγελθὲν μυστήριον τῆς ἀπολυτρώσεως. Ὁ ἐπηγγελμενος δ' οὗτος ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, γεννηθεὶς ἐν τῇ Ἰουδαίᾳ ἐκ τῆς Ὑπεραγίας Παρθένου Μαρίας, ἐπὶ τῆς βασιλείας Καίσαρος Αὐγούστου, καὶ ἐπὶ Ἡρώδου βασιλέως τῆς Ἰουδαίας, παθὼν καὶ ἀποθανὼν ἐπὶ Σταυροῦ ἐπὶ Τιβερίου Καίσαρος καὶ ἡγεμονεύοντος Πιλάτου, εἶτα δὲ ἀναστὰς καὶ ἀναληφθεὶς εἰς τοὺς Οὐρανούς.

§ 175. *Ἀπόδειξις, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν ἀληθῶς ὁ Λυτρωτὴς τοῦ κόσμου.*

Ὅτι ὁ Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ σαρκωθεὶς ἐκ τῆς ὑπερευλογημένης Παρθένου Μαρίας, ἐστὶν ὄντως ὁ ἐπηγγελμένος Λυτρωτὴς τοῦ κόσμου, τοῦτο ἀναμφιβόλως ἀποκαλύπτεται· α) ἐκ τῆς ἀντιπαραθέσεως τῶν τῆς Παλαιᾶς Διαθήκης ἐπαγγελιῶν καὶ προφητειῶν περὶ τοῦ Λυτρωτοῦ πρὸς τὰ συμβάντα τοῦ βίου τοῦ Ἰησοῦ Χριστου. β) Ἐκ τῶν συγχρόνων περὶ Αὐτοῦ μαρτυριῶν, ὡς τοῦ ἀληθοῦς καὶ μόνου Λυτρωτοῦ τοῦ κόσμου.

§ 176. *α) Ἐκ τῆς ἀντιπαραθέσεως τῶν τῆς Παλαιᾶς Διαθήκης Προφητειῶν καὶ ἐπαγγελιῶν πρὸς τὰ συμβάντα.*

Πᾶσαι αἱ τῆς Παλαιᾶς Διαθήκης ἐπαγγελίαι καὶ προφητεῖαι περὶ τοῦ Λυτρωτοῦ τοσοῦτον ἀκριβῶς πληροῦνται ἐν

ταῖς διαφόροις περιστάσεσι τοῦ βίου τοῦ Ἰησοῦ Χριστοῦ, ὥστε ἀδύνατον μὴ καθορᾷν ἐν Αὐτῷ τὸν ἐπηγγελμένον Μεσσίαν· καὶ δή.

α) Ὁ Ἰησοῦς Χριστὸς ἐφάνη ἐπὶ τῆς γῆς τότε, ὅτε αἱ ἑβδομάδες τοῦ Δανιὴλ ὀφθαλμοφανῶς πέρας ἐλάμβανον, καὶ μάλιστα οὕτως, ὥστε τὸ τέλος τῶν ἑξήκοντα ἐννέα ἑβδομάδων, ὅτε ὤφειλεν ἐμφανισθῆναι ὁ Μεσσίας, συμπίπτει ἀκριβῶς τῷ ἔτει τῆς ἐμφανίσεως τοῦ Ἰησοῦ Χριστοῦ εἰς τὸ δημόσιον κήρυγμα, τὸ δὲ ἥμυσι τῆς τελευταίας ἑβδομάδος, ἥτις ὤφειλε στηρῖξαι τὴν Καινὴν Διαθήκην καὶ καταργῆσαι τὰς τῆς Παλαιᾶς Διαθήκης θυσίας, ἀκριβέστατα συμπίπτει τῷ θανάτῳ τοῦ Ἰησοῦ Χριστοῦ, δι' οὗ ἔληξεν ἡ Παλαιὰ καὶ ἤρξατο ἡ Καινὴ διαθήκη. Ἐπεφάνη πρὸς τούτοις κατὰ τὴν προφητείαν τοῦ Ἀγγαίου, ὑπάρχοντος ἔτι τοῦ δευτέρου Ναοῦ, ἐν ᾧ πολλάκις ἐδίδασκε, καὶ ὅστις νῦν οὐκέτι ὑπάρχει· ἐνεφανίσθη ἐπὶ Ἡρώδου Βασιλέως τῶν Ἰουδαίων, ὅτε κατὰ τὴν προφητείαν τοῦ Πατριάρχου Ἰακὼβ, τὸ σκῆπτρον οὐκ ἤρθη ἔτι ἐντελῶς ἐκ τοῦ Ἰούδα, ἀλλὰ ὀλίγον μετὰ ταῦτα ἐξέλιπε διὰ παντὸς (Ματθ. 2, 1. Λουκ. 3, 1. Μανθ. 26, 28. 27, 51).

β) Ὁ Ἰησοῦς Χριστὸς ἐγεννήθη ἐκ τῆς Παρθένου Μαρίας, πληρωθείσης τῆς προφητείας τοῦ Ἡσαΐου καὶ τῆς ἐπαγγελίας, τῆς δοθείσης ἤδη τοῖς πρωτοπλάστοις, ὅτι ὁ τηρήσων τὴν κεφαλὴν τοῦ ὄφεως γεννηθήσεται ἐκ σπέρματος γυναικός. Ἐγεννήθη ἐκ τῆς φυλῆς τοῦ Δαβίδ, ὡς ἐπηγγέλθη τοῦτο τῷ Δαβίδ, καὶ φανερὸν ἐκ τῶν δύο Αὐτοῦ γενεαλογιῶν παρὰ τοῖς Εὐαγγελισταῖς Ἐγεννήθη τέλος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ὡς προείρηται τῷ προφήτῃ Μιχαίᾳ (Ματθ. 1, 1—25. Λουκ. 1, 26—35. Ματθ. 2, 1 Λουκ. 2. 4—11).

γ) Ὁ Ἰησοῦς Χριστὸς, κατὰ τὴν προφητείαν τοῦ Ἡσαΐου, ἐστὶν ὁ ἀληθὴς Ἐμμανουὴλ, Θεὸς καὶ ἄνθρωπος ἅμα (Ματθ. 1, 23). Οὗτος ἦν πλήρης χρίσματος τοῦ Πνεύματος τοῦ Ἁγίου (Ματθ. 3, 16· 17), ἐκήρυττε τὸ Εὐαγγέλιον περὶ τῆς

βασιλείας τῆς χάριτος τοῦ Θεοῦ (Λουκ. 4, 14—21. 8, 1. Μαρκ. 1, 15), καὶ ἐποίει μεγάλα θαύματα (Ματθ. 15, 30. 31. Λουκ. 7, 17—22.) ἦν ταπεινὸς καὶ πρᾷος (Ματθ. 11, 29. 12, 17—21), ἅγιος καὶ ἀναμάρτητος (Ἰωάν. 8, 46. 1 Ἰωαν. 3, 5. 7). Αλλ' οὐχ ἧττον ὑπέμεινε πάντα, τὰ ὑπὸ τοῦ Δαβὶδ καὶ Ἡσαΐου προειρημένα παθήματα καὶ τὸν ἑκούσιον θάνατον, κατέβη εἰς τὸν ᾅδην, ἀνέστη ἐκ νεκρῶν τὴν τρίτην ἡμέραν, ἀνῆλθεν εἰς τοὺς Οὐρανοὺς καὶ κάθηται ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρὸς, ὥστε πάντα ταῦτα τὰ συμβάντα ἐπληρώθησαν ἀκριβέστατα, ὡς προανήγγειλον ταῦτα οἱ Προφῆται.

δ) Ὁ Ἰησοῦς Χριστὸς ἔδωκε νέαν κρείττονα διαθήκην, καταργήσας τὴν παλαιὰν, κατὰ τὴν προόρρησιν τοῦ Ἱερεμίου (Ματθ. 26, 28. Ἑβρ. 8, 9. 8. 9, 15). Ἐξαπέστειλεν ἐπὶ τοὺς πιστοὺς ὁρατῶς τὸ Πνεῦμα το Ἅγιον κατὰ τὴν προφητείαν τοῦ Ἰωὴλ (Πραξ. 2, 1—4), καὶ διὰ τῶν Ἀποστόλων αὐτοῦ, εἰς ἐκπλήρωσιν τῶν λόγων τοῦ Ἡσαΐου, καθ' ἅπασαν τὸν γῆν ἐξέχεε τὸ φῶς τῆς σωτηρίου διδασκαλίας αὐτοῦ, ἀνακαινίσας ἅμα καὶ ἀναμορφώσας τὸ ἀνθρώπινον γένος, καὶ καθιδρύτας ἐπὶ τῆς γῆς νέαν βασιλείαν τῆς χάριτος τοῦ Θεοῦ, καὶ δωρησάμενος τοῖς μέλεσιν αὐτῆς, ἀνεκλάλητα ἀγαθὰ καὶ πλεονεκτήματα, εἰς ἐκπλήρωσιν τῶν ἐπαγγελιῶν, ὅτι ὁ Λυτρωτὴς ἔσται ἡ εὐλογία πάντων τῶν ἐθνῶν τῆς γῆς.

ε) Τέλος ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ ἀκριβῶς οὕτως ἐξεπληρώθησαν καὶ ἅπαντες οἱ τύποι τῆς παλαιᾶς διαθήκης. Αὐτὸς Οὗτος ἦν ἡ ἀληθὴς θυσία ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτημάτων *Ἀμνὸς αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου* (Ἰωαν. 1, 29). Ὁ θάνατος Αὐτοῦ καὶ ἡ ἀνάστασις ἦσαν ἡ ἀληθὴς ἑορτὴ τοῦ *Πάσχα*, ἐπειδὴ μετεβίβασε τὸ γένος τῶν ἀνθρώπων ἐκ τῆς ἐξουσίας τοῦ σκότους εἰς τὴν βασιλείαν τοῦ Θεοῦ (Κολ. 1, 13). Αὐτὸς δ' οὗτος ἐστὶν ὁ ἀληθὴς πασχάλιος Ἀμνὸς, ὁ δοὺς τὴν σάρκα καὶ τὸ αἷμα αὐτοῦ εἰς ἁγιασμὸν καὶ εἰς βρῶσιν τοῖς πιστοῖς, καὶ οὕτως, ὥστε τὸ ὀστοῦν Αὐτοῦ οὐ συντριβῆ ἐπὶ

τοῦ σταυροῦ (Ἰωάν. 19, 36). Αὐτὸς ἐστὶν ὁ ἀληθὴς ἄρτος τῆς ζωῆς, ὁ κατελθὼν ἐξ οὐρανοῦ, καὶ πηγὴ ὕδατος ἡ ῥέουσα εἰς ζωὴν αἰώνιον (Ἰωάν. 4, 14). Τὴν τρίτην ἡμέραν ἠγέρθη ἐκ τοῦ τάφου, ὡς ὁ Ἰωνᾶς ἐκ τοῦ κήτους (Ματθ. 12, 40). Ἔστιν ἀληθὴς Προφήτης καὶ Μεσσίας τῆς Καινῆς Διαθήκης, ὡς ὁ Μωϋσῆς τῆς Παλαιᾶς (Ἑβρ. 3, 6) ἔστι Βασιλεὺς (Λουκ. 1, 33. 22, 29), Ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ, εἰσελθὼν οὐχὶ δι' αἵματος μόσχων ἢ τράγων, ἀλλὰ διὰ τοῦ ἰδίου αἵματος, καὶ οὐχὶ εἰς χειροποίητα ἅγια, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν (Ἑβρ. 9, 12). Ἡ Ἐκκλησία Αὐτοῦ ἀληθὴς σκηνὴ ἐστι Θεοῦ ἐπὶ τῆς γῆς, καὶ ἐν γένει ἐν πάσαις ταῖς σωτηρίαις διατάξεσιν αὐτοῦ ἀναφαίνονται αἱ τελεταὶ τοῦ νόμου οὐχὶ ὡς σκιὰ, ἀλλ' ὡς φῶς καὶ ἀλήθεια.

177. *β) Ἐκ τῶν συγχρόνων μαρτυριῶν.*

Σαφῶς ἅμα ἀποδεικνύουσι τὸν Ἰησοῦν Χριστὸν, ὡς τὸν ἐπηγγελμένον Λυτρωτὴν καὶ αἱ περὶ Αὐτοῦ σύγχρονοι μαρτυρίαι.

α) Αὐτὸς ὁ Θεὸς Πατὴρ πολλάκις διὰ φωνῆς ἐξ οὐρανοῦ ἐμαρτύρει περὶ Αὐτοῦ, ὅτι οὗτος ἐστὶν ὁ Υἱὸς Αὐτοῦ ὁ ἀγαπητὸς, οὗ ἀκούειν ὀφείλομεν. (Ματθ. 3, 17. 17, 5. Ἰωαν. 12, 28. 29). Ἐμαρτύρει ὡσαύτως διὰ σειρᾶς θαυμάτων, πρὸ τῆς γεννήσεως, ἐπ' αὐτῆς, καὶ μετ' αὐτὴν· καὶ τέλος ἐπὶ τοῦ σταυρικοῦ θανάτου Αὐτοῦ ἐμαρτύρησε τὸ αὐτὸ διὰ τῆς ἐκλείψεως τοῦ ἡλίου, τοῦ σεισμοῦ τῆς γῆς καὶ δι' ἄλλων σημείων (Ματθ. 27).

β) Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς πανταχοῦ ἐμαρτύρει περὶ ἑαυτοῦ, ὅτι ἐστὶν ὁ ἀληθὴς, παρὰ Θεοῦ ἀπεσταλμένος, Σωτὴρ τῶν ἀνθρώπων καὶ Υἱὸς τοῦ Θεοῦ (Ἰωάν. 3, 16), φῶς ἐλθὼν φωτίσων τὸν κόσμον (Ἰωάν. 12, 46), ἡ ὁδὸς, δι' ἧς καὶ μόνης δύναταί τις ἐλθεῖν εἰς τὸν οὐρανὸν πρὸς τὸν Θεὸν Πατέρα (Ἰωάν. 14, 6), ἡ ζωὴ καὶ μόνη πηγὴ τῆς ζωῆς τοῖς πᾶσιν (Ἰωαν. 6, 33. 47. 51).

Εἰς ἀπόδειξιν δὲ τούτου παρέπεμπεν εἰς τὰς Γραφάς, αἵτινες μαρτυροῦσι περὶ αὐτοῦ (Ἰωάν. 5, 39, 46), εἰς τὰ ἔργα καὶ ἰδίως τὰ θαύματα, ἅπερ ἦσαν ἴδια μόνῳ τῷ Μεσσίᾳ (Αὐτόθι) καὶ τὴν διδασκαλίαν, ἥτις οὐκ ἦν αὐτοῦ, ἀλλὰ τοῦ πέμψαντος αὐτὸν Πατρὸς (Ἰωάν. 12, 49. 50), καὶ τὴν μαρτυρίαν ταύτην ἐπισήμως ἐπανέλαβεν ἐνώπιον τοῦ Συνεδρίου, ὅτε ἐξώρκισαν αὐτὸν κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ὅπως εἴπῃ, εἰ αὐτὸς ὁ Μεσσίας· ἐπεσφράγισε δὲ τὴν μαρτυρίαν ταύτην διὰ τοῦ θανάτου (Μάρ. 14, 61. 62).

γ) Τέλος μαρτυροῦσι περὶ τοῦ Ἰησοῦ Χριστοῦ πλῆθος συγχρόνων, ὁμολογησάντων αὐτὸν ὡς τὸν ἀληθῶς ἐπηγγελμένον Μεσσίαν καὶ Λυτρωτὴν τοῦ κόσμου. Καὶ ὁ μὲν Ἅγιος Ἰωάννης ὁ Πρόδρομος, ὃν πάντες, καὶ αὐτοὶ οἱ Φαρισαῖοι, ἐτίμων ὡς προφήτην, πολλάκις ἐμαρτύρησε περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ὅτι οὗτος ἐστὶν *ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων* τὴν ἁμαρτίαν τοῦ κόσμου (Ἰωάν. 1, 29). Ἡ δὲ Ἐλισάβετ ὠνόμασε τὴν Ὑπεραγίαν Παρθένον *Μητέρα τοῦ Κυρίου* (Λουκ. 1, 43). Ὁ δὲ Ζαχαρίας ἐκάλεσεν αὐτὸν, *Κύριον, Ἀνατολὴν ἐξ ὕψους, ἐπισκεψάμενον ὅπως ἐπιφαν῀ῃ τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις* (Λουκ. 1, 76. 78. 79). Ὁ δὲ Συμεὼν ὠνόμασεν αὐτὸν *φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν Ἰσραήλ* (Λουκ. 2, 32), καὶ πολλοὶ ἄλλοι ἀληθεῖς Ἰσραηλῖται ὡμολόγησαν αὐτὸν Μεσσίαν. Οἱ δὲ Ἅγιοι Ἀπόστολοι ὡμολόγουν αὐτὸν *Χριστὸν, Κύριον καὶ Υἱὸν Θεοῦ* (Ματθ. 16, 16), ἐλθόντα εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι (1 Τιμ. 1, 15) *ἕνα μεσίτην Θεοῦ καὶ ἀνθρώπων* (1 Τιμ. 2, 5), καὶ *ὅτι οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία* (Πραξ. 4, 11. 12).

§ 178. *Διαίρεσις τῆς διδασκαλίας περὶ τοῦ Λυτρωτοῦ τοῦ κόσμου.*

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐτέλεσε τὴν σωτηρίαν τοῦ ἀνθρωπίνου γένους· α) διὰ τῆς ἐνσαρκώσεως αὐτοῦ. β) Διὰ τοῦ

βίου αὐτοῦ· γ) διὰ τῆς τριττῆς λειτουργίας αὐτοῦ. Διὸ τρία καὶ τὰ μέρη α) περὶ τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως, ἤτοι περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ· β) περὶ τοῦ βίου αὐτοῦ ἢ τῆς διττῆς καταστάσεως· γ) περὶ τῆς τριττῆς λειτουργίας αὐτοῦ εἰς σωτηρίαν τοῦ ἀνθρωπίνου γένους.

α) Περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ ἢ περὶ τοῦ Μυστηρίου τῆς ἐνσαρκώσεως.

§ 179. *Ἡ ἀξία τοῦ δόγματος περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ.*

Τὸ δόγμα περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ, ἤτοι περὶ τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως τοῦ Θεοῦ Λόγου, ἐστὶ τῶν μυστηριωδεστάτων καὶ βαθυτάτων, ἅμα δὲ καὶ σπουδαιοτάτων καὶ ἀναγκαιοτάτων πρὸς σωτηρίαν δογμάτων τῆς Ὀρθοδόξου Πίστεως. Διὸ καὶ ἡ Ἁγία ἐκκλησία κατὰ τοὺς πρώτους ἤδη χρόνους ἐφρόντισεν, ἵνα ὁρίσῃ αὐτὸ μετὰ πάσης ἀκριβείας, καὶ συνεκρότησε πρὸς τοῦτο τρεῖς Οἰκουμενικὰς Συνόδους τὴν Γ΄, Δ΄, ΣΤ΄, κινουμένη μάλιστα ἐκ τῶν διαφόρων αἱρέσεων,, καὶ ἐπὶ τῶν Συνόδων τούτων ὥρισε τὴν ἀληθῆ αὐτοῦ ἔννοιαν, ἀπορρίψασα τὰς τῶν αἱρετικῶν δόξας καὶ πλάνας. Διὰ δὲ τὴν μεγάλην ἀξίαν τοῦ δόγματος τούτου ὀφείλουσι πάντες γινώσκειν καὶ τηρεῖν αὐτὸ ἀκριβῶς καὶ μετὰ προσοχῆς καὶ διὰ τοῦτο ἀναγκαίως προηγεῖται ὡς θεμέλιος λίθος, ὁ περὶ τούτου τῆς Ἐκκλησίας ὅρος, λαμβανόμενος ἐκ τοῦ οἰκουμενικοῦ τύπου τῆς πίστεως ἢ τοῦ συμβόλου.

§ 180. *Ὁ Ὑπὸ τῆς Ἐκκλησίας ὅρος τοῦ δόγματος τούτου.*

Ἐκ τῶν πολλῶν ὅρων τῆς Ἐκκλησίας σαφέστερα καὶ συντομώτατα ἅμα εἰκονίζεται ἡ οὐσία τοῦ βαθυτάτου τούτου δόγματος ἐν ταῖς ἑπομέναις λέξεσι τοῦ συμβόλου τοῦ Ἁγίου Ἀθανα-

σίου Ἀλεξανδρείας. «Ἔστιν οὖν πίστις ὀρθὴ, ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ Υἱὸς, καὶ Θεὸς καὶ ἄνθρωπός ἐστι. Θεός ἐστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, πρὸ αἰώνων γεννηθείς· καὶ ἄνθρωπος ἐστιν, ἐκ τῆς οὐσίας τῆς μητρὸς ἐν χρόνῳ γεννηθείς. Τέλειος Θεὸς καὶ Ἄνθρωπος, ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς ὑποστάς· ἴσος τῷ Πατρὶ, κατὰ τὴν θεότητα· ἐλάττων τοῦ Πατρὸς κατὰ τὴν ἀνθρωπότητα· ὅς, εἰ καὶ Θεὸς ὑπάρχει καὶ ἄνθρωπος ὅμως οὐ δύο, ἀλλ' εἷς ἐστι Χριστὸς· εἷς δὲ, οὐ τροπῇ Θεότητος εἰς σάρκα, ἀλλὰ προσλήψει ἀνθρωπότητος εἰς θεότητα. Εἷς πάντως, οὐ συγχίσει φύσεων, ἀλλ' ἑνώσει ὑποστάσεων. »

§ 181. *Τὰ κυριώτερα ἄρθρα.*

Ἐντεῦθεν ἐξάγονται σαφῶς τρία τὰ κυριώτερα ἄρθρα ἐν τῷ περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ δόγματι.

α) περὶ τῆς θεότητος αὐτοῦ· β) περὶ τῆς ἀνθρωπότητος· γ) περὶ τοῦ τρόπου καὶ τῶν παρεπομένων τῆς ἐν αὐτῷ ἑνώσεως τῆς θεότητος μετὰ τῆς ἀνθρωπότητος.

§ 182. *Ὁ Ἰησοῦς Χριστὸς Θεὸς ἀληθινός.*

Ὅτι ὁ Ἰησοῦς Χριστὸς Θεὸς ἀληθινὸς καὶ Υἱὸς τοῦ Θεοῦ μονογενὴς καὶ ὁμοούσιος τῷ Πατρὶ, τοῦτο ἀναμφιβόλως ἀκαλύπτεται α) ἐκ τῶν περὶ τοῦ προσώπου τοῦ Λυτρωτοῦ προφητειῶν τῆς Παλαιᾶς Διαθήκης. Οὕτως ὁ Δαβὶδ ἀποκαλεῖ αὐτὸν Θεὸν καὶ Χριστὸν τοῦ Θεοῦ παρὰ τοὺς μετόχους αὐτοῦ (ψαλ. 44, 8). καὶ Κύριον καθήμενον ἐκ δεξιῶν τοῦ Κυρίου (109, 1). Ὁ δὲ Ἡσαΐας *ἐμμανουὴλ* καὶ *Θεὸν ἰσχυρὸν* (7, 14. 9 6) καὶ παρασκευάζων τὸν λαὸν εἰς προϋπάντησιν αὐτοῦ λέγει, «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν (40, 3). Ὁ Ἱερεμίας προφητεύων πε-

ρὶ τοῦ Βασιλέως, τοῦ μέλλοντος καθέζεσθαι ἐπὶ τοῦ θρόνου Δαβὶδ, ἀναγγέλει, ὅτι τὸ ὄνομα αὐτοῦ *Κύριος δικαιοσύνη ἡμῶν* (23, 6. 33, 15. 16). Παρὰ δὲ τῷ Βαροὺχ λέγεται Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν... *Μετὰ τοῦτο ἐπὶ γῆς ὤφθη καὶ ἐν τοῖς ἀνθρώποις συναναστράφη* (3, 36. 38). Ὁ δὲ Μαλαχίας μαρτυρεῖ, ὅτι ὁ ὑπὸ τοῦ Ἰσραὴλ προσδοκώμενος καὶ ἐρχόμενος σώσων τοὺς ἀνθρώπους ἐστὶν αὐτὸς ὁ Κύριος (3, 1). Συνεχέστερον δὲ ἀναγγέλλεται ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ὅτι ὁ Μεσσίας ἔσται αὐτὸ τὸ δεύτερον πρόσωπον τῆς Ὑπεραγίας Τριάδος ὁ Υἱὸς τοῦ Θεοῦ. Οὕτως ὁ Δαβὶδ ὀνομάζει αὐτὸν Υἱὸν τοῦ Θεοῦ *γεγεννημένον σήμερον*, τουτέστιν ἀπ' αἰῶνος, καὶ ἐκ γαστρὸς *τοῦ Πατρὸς*, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ (ψαλ, 2, 7. 109, 3)

β) Ἐκ τῶν μαρτυριῶν τῆς Καινῆς Διαθήκης. Ὁ Θεὸς Πατὴρ διὰ φωνῆς ἐξ οὐρανοῦ ἀπεκάλεσεν αὐτὸν ἀγαπητὸν αὐτοῦ Υἱὸν ἐπὶ τοῦ βαπτίσματος καὶ ἐπὶ τῆς μεταμορφώσεως (Ματθ. 3, 17. 17, 5). Καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἀποκαλεῖ ἑαυτὸν ἴσον καὶ ὁμοούσιον τῷ Πατρί. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν (Ἰωάν. 10,29). *καὶ Υἱὸν τοῦ Θεοῦ μονογενῆ* (Ἰωάν. 3, 16), τουτέστι μόνον. Σημαίνει δὲ ἡ λέξις Υἱὸν οὐχὶ θετὸν, οἷοι εἰσὶ πάντες οἱ ἀληθῶς πιστεύοντες, ἀλλὰ φυσικὸν καὶ ὁμοούσιον, οἷος ἐστὶ μόνος αὐτός. Καὶ οἱ Ἀπόστολοι ἀποκαλοῦσιν αὐτὸν ὡσαύτως *Θεὸν* (1 Ἰωάν. 1, 14. Τιτ. 2, 11—13. Ἰουδ. 4). *Θεὸν ἀληθινὸν καὶ εὐλογημένον εἰς αἰῶνας, φανερωθέντα ἐν σαρκὶ* (1 Ἰωάν. 5, 20, Ῥωμ. 9, 5. 1 Τιμ. 3, 16) καὶ Υἱὸν τοῦ Θεοῦ μονογενῆ ἀπεσταλμένον κατὰ τὸ πλήρωμα τοῦ χρόνου παρὰ τοῦ Θεοῦ, καὶ γενόμενον ἐκ γυναικὸς (Γαλ. 4, 4)

γ) Ἐκ τῶν σαφῶν καὶ συχνῶν μαρτυριῶν τῆς οἰκουμενικῆς Ἐκκλησίας, ἥτις ἀπ' αὐτῶν τῶν πρώτων αἰώνων διηνεκῶς ὡμολόγει τὸ δόγμα τοῦτο, καθαιροῦσα τοὺς κατ' αὐτοῦ αἱρετικούς. Καὶ δὴ κατὰ μὲν τὸν Α' αἰῶνα, τὸν Κήρινθον, τοὺς

Ἐβιωναίους, τοὺς Ναζηραίους. Κατὰ δὲ τὸν Β', τὸν Θεόδοτον, Ἀρτέμονα, Καρποκράτην. Κατὰ δὲ τὸν Γ' Παῦλον τὸν Σαμωσατέα· καὶ μετὰ ταῦτα κατὰ τὸν Δ' ἐπὶ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου δημοσίᾳ καθήρεσε τὸν Ἄρειον.

Τέλος δ) ἀναγκαῖον ἦν ὅπως ὁ Λυτρωτὴς ἡμῶν ᾖ πρόσωπον θεῖον. Διότι μόνον θεῖον πρόσωπον ἠδύνατο προσενεγκεῖν ἱκανὴν θυσίαν διὰ τὴν βαρυτάτην εὐθύνην παντὸς τοῦ ἀνθρωπίνου γένους, καὶ τὴν ἀξιομισθίαν αὐτοῦ λύτρον δοῦναι ἀντὶ πολλῶν· μόνον θεῖον πρόσωπον ἠδύνατο ἐπανορθῶσαι τὴν ἀνθρωπίνην φύσιν, καὶ ἀνακαινίσαι ἐν αὐτῇ τὴν ἀμαυρωθεῖσαν εἰκόνα τοῦ Θεοῦ, καὶ εἰσαγαγεῖν εἰς αὐτὴν φῶς, δύναμιν καὶ ζωήν· μόνον θεῖον πρόσωπον ἠδύνατο, ὅπως *συγκεφαλαιώσῃ τὰ πάντα* καὶ ἐξαφανίσῃ πάντα τὰ ὀλέθρια ἐπακολουθήματα τῆς ἁμαρτίας ἐν ἅπαντι τῷ κόσμῳ, καταλύσῃ τὸ κράτος καὶ συντρίψῃ αὐτὴν τὴν κεφαλὴν τοῦ ἀρχαίου ὄφεως τοῦ διαβόλου.

§ 183. *Ὁ Ἰησοῦς Χριστὸς ἀληθὴς ἄνθρωπος*

Ὁ Ἰησοῦς Χριστὸς, Θεὸς ὢν ἀληθὴς, ἐστὶν ἅμα ἀληθὴς καὶ τέλειος ἄνθρωπος, οὐχὶ κατὰ δόκησιν λαβὼν σῶμα, ἀλλὰ πραγματικὸν καὶ μετὰ λογικῆς ψυχῆς. Δῆλον δὲ τοῦτο α) ἐκ τῶν τῆς Παλαιᾶς Διαθήκης ἐπαγγελιῶν καὶ προφητειῶν περὶ τοῦ Μεσσίου ἐν αἷς καλεῖται Σπέρμα τῆς Γυναικὸς (Γεν. 3, 15), ἀπόγονος τοῦ Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακὼβ· Υἱὸς τοῦ Ἰεσσαῖ καὶ Δαβὶδ, προαναγγέλλεται δὲ καὶ ὁ τρόπος τῆς γεννήσεως Αὐτοῦ (Ἡσ. 7, 14), καὶ αἱ διάφοραι περιστάσεις τοῦ βίου αὐτοῦ. β) Ἐκ τῆς Καινῆς Διαθήκης. Καὶ *πρῶτον* οἱ Εὐαγγελισταὶ Ματθαῖος καὶ Λουκᾶς διηγοῦνται τὴν ἐκ Παρθένου γέννησιν αὐτοῦ, τὴν αὔξησιν αὐτοῦ μέχρι τριακονταετοῦς ἡλικίας, καὶ παραιτέρω τὸν μετὰ ταῦτα βίον μέχρι τοῦ σταυ-

ρικοῦ θανάτου καὶ τὴν μετ' αὐτὸν ἀνάστασιν καὶ εἰς οὐρανοὺς ἀνάληψιν. *Δεύτερον* ἀποδίδοται τῷ Ἰησοῦ Χριστῷ πᾶν ὅ,τι. ἴδιον ἀληθεῖ καὶ πραγματικῷ ἀνθρώπῳ. Καὶ δὴ ἀνθρώπινον *σῶμα*, κεφαλὴ πληγεῖσα ἐκ τῶν ἀκανθῶν, χεῖρες καὶ πόδες ἥλοις διατρυπηθέντες, πλευρὰ λόγχῃ κεντηθεῖσα. Διὸ καὶ ὑπέστη πᾶν τὸ ἰδιάζον τῷ σώματι· περιετμήθη, μεταλάμβανε τροφῆς, ἐπείνα, ἐδίψα, ἐκοπία, ἐκάθευδε, ἀπέθανε καὶ ἐτάφη. Ἀποδίδοται ἀληθῶς ἀνθρωπίνη ψυχὴ, περὶ ἧς αὐτὸς ὁ Σωτὴρ λέγει « περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. (Ματθ. 26, 38), καὶ Πάτερ εἰς χεῖράς σου παραδίδωμι τὸ πνεῦμα μου (Λουκ. 23, 46)· ἀποδίδοται *ψυχὴ λογικὴ*, ἐν ᾗ βαθμηδὸν, κατὰ τὴν ἰδιότητα τῆς ἀνθρωπίνης φύσεως, ἀπεκαλύπτετο ἡ σοφία τοῦ Θεοῦ (Λουκ. 2, 52), καὶ ψυχὴ, θέλησιν ἔχουσα διάφορον τῆς τοῦ Θεοῦ (Λουκ. 22, 42), ψυχὴ αἰσθανομένη χαρὰν, λύπην, ἀγανάκτησιν καὶ τὰ λοιπὰ αἰσθήματα ἀποδίδοται αὐτῷ καὶ αὐτὴ ἡ ὀνομασία τοῦ ἀνθρώπου. Οὕτως αὐτὸς οὗτος πολλάκις ὠνόμαζον ἑαυτὸν Υἱὸν τοῦ ἀνθρώπου (Ματθ. 8, 20. 11, 19. 20, 28. Ἰωάν. 3, 13. 5, 27) καὶ *ἄνθρωπον* «ζητεῖτε με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκεν (Ἰωάν. 8, 40). Ὁ Ἅγιος Ἀπόστολος Παῦλος λέγει «εἷς γὰρ Θεὸς, εἷς καὶ Μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς (1 Τιμ. 2, 5). «Ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ (1 Κορ. 15, 47). «ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν (Ἑβρ. 2, 14). Καὶ ὁ Ἀπόστολος Ἰωάννης «Ὁ λόγος σὰρξ ἐγένετο (Ἰωάν. 1. 14). Καὶ πάλιν «πᾶν πνεῦμα, ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν· καὶ τοῦτο ἐστὶ τὸ τοῦ ἀντιχρίστου (1 Ἰωάν. 4, 3).

γ) Τὸ δόγμα τοῦτο ἐπικυροῦται ὑπὸ τῆς διηνεκοῦς φωνῆς τῆς Οἰκουμενικῆς Ἐκκλησίας. Οὕτω κατὰ τὸν Α', Β', καὶ Γ', αἰῶνα ἀπέῤῥιψεν αὕτη τὴν πλάνην τῶν Δοκητῶν, τῶν ἀποδιδόντων τῷ Ἰησοῦ Χριστῷ σῶμα οὐχὶ ἀληθὲς, ἀλλὰ κατὰ δόκη-

. Κατὰ τὸν Δ' αἰῶνα τὴν πλάνην τοῦ Ἀπολλιναρίου, διδάσκοντος, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἔλαβε μόνον ἀνθρώπινον σῶμα, ἀντὶ δὲ ψυχῆς ἦν Αὐτῷ ἡ θεότης. δ) Τοῦτο ἦν ἀναγκαῖον καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν. Διότι μόνον σαρκωθεὶς ὁ Υἱὸς τοῦ Θεοῦ ἠδύνατο προσενεγκεῖν τὴν θυσίαν ὑπὲρ τῶν ἁμαρτημάτων παντὸς τοῦ κόσμου, καὶ περιποιήσασθαι διὰ ταύτης συγχώρησιν τῷ ἀνθρωπίνῳ γένει. Καὶ μόνον δι' ἀληθοῦς ἑνώσεως μετὰ τῆς ἡμετέρας φύσεως ἠδύνατο μεταδοῦναι ἡμῖν τὴν ἀνεκτίμητον αὐτοῦ ἀξιομισθίαν, καθαίρων τὴν φύσιν ἡμῶν ἀπὸ τῆς ἁμαρτίας καὶ εἰσάγων εἰς αὐτὴν ἀπαρχὴν νέας ζωῆς. «Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, λέγει ὁ Ἀπόστολος, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν σαρκὶ (Ῥωμ. 8 3. Εβρ. 2, 14—18). Διὰ τοῦτο, εἰ ὁ Ἰησοῦς Χριστὸς εἶχεν οὐχὶ ἀληθὲς ἀλλὰ φαινόμενον σῶμα, τότε, κατὰ τὸν Μέγαν Ἀθανάσιον (1), καὶ ἡ σωτηρία ἡμῶν ἦν ἂν φαινομένη μόνον καὶ οὐχὶ πράγματι· καὶ εἰ ὁ Ἰησοῦς Χριστὸς λαβὼν σῶμα οὐκ ἐλάμβανε καὶ ψυχὴν ἀνθρωπίνην τότε, ὡς λέγει ὁ Ἅγ: Δαμασκηνὸς (2) «τὸ ἀπρόσληπτον ἀθεράπευτον. »

§ 184. *Ὁ Ἰησοῦς Χριστὸς ἄνθρωπος τῆς αὐτῆς ἡμῖν φύσεως.*

Ὁ Ἰησοῦς Χριστὸς οὐ μόνον τέλειος ἄνθρωπος, ἀλλὰ καὶ ἄνθρωπος τῆς αὐτῆς ἡμῖν φύσεως ἐστὶν, οὐχὶ ἄλλην τινὰ ἀνθρωπίνην φύσιν προσενεγκὼν ἐξ οὐρανοῦ, ἀλλὰ λαβὼν ἐκ τῶν ἁγνῶν αἱμάτων τῆς Ὑπεραγίας Παρθένου συγγενῆ ἡμῖν ἀνθρωπότητα τὴν ἐξ Ἀδάμ. Τοῦτο δὲ σαφῶς μαρτυρεῖ

---

(1) Λόγος περὶ ἐνσαρ.

(2) Ἔκθ. πίστεως βιβλ. Γ' κφ. 6.

α) Ἡ γενεαλογία Αὐτοῦ, καθ' ἣν Οὗτος ἐστὶ τὸ Σπέρμα τῆ Γυναικὸς, υἱὸς τοῦ Ἀβραὰμ καὶ Δαβὶδ, ἅμα δὲ καὶ ἡ ἱστορία τῆς συλλήψεως, καὶ τῆς γεννήσεως Αὐτοῦ ἐκ τῆς Ὑπεραγίας Παρθένου, ἧς καρπὸν κοιλίας ἡ Αγ. Ἐλισάβετ Αὐτὸν ἀπεκάλεσεν (Λουκ. 1, 42).

β) Ὁ ἅγιος Ἀπόστολος Παῦλος λέγει, «ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν Αὐτοῦ, γενόμενον ἐκ γυναικός» (Γαλ. 4, 4)· καὶ πάλιν «οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται» (Ἑβρ. 2, 16). Πρὸς τούτοις γ) εἰ ὁ Ἰησοῦς Χριστὸς οὐ παρελάμβανε συγγενῆ ἡμῖν ἀνθρωπότητα, καὶ τὸ ἔργον τῆς σωτηρίας τὸ ὑπ' Αὐτοῦ τελεσθὲν οὐδεμίαν ἂν εἶχε πρὸς ἡμᾶς ἀναφοράν. Διότι ὡς ἡ ἁμαρτία τοῦ Ἀδὰμ μεταδίδοται ἡμῖν διὰ τῆς μετ' αὐτοῦ συγγενείας, οὕτω βεβαίως καὶ ἡ δικαιοσύνη τοῦ Σωτῆρος ἡμῶν οὐκ ἠδύνατο ἄλλως μεταδοθῆναι ἡμῖν, εἰμὴ δ' ὁμοίας στενῆς συγγενείας Αὐτοῦ μεθ' ἡμῶν. Διὰ τοῦτο δ) Ἡ Ἁγία ἐκκλησία ἀναιρέσασα τὴν πλάνην τοῦ Βαλεντίνου, διδάσκοντος, ὅτι ὁ Ἰησοῦς Χριστὸς διῆλθεν διὰ τῆς Ἁγίας Παρθένου, ὡς διά τινος σωλῆνος μόνον, καὶ κατήνεγκεν ἐξ οὐρανοῦ ἄλλην σάρκα, καὶ τὴν αἵρεσιν τοῦ Ἀπελλοῦς διισχυριζομένου, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἔπλασεν ἑαυτῷ σῶμα ἐξ ὕλης ἀστεροειδοῦς, ὥρισεν ἐπὶ τῆς Γ' Οἰκουμενικῆς Συνόδου ὁμολογεῖν ἐν Χριστῷ Ἰησοῦ δύο ἀληθεῖς γεννήσεις, τὴν πρὸ αἰώνων ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, καὶ τὴν *ἐν χρόνῳ* ἐκ τῆς Οὐσίας τῆς Μητρός.

§ 185. *Ὁ Ἰησοῦς Χριστὸς ἄνθρωπος ἀναμάρτητος καὶ θαυμασίως γεννηθείς.*

Ἐν τούτοις ὁ Ἰησοῦς Χριστὸς τέλειος ὢν ἄνθρωπος καὶ τῆς αὐτῆς ἡμῶν φύσεως διεκρίνετο πάντων τῶν ἀνθρώπων· α) ὅτι καίπερ λαβὼν ὅλην τὴν ἡμετέραν φύσιν μετὰ τῶν ἀδυναμιῶν

αὐτῆς, οὐ παρέλαβε καὶ τὸ προπατορικὸν ἁμάρτημα, ἀλλ' ἦν ἐντελῶς Ἅγιος καὶ ἀναμάρτητος, λαβὼν τὴν ἀνθρωπότητα αὐτοῦ ἐκ τῆς ἁγιωτάτης Παρθένου, προκαθαρθείσης ἤδη τοῦ ῥύου τῆς ἁμαρτίας. Διὰ τοῦτο ὁ προφήτης Ἡσαΐας λέγει περὶ Αὐτοῦ « ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι Αὐτοῦ. Ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν » (53, 4. 5. 9). Αὐτὸς Οὗτος ἐρωτᾷ τοὺς Ἰουδαίους. « Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας» (Ἰωάν. 8, 46); Ὁ δὲ Ἀπόστολος Ἰωάννης λέγει, ὅτι ἁμαρτία ἐν Αὐτῷ οὐκ ἔστιν (Ἰωαν. 3, 5). Ὁ δὲ Ἀπόστολος Παῦλος μαρτυρεῖ, ὅτι Αὐτὸς ἦν πεπειρασμένος κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας» (Ἑβρ. 4, 15). β) Ἡ σύλληψις καὶ ἡ γέννησις τοῦ Ἰησοῦ Χριστοῦ ἦν ὑπερφυσικὴ, ἐκ μόνης Παρθένου, μὴ γινωσκούσης ἄνδρα, μνηστευθείσης δὲ τῷ Ἰωσὴφ μόνον πρὸς φυλακὴν τῆς παρθενίας Αὐτῆς. Τοῦτο προανηγγέλθη ἤδη ἐν τῷ πρωτευαγγελίῳ τοῖς πρωτοπλάστοις, καὶ ὑπὸ τοῦ προφήτου Ἡσαΐου (7, 14). Ἐπληρώθη δὲ τῇ δυνάμει καὶ ἐπιφοιτήσει ἐπὶ τῆς Ὑπεραγίας Παρθένου τοῦ Πνεύματος τοῦ Ἁγίου, εἰπόντος Αὐτῇ τοῦ Ἀγγέλου « Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι (Λουκ. 1, 35). Ὡς καὶ τῷ Ἰωσὴφ τῷ μνηστῆρι εἴρηται « τὸ ἐν Αὐτῇ γεννηθὲν ἐκ Πνεύματός Ἁγίου ἐστίν » (Ματθ 1, 20). Τοιαύτη δ' ἄνευ ἀνδρὸς γέννησις τοῦ Ἰησοῦ Χριστοῦ οὐδαμῶς λύει τὴν τῷ Ἀβραὰμ καὶ Δαβὶδ καὶ πᾶσιν ἡμῖν συγγένειαν Αὐτοῦ. Διότι ἡ Ὑπεραγία Μήτηρ Αὐτοῦ ἦν ὄντως θυγάτηρ Ἀβραὰμ καὶ Δαβὶδ καὶ τὴν αὐτὴν εἶχε φύσιν ἡμῖν. Ἐκ ταύτης δὲ καὶ ἐκ τοῦ αἵματος Αὐτῆς τὴν ἀνθρωπότητα ἔλαβεν ὁ Σωτήρ.

§ 186. *Ἡ ἀειπαρθενία τῆς ὑπεραγίας Θεοτόκου.*

Ἐπὶ τούτου στηρίζεται τὸ δόγμα τῆς Ἐκκλησίας περὶ τῆς παρ-

θενίας τῆς Ὑπεραγίας Θεοτόκου *πρὸ τῆς γεννήσεως*. Πλὴν τούτου ἡ ὀρθόδοξος ἐκκλησία πιστεύει καὶ ὁμολογεῖ, ὅτι Αὐτὴ καὶ *ἐν τῇ γεννήσει* διέμεινε παρθένος, τεκοῦσα τὸν Ἰησοῦν Χριστὸν ἄνευ ὠδίνων καὶ ἄνευ ἀπωλείας τῆς παρθενίας, ὅπερ προανήγγειλεν ὁ προφήτης Ἰεζεκιὴλ ἐν τῷ μυστικῷ αὐτοῦ ὁράματι τοῦ ναοῦ καὶ τῆς πύλης « δι' ἧς οὐδεὶς διελεύσεται ὅτι Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη» (44, 1—3). Πιστεύομεν πρὸς τούτοις, ὅτι ἡ Μήτηρ τοῦ Θεοῦ *καὶ μετὰ τὴν γέννησιν* ἔμεινε Παρθένος, μὴ γνοῦσα δι' ὅλου τοῦ βίου ἄνδρα. Οὕτω δ' ἐστὶν Ἀειπάρθενος.

Ἡ ὁμολογία δ' αὕτη, ἅμα δὲ καὶ ἡ εἰς ταύτην πίστις, ἐστὶν ἀναντίρρητος ἀποστολικὴ Παράδοσις. Διότι ἀπαντᾶται, ὡς κοινῶς παραδεδεγμένη, παρὰ πᾶσι τοῖς Πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας (1)· μετεχειρίσθησαν δ' αὐτὴν καὶ οἱ Πατέρες ἐπὶ τῆς Δ' καὶ Ε' Οἰκουμενικῶν Συνόδων, ἐν αἷς καὶ ἀνεθεματίσθησαν οἱ μὴ ὁμολογοῦντες τὸ δόγμα τοῦτο (2), ὡς καὶ νῦν ἡ ἡμετέρα Ἐκκλησία τοῦτο ποιεῖ ἐν τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας.

§ 187. Ὁ τρόπος τῆς ἑνώσεως ἐν Ἰησοῦ Χριστῷ τῶν δύω φύσεων.

Διὰ τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως ἡ θεότης καὶ ἡ ἀνθρωπότης ἡνώθησαν ἐν Ἰησοῦ Χριστῷ. Αὕτη δ' ἐστίν.

α) *Ἀδιαίρετος* καὶ ὑποστατική, ἐν ᾗ ἡ ἀνθρωπίνη φύσις προσελήφθη ἐν τῷ προσώπῳ τῆς θεότητος, ὥστε κατὰ τοὺς λόγους Ἰωάννου τοῦ Δαμασκηνοῦ (3), « ἡ αὐτὴ ὑπόστασις

---

(1) Ὁ Ὠριγένης ῥητῶς ἀποκαλεῖ τοῦτο ἀποστολικὴν παράδοσιν εἰς Ματθ λογ. 25. ὁ Ἱππόλυτος, Μεθόδιος, Ἀθανάσιος ὁ Μέγας, Ἐπιφάνιος, Χρυσόστομος, Αὐγουστῖνος καὶ ἄλλοι μετεχειρίζοντο τὴν ὀνομασίαν ταύτην.

(2) Ἴδε τὸν 2ον καὶ 6ον ὅρον τῆς Ε'. Οἰκουμ. Συνόδου καὶ τὸν 1. κανόνα τῆς 6ης·

(3) Ἔκθ. Πίστ· βιβλ. Τ', κφ. 9.

τοῦ Λόγου, ἀμφοτέρων τῶν φύσεων ὑπόστασις χρηματίσασα, ἀεὶ ἀμφοτέρων ἀδιαιρέτως καὶ ἀχωρίστως ὑπάρχει ὑπόστασις· οὐ γὰρ ἰδιοσυστάτως ὑπέστη ἡ τοῦ Θεοῦ Λόγου σὰρξ, οὐδὲ ἑτέρα ὑπόστασις γέγονε παρὰ τὴν τοῦ Θεοῦ Λόγου ὑπόστασιν, ἀλλ' ἐν αὐτῇ ὑποστᾶσα ἐνυπόστατος γέγονεν.»

Διὰ τοῦτο ὁ Ἰησοῦς Χριστὸς ἐστὶν, οὐχὶ δύο, ἀλλ' ἕν θεῖον πρόσωπον, ἑνιαίως συνειδὸς ἑαυτὸν ἐν δυσὶ φύσεσιν,, ἐστὶν ἀληθὴς Ἐμμανουὴλ τουτέστι Θεάνθρωπος. Τοῦτο δὲ σαφῶς δείκνυσιν καὶ Ἁγ. Γραφή. Καὶ ὁ μὲν προφήτης Ἡσαΐας ἀποκαλεῖ τὸν Σωτῆρα Ἐμμανουὴλ (Ἡσ. 7, 14). καὶ νοεῖ ἕν πρόσωπον καὶ οὐχὶ δύο, ὅτε εἰκονίζει αὐτὸν, ὁτὲ μὲν ταπεινὸν, ὁτὲ δὲ ἔνδοξον. Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς πανταχοῦ μαρτυρεῖ περὶ ἑαυτοῦ, ὡς περὶ ἑνὸς προσώπου, καὶ ταπεινῶν ἑαυτὸν καὶ θείας ἰδιότητας ἑαυτῷ ἀποδιδοὺς (Ἰωαν. 3, 13. 6, 62. 10, 15). Ὁ δὲ Ἀπόστολος Παῦλος τὸν ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν ἀποκαλεῖ καὶ *σπέρμα Δαβὶδ καὶ Υἱὸν τοῦ Θεοῦ* (Ῥωμ. 1, 3. 4). Περὶ τοῦ αὐτοῦ λέγει, ὅτι καὶ εἰκὼν Θεοῦ, καὶ μορφὴν δούλου ἔλαβεν (Φιλιπ. 2, 6. 7) Καὶ τέλος τοῦτο ἐπεκυρώθη ἐν τῇ τρίτῃ Οἰκουμ. Συνόδῳ κατὰ Νεστορίου ὅστις ἐδίδασκε τὴν ἐν Χριστῷ ἕνωσιν οὐχὶ ὑποστατικὴν, ἀλλ' *ἠθικὴν*, οἱονεί τινα ἐισκήνωσιν τοῦ Θεοῦ Λόγου ἐν Χριστῷ, ὡς ἐν Ναῷ. Διὸ καὶ δύο Χριστοὶ παρ' αὐτῷ, ὁ μὲν εἷς ὁ ἄνθρωπος Χριστὸς ὁ γεννηθεὶς ἐκ Παρθένου ἦν καὶ ὠνόμασεν ὁ Νεστόριος διὰ τοῦτο Χριστοτόκον ὁ δὲ ἕτερος ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἑνωθεὶς τῷ πρώτῳ ἐν τῷ Βαπτίσματι. Ἐπὶ τῆς ἐν Ἐφέσῳ Συνόδου ἐγένετο ὁ ἀκόλουθος δογματικὸς ὅρος.

«Ὁμολογοῦμεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τέλειον τὸν αὐτὸν ἐν Θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι... τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς, καὶ σώματος... πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν Θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου τῆς Θεοτόκου κατὰ τὴν

ἀνθρωπότητα ... ἕνα καὶ τὸν αὐτὸν Υἱὸν καὶ μονογενῆ Θεὸν Λόγον, Κύριον Ἰησοῦν Χριστὸν » (Πραιτ· Συν. Τόμ. 2. σελ. 156) (1).

6) Ἔστιν *ἀσύγχυτος*, μηδαμῶς τῆς τῶν φύσεων διαφορᾶς ἀναιρουμένης, ἀλλὰ καὶ ἡ θεία φύσις ἔμεινεν ὁλοσχερὴς· διὸ καὶ ὁ Ἀπόστολος ἀποκαλεῖ Ἰησοῦν Χριστὸν « Εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου (Κολ. 1, 15), ἐν ᾧ « κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς » (Κολ. 2, 9), καὶ ἡ ἀνθρωπίνη φύσις διὸ καὶ ὁ Ἀπόστολος λέγει ὅτι μορφὴν δούλου ἔλαβεν, ἄτρεπτος καὶ ἐν ὁμοιώματι ἀνθρώπων ἐγένετο (Φιλιπ. 2, 7).

Τοῦτο δ' ἐκυρώθη καὶ ὑπὸ τῆς φωνῆς τῆς Καθόλου Ἐκκλησίας ἐπὶ τῆς 4ης Οἰκουμ: Συνόδου τῆς ἐν Χαλκιδόνι κατὰ Εὐτυχίου καὶ τῶν ὀπαδῶν αὐτοῦ τῶν Μονοφυσιτῶν, διδασκόντως σύγχυσιν καὶ συγχώνευσιν τῶν δύο φύσεων ἐν Ἰησοῦ Χριστῷ εἰς μίαν, ὥστε κατ' αὐτοὺς, ἢ ἡ ἀνθρωπίνη φύσις κατεπνίγη ὑπὸ τῆς θείας, ἢ ἡ θεία μετεβλήθη εἰς σάρκα, ἢ ἐξ ἀμφοτέρων προῆλθε τρίτη τις φύσις. Ἡ ἐν Χαλκιδόνι Σύνοδος ὥρισεν ὁμολογεῖν, « Ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, Υἱὸν, Κύριον, » μονογενῆ ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως » ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς » ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης (2). »

---

(1) Ἡ καθαιρεθεῖσα ὑπὸ τῆς ἐν Ἐφέσῳ Συνόδου αἵρεσις τοῦ Νεστορίου οὐκ ἐσβέσθη ἐξ ὁλοκλήρου, ἀλλ' οἱ ὀπαδοὶ αὐτοῦ διεσπάρησαν ἐν Συρίᾳ Ἀρμενίᾳ Περσίᾳ καὶ Ἰνδίᾳ, ὧν διάδοχοι μέχρι τοῦδε σώζονται μεταξὺ τῶν Χαλδαίων Κατὰ δὲ τὴν 8ην ἑκατονταετηρίδα ἀνενέωσαν ἐν τῇ Δύσει μετά τινων ἀλλοιώσεων οἱ Ἀδοπτιανοί. Ὑπέρμαχος τῆς Ὀρθοδοξίας κατὰ τῆς Νεστοριανῆς Αἱρέσεως ἐγένετο Κύριλλος Ἀλεξανδρείας.

(2) Οἱ ὀπαδοὶ τῆς αἱρέσεως τῶν Μονοφυσιτῶν οὐκ ἐξέλιπον καὶ μετὰ τὴν ἐν Χαλκιδόνι Σύνοδον, διηρέθησαν δὲ εἰς διαφόρους αἱρετικὰς ὀνόματα Καὶ δὴ οἱ μὲν ἐκλήθησαν 1, Ἀκέφαλοι διότι ἐστερήθησαν τῆς κεφαλῆς αὐ-

γ) Ἔστιν ἄτρεπτος, μηδεμίαν τροπὴν παθουσῶν οὐ μόνον τῶν δύο φύσεων, ἀλλὰ καὶ τῶν ἰδιωμάτων ἑκάστης αὐτῶν, ὥστε κατὰ τὸν Ἅγιον Δαμασκηνὸν « δύω θελήσεις (ἐν Χριστῷ) φυσικαὶ, ἥτε θεία καὶ ἡ ἀνθρωπίνη, καὶ ἐνέργειαι δύο θείατε καὶ ἀνθρωπίνη, καὶ αὐτεξούσια δύο, φυσικὰ θεῖον τε καὶ ἀνθρώπινον, καὶ σοφία τε καὶ γνῶσις θείατε καὶ ἀνθρωπίνη (1) ». Τῇ θείᾳ φύσει Αὐτοῦ ἀνήκουσι τὰ θαύματα καὶ πᾶν ἐν γένει τὸ ἐν τῇ Γραφῇ, ὅπερ ἀνοίκειον τῇ ἀνθρωπίνῃ φύσει.

Τῇ δὲ ἀνθρωπίνῃ φύσει ἀνήκουσιν αἱ ἀδυναμίαι αἱ θλίψεις τὰ παθήματα καὶ πᾶν τὸ ἀνοίκειον τῇ θείᾳ φύσει. Τοῦτο δὲ ἐκυρώθη καὶ ἐν τῇ 6η Οἰκουμ. Συνόδῳ κατὰ τῶν Μονοθελητῶν, οἵτινες ζητοῦντες καταλλαγήν τινα τῆς Ὀρθοδοξίας πρὸς τὴν αἵρεσιν τῶν Μονοφυσιτῶν ἐνόμισαν, ὅτι εὗρον ταύτην· καὶ δὴ ὅτι αἱ μὲν οὐσίαι τῶν δύο φύσεων διέμειναν ἀναλλοίωτοι μία δὲ μόνον θέλησις ἔμεινεν ἐν Αὐτῷ καὶ μία ἐνέργεια. Ἐναντίον δὲ τῆς ψευδοδιδασκαλίας ταύτης ὥρισεν ἡ 6η Οἰκ: Συν: « ὁμολογεῖν ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ δύο φύσεις καὶ δύο φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως· καὶ δύο μὲν φυσικὰ θελήματα οὐχ ὑπεναντία, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, καὶ μὴ ἀντιπίπτον, ἢ ἀντιπαλαῖον μᾶλλον μὲν οὖν καὶ ὑποτασσόμενον τῷ θείῳ Αὐτοῦ καὶ παντοδυνάμῳ θελήματι (2). »

αὐτῶν ἐν τῇ Πίτρου τοῦ Μάγνου. 2) Φουλλωνισταὶ ἀπὸ Πέτρου Φούλλωνος ἐπισκόπου Ἀντιοχείας. 3) Σεβηριανοὶ ἀπὸ Σεβήρου τοῦ Μοναχοῦ ἐν Παλαιστίνῃ μετὰ ταῦτα δὲ Πατριάρχου Ἀντιοχείας. 4) Ἰακωβῖται ἀπὸ Ἰακώβου Βαραδέου Ἐπισκόπου Ἐδέσσης οὗτοι διασώζονται μέχρις ἡμῶν ἐν Συρίᾳ καὶ Μεσοποταμίᾳ· ὡς καὶ ἐν Αἰγύπτῳ οἱ Κόπται καὶ Ἀβυσσηνίᾳ. 5, οἱ Ἀρμένιοι ἀποβάλλοντες μέχρι τοῦδε τὴν ἐν Χαλκ. Σύνοδον.

(1) Ἔκθ. Πίστ. βιβλ. 3· κφ. 13.

(2) Τὴν αἵρεσιν τῶν Μονοθελητῶν λαβοῦσαν ἀρχὴν ἐκ τῆς οὕτω καλουμένης

δ) Ἔστιν *ἐνδελεχὴς καὶ ἀχώριστος*· οὐκ ἄλλοτε ἀλλὰ κατὰ αὐτὴν τὴν σύλληψιν ἡ ἀνθρ. φύσις προσελήφθη τῇ θείᾳ. Πρὸς τούτοις δὲ ἡ ἕνωσις αὕτη οὐ διεκόπη καὶ ἐν αὐτῷ τῷ θανάτῳ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ μέχρι τέλους διαμενεῖ ἐν τῷ τρίτῳ προσώπῳ τῆς Ἁγ. Τριάδος ἡ ὑποστατικὴ αὕτη ἕνωσις.

§ 188. *Ἡ ὑπεργία Παρθένος ἐστὶν ἀληθῶς Θεοτόκος.*

Ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς ἀπ' αὐτῆς τῆς συλλήψεως, ἐστὶ θεῖον πρόσωπον, ἕπεται ἐκ τούτου, ὅτι ἡ ὑπεραγία Παρθένος οὐχ' ἁπλοῦν ἄνθρωπον ἔφερεν ἐν γαστρὶ καὶ ἐγέννησεν, ἀλλὰ Θεὸν ἐνσκηνώσαντα ἐν αὐτῇ καὶ λαβόντα ἐξ αὐτῆς σάρκα. Διὸ καὶ ἡ ἁγία Ἐλισάβετ ὠνόμασεν αὐτὴν *Μητέρα Κυρίου* (Λουκ. 1, 35), καὶ ἡ Ἁγία Ἐκκλησία ὁμολογεῖ Αὐτὴν *ὄντως Θεοτόκον*. Ἡ ὀνομασία δ' αὕτη ἔλαβε τὴν ἀρχὴν ἐξ αὐτῆς τῆς Ἀποστολικῆς Παραδόσεως· διότι ἐκπαλαι ἤδη ἦν ἐν χρήσει παρὰ τοῖς πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας. Οὕτω π. χ. κατὰ τὸν τρίτον αἰῶνα παρὰ Διονυσίῳ καὶ Ἀλεξάνδρῳ Ἀλεξανδρείας. Κατὰ τὸν 4ον αἰῶνα ἐν συχνῇ χρήσει ἦν παρὰ Ἀθανασίῳ, Ἐφραὶμ, Κυρίλλῳ, Ἱεροσολύμων Γρηγορίῳ τῷ Θεολόγῳ Γρηγορίῳ Νύσης καὶ λοιποῖς. Ὁ Γρηγορ: ὁ Θεολόγος λέγει μάλιστα «εἴτις οὐ Θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει χωρίς ἐστι

ἐκθέσεως τοῦ Ἡρακλείου καὶ τοῦ μετὰ ταῦτα τύπου Κωνσταντίνου τοῦ Βου, κατ' ἀρχὰς παρεδέξαντο πολλοί ἐπίσκοποι τῶν ἐπιφανεστέρων ἑδρῶν, ὡς Σέργιος Πύρρος καὶ Παῦλος Πατριάρχαι Κωνσταντινουπόλεως. Ὀνώριος Ῥώμης, Κῦρος Ἀλεξανδρείας καὶ λοιποί, ὅσοι κατεκρίθησαν ἐν τῇ 6ης Οἰκ· Συν.— Μετὰ δὲ τὴν καθαίρεσιν τῆς αἱρέσεως οἱ ὀπαδοὶ συνεχωνεύθησαν ἔκτοτε μετὰ τῶν Μονοφυσιτῶν· μόνοι δὲ διεσώθησαν μέχρι τοῦ νῦν οἱ Μαρωνῖται (ἴδε Prim. lin. Historico—Iheologice. Rücff. P. 11. P. 233) Ὑπέρμαχος της ἀληθείας ἐγένετο Σωφρόνιος Ἱεροσολύμων. Ὁ δὲ ἅγιος Μάξιμος ὁ ὁμολογητὴς καὶ ὁ Ῥώμης Μαρτῖνος ἔπαθον ὑπὲρ Πίστεως.

τῆς Θεότητος(1)» Κατὰ τὸν 5ον αἰῶνα, ὅτε ὁ Νεστώριος ἐτόλμησε πρῶτος ἀντικατάστασιν δι' ἄλλου τοῦ ὀνόματος τούτου, καὶ ὁ λαὸς ἤκουσεν ἐν τῷ κηρύγματι τὸ ὄνομα Χριστοτόκος ἀντὶ Θεοτόκου, τὸ καινοφανὲς καὶ ἄηθες τοῦτο κατετάραξε πάντας **Τέλος αἱ Οἰκουμ: Σύνοδοι 3, 4, 5, 6, 7** ἐστερέωσαν τὴν ὀνομασίαν τῆς Θεοτόκου διὰ τῆς κοινῆς φωνῆς τῆς Ἐκκλησίας ὀχυρώσαντες τὸ δόγμα δι' ἀναθέματος κατὰ τῶν ἐναντίων. « Εἴτις καταχρηστικῶς, ἀλλ' οὐκ ἀληθῶς Θεοτόκον λέγει τὴν » ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, οὗτος ἀνάθεμα (6ος ὅρος τῆς Ε' Οἰκ. Συν.)

§ 189. *Αἱ ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἐν Ἰησοῦ Χριστῷ συνέπειαι.*

Συνέπεια τῆς ἑνώσεως ἐν Χριστῷ Ἰησοῦ τῆς θείας καὶ ἀνθρωπίνης φύσεως ἐστίν.

α) Ἡ *κοινωνία τῶν ἰδιωμάτων* θείων τε καὶ ἀνθρωπίνων. Αὕτη κατὰ τὸν Ἅγ. Δαμασκηνὸν συνίσταται ἐν τούτῳ, ὅτι ἑκάστη φύσις ἐν Ἰησοῦ Χριστῷ ἐπιτίθησι τὰ ἴδια ἰδιώματα τῇ ἑτέρᾳ διὰ τὴν ταὐτότητα τῆς ὑποστάσεως καὶ τὴν ἀμοιβαίαν *περιχώρησιν*, ὥστε τῷ μὲν ἐν Χριστῷ Ἰησοῦ ἀνθρώπῳ ἀποδίδονται θεῖα ἰδιώματα, τῷ δὲ ἐν αὐτῷ Θεῷ ἀνθρώπινα ἰδιώματα. Παρατηρητέον δέ, ὅτι ἡ κοινωνία αὕτη λαμβάνει χώραν, οὐχὶ ἑκάστης φύσεως ἰδίᾳ θεωρουμένης, ἐκτὸς δηλ. τῆς ὑποστατικῆς ἑνώσεως, ἀλλ ἐν ταύτῃ (οὐκ ἀφῃρημένως ἀλλὰ συγκεκριμένως). « Θεότητα μὲν οὖν λέγοντες, οὐ κατονομά- » ζομεν αὐτῆς τὰ τῆς ἀνθρωπότητος ἰδιώματα· οὐ γὰρ φαμὲν » Θεότητα παθητὴν ἢ κτιστήν. οὔτε δὲ τῆς σαρκὸς, ἤτοι τῆς » ἀνθρωπότητος κατηγοροῦμεν τὰ τῆς Θεότητος ἰδιώματα· » οὐ γὰρ φαμὲν σάρκα, ἤτοι ἀνθρωπότητα ἄκτιστον· κἂν δ' » ἐκ τοῦ συναμφοτέρου, κἂν ἐξ ἑνὸς τῶν μερῶν ταύτην ὀνο-

(1) Ἐπιστ. πρὸς κλαυδόνιον Α'. εἴτε 51 λόγος.

» μάσωμεν ἀμφοτέρων τῶν φύσεων τὰ ἰδιώματα αὐτῇ ἐπιτί-
» θεμεν, καὶ ὁ Χριστὸς, ὅπερ ἐστὶ τὸ συναμφότερον καὶ Θεὸς
» καὶ ἄνθρωπος λέγεται.... Θεὸς παθητὸς ὀνομαζόμενος, καὶ
» *κύριος τῆς δόξης ἐσταυρωμένος* (1 Κορ. 2, 8), ... παι-
» δίον προαιώνιον, ἄνθρωπος ἄναρχος κτλ. (1). »

β) *Θεανδρικαὶ ἐνέργειαι.* Οὕτω δὲ καλοῦνται, οὐχὶ ἄλ-
λαι τινες ἐνέργειαι παρὰ τὰς τῶν δύο φύσεων, ἀλλ' αἱ αὐταὶ
αἱ ἐν τῇ ὑποστατικῇ ἑνώσει συνδεόμεναι. διότι ὁ Ἰησοῦς Χρι-
στὸς, κατὰ τὸν Αγ. Δαμασκηνὸν «οὐκ ἀνθρωπίνως ἔπραττε τὰ
ἀνθρώπινα. οὐ γὰρ ἄνθρωπος, ἀλλὰ καὶ Θεός ... Οὐδὲ Θεϊ-
κῶς ἐνήργει θεῖα· οὐ γὰρ Θεὸς μόνον, ἀλλὰ καὶ ἄνθρωπος»(2)

γ) *Ἡ Θέωσις τῆς ἀνθρωπότητος·* συνίσταται δ' ἐν τούτῳ,
ὅτι ἡ ἀνθρωπίνη φύσις τοῦ Ἰησοῦ Χριστοῦ, μηδὲν κοινωνήσα-
σα τῇ Θείᾳ, αὐτὴ ἐκ ταύτης ἔλαβεν τελειότητας διὰ τῆς ἑνώ-
σεως «Οὐ κατὰ μεταβολὴν φύσεως, ἢ τροπὴν, ἢ ἀλλοίωσιν
ἢ σύγχυσιν, ἀλλὰ κατὰ τὴν Οἰκονομικὴν ἕνωσιν τὴν καὶ ὑπό-
στασιν λέγω... Καὶ τὴν ἐν ἀλλήλαις τῶν φύσεων περιχώρη-
σιν (3).» Τοῦτο ὅμως οὐκ ἐπεκτείνεται ἐπὶ πάντα τὰ ἰδιώμα-
τα τὰ Θεῖα. Διότι τὰ ἰδιώματα τῆς *Θείας οὐσίας* δηλ. ἡ τε-
λεία ἁπλότης καὶ τὸ ἄϋλον, ἡ παντα χοῦ παρουσία, τὸ ἄναρχον,
τὸ ἀναλλοίωτον, ἡ ἀνεξαρτησία οὐμετεδόθησαν τῇ ἀνθρ· φύσει,
διότι οὕτω μεταβάλλεται ἡ οὐσία τῆς ἀνθρωπίνης φύσεως, ἀλ-
λὰ τὰ ἰδιώματα *τῆς ζωῆς τοῦ Θεοῦ*, τουτέστιν ἡ τελεία ἁγιό-
της, σοφία, ἀγαθότης, δικαιοσύνη, δόξα καὶ μακαριότης, ἡ ἀφ-
θαρσία καὶ ἀθανασία· διότι ἐν Χριστῷ Ἰησοῦ ἡνώθη ἡ ἀνθρ:
φύσις στενώτα καὶ ὑποσταικῶς.

δ) Τῷ Ἰησοῦ Χριστῷ προσήκει *μία θεία προσκύνησις*, ὡς

---

(1) Ἔκθ. Πίστ: Γ'.4:
(2) Αὐτόθι Γ', 15.
(3) Αὐτόθι Γ'. 17.

ἑνὶ προσώπῳ Θεῷ ἐν σαρκὶ, μηδαμῶς χωριζομένης ἐν Αὐτῷ τῆς θεότητος ἀπὸ τῆς ἀνθρωπότητος, ἀπὸ τῆς πνευματικῆς φύσεως τῆς σαρκός. «Εἷς ἐστιν ὁ Χριστός· Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, ὃν προσκυνοῦμεν σὺν Πατρὶ καὶ Πνεύματι μιᾷ προσκυνήσει μετὰ τῆς ἀχράντου σαρκὸς αὐτοῦ οὐκ ἀπροσκύνητον τὴν σάρκα λέγοντες· προσκυνεῖται γὰρ ἐν μιᾷ τοῦ Λόγου Ὑποστάσει, ἥτις αὐτῇ Ὑπόστασις γέγονεν (1).»

Διὰ τοῦτο ὁ Ἀπόστολος λέγει ὅτι «ἐν τῷ ὀνόματι Ἰησοῦ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων» (Φιλπ. 2 10), «καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ» (Ἑβρ. 1, 6). Ὁ δὲ Ἀπόστολος Ἰωάννης εἶδεν ἐν μυστικῷ ὁράματι, ὅτι τῷ ἐσφαγμένῳ ἀρνίῳ ἄλλοτε, νῦν δὲ καθημένῳ ἐπὶ τοῦ θείου θρόνου μυριάδες μυριάδων ἀγγέλων καὶ πᾶν κτίσμα προσεκύνησαν θεοπρεπῶς ᾄδοντες «ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων» (Ἀποκαλ: 5, 11— 13).

§ 190. *Περὶ τῆς τιμῆς τῆς εἰκόνος τοῦ Σωτῆρος Χριστοῦ.*

Ἐπὶ τῆς διδασκαλίας περὶ τοῦ Μυστηρίου τῆς ἐνσαρκώσεως στηρίζεται καὶ τὸ δόγμα περὶ τῆς *προσκυνήσεως τῆς εἰκόνος* τοῦ Σωτῆρος Χριστοῦ. Διότι εἰ ἡ πανάχραντος σάρξ αὐτοῦ οὐκ ἔστι φάσμα καὶ κατὰ δόκησιν, ἀλλ' ἀληθὴς καὶ πραγματικὴ, ἡνώθη δὲ ἐν Αὐτῷ ἀδιαιρέτως καὶ ὑποστατικῶς μετὰ τῆς θεότητος καὶ διὰ τοῦτο ὀφείλεται Αὐτῇ θεοπρεπὴς προσκύνησις· δῆλον ἄρα, ὅτι οὐ μόνον θεμιτὴ ἡ ἐξεικόνησις τῆς θεωθείσης σαρκὸς ἀλλὰ καὶ ὀφείλεται τῇ Εἰκόνι ταύτῃ ἡ προσήκουσα τιμὴ καὶ προσκύνησις, οὐχὶ βεβαίως θεουμένης τῆς εἰκόνος ἀλλ' ἀναγομένης τῆς τιμῆς εἰς τὸ πρωτότυπον. Τοῦτο δὲ καλῶς εἴρηται ἐν ἐκκλησιαστικῷ τινι ὕμνῳ «Φύσει ἀπερίγραπτος τῇ Θεϊκῇ σου ὑπάρχων, ἐπ' ἐσχάτων Δέσποτα σαρκωθείς, ἠξίωσας

(1) Λιτάθι Γ'. 7.—

»περιγράφεσθαι, τῆς σαρκὸς προσλήψει γὰρ καὶ τὰ ἰδιώματα »ἀνελάβου ἑαυτῆς ἅπαντα. Διὸ τὸ εἶδος σου τὸ τῆς ἐμφερείας »ἐγγράφοντες, σχετικῶς ἀσπαζόμεθα πρὸς τὴν σὴν ἀγάπην ὑψούμενοι (1).» Πρὸς τούτοις τὸ δόγμα τοῦτο στηρίζεται ἐπὶ τῆς Ἀποστολ: Παραδόσεως καὶ τοῦ παραδείγματος καὶ τῆς ἀδιαλείπτου φωνῆς της Οἰκουμ: Ἐκκλησίας. Ἡ ἀξιόπιστος καὶ πασίγνωστος διήγησις τῆς ἀρχαιότητος μαρτυρεῖ, ὅτι αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἀπέστειλεν πρὸς Αὔγαρον τὸν τῆς Ἐδέσσης ἡγεμόνα τὴν ἀχειροποίητον εἰκόνα Αὐτοῦ, ἥτις ἔκπαλαι ἦν γνωστὴ πᾶσι τοῖς χριστιανοῖς, καὶ ὁ Τερτυλλιανὸς ἀναφέρει, ὅτι ἐπ' αὐτοῦ (κατὰ τὸν Β'. αἰῶνα) ἦν ἐν χρήσει ἡ εἰκὼν τοῦ Ἰησοῦ Χριστοῦ ἐν εἴδει ποιμένος φέροντος πρόβατον. Κατὰ δὲ τὸν Δ' αἰῶνα θριαμβευσάσης τῆς Ἐκκλησίας αἱ ἅγιαι εἰκόνες τοῦ Σωτῆρος Χριστοῦ ἐκόσμουν τοὺς ναοὺς ἁπανταχοῦ, τιμώμεναι εὐλαβῶς καὶ παρὰ πᾶσιν. Μετὰ ταῦτα δὲ, κατὰ τοὺς δεινοὺς χρόνους τῆς εἰκονομαχίας, τὸ δόγμα τοῦτο ἐστερεώθη διὰ τοῦ αἵματος πολλῶν Ἁγίων ὁμολογητῶν καὶ τέλος ὁμοφώνως ὑπὸ τῆς Ἐκκλησίας ἐπὶ τῆς 7ης Οἰκουμενικῆς, 2ας δὲ ἐν Νικαίᾳ Συνόδου.

§ 191. *Σχέσις τῆς ἐνσαρκώσεως πρὸς τὴν Παναγίαν Τριάδα.*

Ἐπὶ τῆς σχέσεως τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως πρὸς τὴν Παναγίαν Τριάδα παρατηρητέον, ὅτι

α) ὁ Θεὸς Πατὴρ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, κατὰ τὸν Ἅγιον Δαμασκηνὸν (2)« κατ' οὐδένα κεκοινωνήκασι λόγον τῇ σαρκώσει τοῦ Θεοῦ λόγου, εἰμὴ κατ' εὐδοκίαν καὶ βούλησιν. » β) Ἡ σχέσις τοῦ δευτέρου προσώπου τῆς Ὑπεραγίας Τριάδος πρὸς

---

(1) Ἴδε ἐν Κυριακῇ τῆς Ὀρθ: προσομ, 3ον.
(1) Ἔκθ. Πίστ. Βιβλ. Γ', 6.

τὰ λοιπὰ πρόσωπα οὐδόλως μετεβλήθη διὰ τῆς ἐνσαρκώσεως. Διότι ἡ Θεότης Αὐτοῦ διέμεινεν ἀναλλοίωτος ὡς καὶ τὸ προσωπικὸν Αὐτοῦ ἰδίωμα, τὸ τοῦ γεννητοῦ υἱοῦ. Διότι, ὡς πρὸ τῆς ἐνσαρκώσεως ὁ Θεὸς Λόγος ἦν υἱὸς Θεοῦ καὶ ἐκ Πατρὸς γεννηθείς, οὕτω καὶ μετὰ τὴν ἐνσάρκωσίν ἐστὶν υἱὸς ἀνθρώπου γεννηθεὶς ἐκ μητρός. « Ὁ υἱὸς τοῦ Θεοῦ γίνεται υἱὸς ἀνθρώπου, λέγει ὁ Ἅγιος Δαμασκηνὸς, ἵνα μείνῃ ἡ ἰδιότης ἀκίνητος· υἱὸς γὰρ ὢν τοῦ Θεοῦ, υἱὸς ἀνθρώπου γέγονεν, σαρκωθεὶς ἐκ τῆς Ἁγίας Παρθένου, καὶ οὐκ ἐκστὰς τῆς ὑϊκῆς ἰδιότητος» (1)

β) Ὁ βίος τοῦ Ἰησοῦ Χριστοῦ.

§ 192. *Ἡ Διττὴ κατάστασις τοῦ Ἰησοῦ Χριστοῦ*

Ὁ ἐπίγειος βίος τοῦ Σωτῆρος Χριστοῦ διττός· ἡ ταπείνωσις, ἡ δόξα· καὶ τὸ μὲν πρῶτον καλεῖται *κατάστασις* ταπεινώσεως, τὸ δὲ δεύτερον κατάστασις δόξης.

1) Περὶ τῆς καταστάσεως τῆς ταπεινώσεως.

§ 193. *Ἡ περὶ τῆς καταστάσεως τῆς ταπεινώσεως ἔννοια καὶ ἡ ταύτης διάρκεια.*

Κατάστασις τῆς ταπεινώσεώς ἐστιν ὁ χρόνος τοῦ βίου τοῦ Σωτῆρος Χριστοῦ, καθ' ὃν Οὗτος κατὰ τὸν Ἀπόστολον, « ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανά-

(1) Ἔκθεσ. Πίστ. Βιβλ. Δ', κεφ. 4ον

του δὲ σταυροῦ» (Φιλιπ. 2, 6. 7. 8). Οὕτω δὲ ἡ κατάστασις αὕτη περιλαμβάνει ἅπαντα τὸν ἐπίγειον βίον τοῦ Ἰησοῦ Χριστοῦ μέχρις αὐτοῦ τοῦ θανάτου· διὸ καὶ καλεῖται ὑπὸ τοῦ Ἀποστόλου *ἡμέραι τῆς σαρκός*. (Ἑβρ. 5, 7). Σύγκειται δ' ἐκ τριάκοντα τριῶν καὶ ἡμίσεος ἔτους, ἐξ ὧν τὰ μὲν τριάκοντα ἀποτελοῦσι τὸν ἰδιωτικὸν ἢ κεκρυμμένον βίον Αὐτοῦ, τὰ δὲ λοιπὰ τρία καὶ ἥμισυ, τὸν χρόνον τῆς δημοσίας διακονίας Αὐτοῦ ὡς Λυτρωτοῦ τοῦ ἀνθρωπίνου γένους.

§ 194. *Εἴδη τῆς καταστάσεως ταύτης.*

Ἡ κατάστασις αὕτη τοῦ Ἰησοῦ Χριστοῦ τρανῶς προαναγγελθεῖσα ἐν τῇ Παλαιᾷ Διαθήκῃ ὑπὸ τῶν προφητῶν Δαβὶδ (ψαλ. ΚΑ'.) καὶ Ἡσαΐου (Κεφ. ΝΓ'.)· α) ἤρξατο ἀπ' αὐτοῦ τοῦ χρόνου τῆς συλλήψεως· διότι κατ' αὐτὸν κυρίως τὸν καιρὸν ἀνέλαβε τὴν ἀνθρωπίνην φύσιν καὶ τὴν βαρεῖαν εὐθύνην τοῦ σύμπαντος κόσμου, ἑπομένως καὶ κατ' αὐτὸν τοῦτον τὸν καιρὸν ἀνέλαβε καὶ τὸν σταυρὸν καὶ τὸ ἑκούσιον πάθος. β) Ἐξετείνετο ἐφ' ἅπαντα τὸν ἰδιωτικὸν βίον τοῦ Ἰησοῦ Χριστοῦ. Διότι μητέρα ἐξελέξατο Παρθένον, καθαρὰν μὲν ἀπὸ ἁμαρτίας καὶ ἁγιωτάτην, ἀλλὰ πτωχὴν καὶ ἀφανῆ, διὸ καὶ ἐλθοῦσα αὕτη εἰς Βηθλεὲμ καὶ μὴ ἔχουσα κατάλυμα, ἐγέννησεν Αὐτὸν ἐν πενιχρῷ σπηλαίῳ, καὶ ἔθηκεν ἐν φάτνῃ. Μετὰ ταῦτα ὁ Ἰησοῦς Χριστὸς ὑπέμεινεν ἀλγηδόνας τῆς περιτομῆς, τὸν ὑπὸ τοῦ Ἡρώδου καταδιωγμὸν, ἠναγκάσθη ἵνα φύγῃ εἰς Αἴγυπτον. Μετὰ δὲ τὴν ἐκεῖθεν ἐπιστροφὴν διῆγεν ἀφανῆ καὶ πενιχρὸν βίον ἐν Ναζαρὲτ, ἀνατρεφόμενος ἐν οἴκῳ τέκτονος, τοῦ νομιζομένου πατρὸς Αὐτοῦ, ὑπείκων τοῖς γονεῦσιν Αὐτοῦ, καὶ συνεργαζόμενος τῷ πατρὶ αὐτοῦ.

γ) Ἡ κατάστασις τῆς ταπεινώσεως ἐξετείνετο καὶ ἐν καιρῷ τῆς δημοσίας διακονίας τοῦ Ἰησοῦ Χριστοῦ. Διὰ τοῦτο καὶ εἰσερχόμενος εἰς αὐτὴν προσῆλθε τῷ Ἰωάννῃ καὶ ἐβαπτίσθη ὑπ' αὐτοῦ,

ὡς καὶ οἱ λοιποὶ ἁμαρτωλοί· ὑπέβαλεν ἑαυτὸν τεσσαρακονθημέρῳ νηστείᾳ, ἐπέτρεψε πειρασθῆναι ὑπὸ τοῦ διαβόλου· καὶ κηρύσσων τὸ εὐαγγέλιον ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν οὐκ εἶχεν ὅπου τὴν κεφαλὴν κλίνῃ, ὑπομένων πᾶσαν θλῖψιν καὶ στενοχωρίαν· διδάσκοντα δὲ αὐτὸν ἢ οὐκ ἐνόουν ἢ παρεπίκραινον, ἀπιστοῦντες καὶ διώκοντες ἐκ μίσους· εὐεργετοῦντα δὲ ἐλύπουν καὶ τὰ θαύματα τῷ Βεελζεβοὺλ ἀπεδίδοσαν. Πλησιέστατοι μαθηταὶ Αὐτοῦ ἦσαν μόνον δώδεκα ἄνδρες ἐκ τοῦ λαοῦ, ἀλλὰ καὶ ἐν τούτοις προέβλεπε τὸν προδότην. Μετὰ θείας πραότητος προσεφέρετο πρὸς τοὺς τελώνας καὶ ἁμαρτωλοὺς καλῶν αὐτοὺς εἰς σωτηρίαν, ἀλλὰ διὰ τοῦτο κατέκρινον, ἐσυκοφάντουν καὶ ἐχλεύαζον Αὐτόν. Πολλάκις δὲ καὶ κακὰ ἐβουλεύσαντο κατ' Αὐτοῦ.

δ) Τέλος εἰς ἄκρον ἐκορυφώθη ἡ τοιαύτη καταστάσις τοῦ Σωτῆρος Χριστοῦ, κατὰ τὰς τελευταίας ἡμέρας τῶν παθῶν, καθ' ἃς μετὰ τὸν μυστικὸν δεῖπνον Αὐτὸς εἶπε τοῖς μαθηταῖς, ὅτι ἡ ψυχὴ Αὐτοῦ περίλυπος ἕως θανάτου. Μετὰ ταῦτα ἐν τῷ κήπῳ τῷ ἐν Γεθσημανῇ τοσοῦτον *ἐθλίβετο καὶ ἠγωνία* ὑπὸ τὸ βάρος τῶν ἀνθρωπίνων ἁμαρτημάτων, καὶ μετὰ τοσαύτης ἀγωνίας προσηύχετο, ὥστε ὁ ἱδρὼς Αὐτοῦ, ὡσεὶ θρόμβοι αἵματος, κατέπιπτεν ἐπὶ τῆς γῆς. Μετὰ ταῦτα δὲ συνέβησαν ἡ ὑπὸ τοῦ Ἰούδα προδοσία, τὰ δεσμά, ἡ ἄνομος καταδίκη ἐνώπιον τοῦ Καϊάφα, ἡ προτίμησις τοῦ λῃστοῦ καὶ ἡ ἄδικος καταδίκη εἰς θάνατον ὑπὸ τοῦ Πιλάτου, μαστίγωσις, ἐμπαιγμοὶ ὕβρεις παντοῖαι, γύμνωσις, σταύρωσις ἐν μέσῳ λῃστῶν, ὄξος καὶ χολή, ἐπώδυνος θάνατος, ὄρυξις τῆς πλευρᾶς, ταφή, φρουρὰ ἐπὶ τοῦ τάφου.

§ 195. *Ἐλατήριον εἰς τὴν τοιαύτην κατάστασιν.*

Ἐλατήριον εἰς τὴν τοιαύτην κατάστασιν τῆς ταπεινώσεως ἦν, ἔνθεν μὲν *ἡ ἄπειρος ἀγάπη* τοῦ Ἰησοῦ Χριστοῦ, δι' ἣν ἠγά-

πησε καὶ ἔλαβεν οὐχὶ μέρος, ἀλλὰ πάντα τὸν ἄνθρωπον ἐκτὸς τῆς ἁμαρτίας, καὶ διὰ τοῦτο ὑπέμεινε πενίαν, θλίψεις, ὀδύνας καὶ αὐτὸν τὸν θάνατον. Ἔνθεν δὲ *ἀναγκαῖον* τοῦτο ἦν *πρὸς τὸ ἔργον τῆς ἡμετέρας σωτηρίας*. « Ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ ἀνελθεῖν εἰς τὴν δόξαν, Αὐτοῦ λέγει Αὐτὸς ὁ Σωτὴρ» (Λουκ. 24, 26). « Ἔπρεπε γάρ Αὐτῷ, λέγει ὁ Ἀπόστολος, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν Ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι» (Ἑβρ. 2, 10). Ἦν δὲ ἀναγκαῖον τοῦτο· α) διότι, ὡς ἡ ὁδὸς τῆς ἀπὸ τοῦ Θεοῦ πτώσεως ἤγαγεν εἰς ὑπερηφανίαν καὶ παρακοήν, οὕτω καὶ ἡ ἀντίθετος ὁδὸς ἐφ' ἧς ὤφειλεν, ἵνα ἐπαναγάγῃ ὁ Ἰησοῦς Χριστὸς τὸν ἄνθρωπον, ἦγεν εἰς τὴν τῆς ταπεινώσεως καὶ τῆς ὑπακοῆς. β) Ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς κατῆλθε πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου, ἀναγκαῖον ἦν, ὅπως παράσχῃ Αὐτὸς ἑαυτὸν παράδειγμα ἐν πᾶσιν· τούτου δ' ἕνεκα καὶ ὑπέμεινε πάντα, ὅπως, κατὰ τὸν Ἀπόστολον, « ἐν ᾧ πέπονθεν Αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι» (Ἑβρ. 2, 18). Τέλος γ) διὰ τοῦτο ἰδίως, διότι τὰ παθήματα τοῦ Ἰησοῦ Χριστοῦ ὤφειλον εἶναι λύτρον ἀντὶ τῶν ἁμαρτιῶν ἡμῶν, διὸ καὶ ἀνάγκη ἦν, ἵνα ἰσοτιμηθῶσι τῷ συνόλῳ τῶν ἁμαρτιῶν παντὸς τοῦ ἀνθρωπίνου γένους.

§ 196. *Ἡ Δόξα τοῦ Ἰησοῦ Χριστοῦ ἐν τῇ καταστάσει τῆς ταπεινώσεως.*

Ἐν τούτοις ἡ κατάστασις τῆς ταπεινώσεως τοῦ Σωτῆρος Χριστοῦ οὐκ ἦν ὅλως ἄμοιρος τῆς θείας δόξης, τῆς ὑπαρχούσης Αὐτῷ ὡς Θεῷ. Ἀπεκαλύπτετο δ' αὕτη· α) ἐν αὐτῷ τῷ μεγέθει τῶν παθημάτων Αὐτοῦ, ἐν οἷς ἀπεκαλύφθη τοσοῦτον μέγεθος θείας ἀγάπης, οἷον οὐδ' ἐν αὐτῇ τῇ δημιουργίᾳ· διὸ καὶ Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἀποκαλεῖ τὰ παθήματα Αὐτοῦ ῥητῶς δόξαν ἑαυτοῦ τε καὶ τοῦ Πατρός. «νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ

ἀνθρώπου, ἔλεγε πρὸ τοῦ ἰδίου πάθους, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν Αὐτῷ (Ἰωάν. 13, 31). β') Ἐν πολυπληθέσι θαύμασιν, ἀπανταχοῦ ὑπ' Αὐτοῦ τελουμένοις. γ') Ἐν διαφόροις περιστάσεσι τοῦ βίου Αὐτοῦ· καὶ δὴ ἐν τῇ Ἀγγελικῇ ὑμνῳδίᾳ ἐπὶ τῆς γεννήσεως Αὐτοῦ, ἐν τῇ περὶ Αὐτοῦ μαρτυρίᾳ τοῦ Πατρὸς τῆτε ἐπὶ τοῦ βαπτίσματος καὶ ἐπὶ τῆς μεταμορφώσεως, καὶ ἐν τοῖς σημείοις, ἅτινα συνέβησαν κατὰ τὸν θάνατον Αὐτοῦ κτλ.—

2) Περὶ τῆς καταστάσεως τῆς δόξης.

§ 197. *Ἡ περὶ τῆς κπαστάσεως τῆς δόξης ἔννοια*

Κατάστασις τῆς δόξης τοῦ Ἰησοῦ Χριστοῦ καλεῖται ἡ μετὰ τὴν ταπείνωσιν, ὅτε ἡ θεότης αὐτοῦ ἀπεκάλυψε τὴν ὅλην αὐτῆς τῆς λαμπρότητα καὶ ἀπεθέωσε τὴν ἀνθρωπίνην φύσιν. Περὶ ταύτης λέγει ὁ Ἀπόστολος Παῦλος· «τὸν δὲ βραχύτι παρ' Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον (Ἑβρ. 2, 9). Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων (Φιλιπ. 2, 9).

§ 198. *Τὰ εἴδη αὐτῆς*

Ἡ κατάστασις τῆς δόξης τοῦ Σωτῆρος Χριστοῦ ἤρξατο ἐκεῖ, ὅπου ἐκορυφώθη ἡ ταπείνωσις αὐτοῦ, τουτέστιν ἀπὸ τοῦ σταυρικοῦ θανάτου, καὶ περιλαμβάνει ἐν ἑαυτῇ τὴν νικηφόρον κάθοδον εἰς τὸν ᾅδην τὴν ἀμέσως μετὰ τὸν θάνατον συμβᾶσαν, τὴν ἔνδοξον ἐκ τοῦ τάφου ἀνάστασιν κατὰ τὴν τρίτην ἡμέραν, τὴν εἰς τοὺς οὐρανοὺς ἀνάληψιν τεσσαράκοντα ἡμέρας μετὰ τὴν ἀνάστασιν, καὶ τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρὸς καθέδραν.

§ 199. *Σκοπός*

Σκοπὸς δὲ τῆς καταστάσεως ταύτης ἐστὶν ὁ σκοπὸς τοῦ μεγάλου ἔργου, πρὸς ὃ κατῆλθεν ὁ Ἰησοῦς Χριστὸς. Καὶ δὴ α) δι' αὐτῆς ἡ πεπτωκυῖα καὶ φθορᾷ ὑποκειμένη φύσις τοῦ ἀνθρώπου διὰ Χριστοῦ, οὐ μόνον ἀνεβιβάσθη εἰς τὴν ἀρχικὴν βαθμίδα τοῦ μεγαλείου καὶ τῆς δόξης, ἐφ' ἧς ἵστατο ὁ Ἀδὰμ πρὸ τῆς πτώσεως αὐτοῦ, ἀλλὰ καὶ πολλῷ ὑψηλότερον ἐπ' αὐτοῦ τοῦ θρόνου τῆς θεότητος ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρός. β) Δι' αὐτῆς ὑπεδείχθη ὁ τρόπος καὶ τὸ ὕψος τῆς τελειότητος, εἰς ὃν προωρίσθησαν καὶ ὀφείλουσι προβαίνειν πάντες οἱ ἀληθεῖς ἀκόλουθοι τοῦ Ἰησοῦ Χριστοῦ «ἵνα ὅπου εἰμὶ ἐγὼ ὑμεῖς ἦτε, λέγει αὐτὸς τοῖς ἰδίοις μαθηταῖς (Ἰωάν. 14, 3).» Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, λέγει ὁ Ἀπόστολος, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος (Κολοσ. 3, 1).

γ) Περὶ τοῦ τριπλοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ ὑπὲρ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους.

200. *Ἡ βάσις τοῦ τριπλοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ*

Πρὸς ἐπανόρθωσιν τοῦ πεπτωκότος ἀνθπωπίνου γένους καὶ στερέωσιν τῆς ἐπὶ γῆς βασιλείας τοῦ Θεοῦ, ἐδέησε τῷ Ἰησοῦ Χριστῷ· α) ἵνα διορθώσῃ τὴν ἀνθρωπίνην φύσιν, διδάσκων τοὺς ἀνθρώπους ἀληθῆ θεογνωσίαν, καὶ μεταδῷ αὐτοῖς, πρὸς ἅγιον καὶ θεάρεστον βίον, δραστικὴν δύναμιν. β) Ἱκανὰ ποιήσῃ τῇ δικαιοσύνῃ τοῦ Θεοῦ, ἀπαιτούσῃ αἰωνίαν τιμωρίαν τῶν ἁμαρτιῶν καὶ ἀπαλλάξῃ τοὺς ἀνθρώπους τοῦ φόρου τῆς ἁμαρτίας, ἤτοι τῆς κατάρας καὶ τοῦ θανάτου. γ) Καταργήσῃ τὸ

βασίλειον τοῦ διαβόλου, πάντα δὲ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια καὶ τὰ καταχθόνια ὑφ' ἑαυτὸν ποιήσηται, ἢ κατὰ τὸν Ἀπόστολον, *ἀνακαιφαλαιώσηται τὰ πάντα* (Ἐφεσ. 1, 10) καὶ ἐκ παντὸς τρόπου συνεργήσῃ τῇ σωτηρίᾳ τῶν ἀνθρώπων καὶ τῇ προόδῳ τοῦ ὑπ' αὐτοῦ ἀνορθωθέντος βασιλείου τοῦ Θεοῦ. Ἐντεῦθεν ἐξάγεται καὶ ἡ διακονία τοῦ Ἰησοῦ Χριστοῦ ἡ προεικονισθεῖσα ἤδη ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἐπὶ τῶν Προφητῶν, Ἀρχιερίων καὶ Βασιλέων, τῶν χριομένων διὰ τοῦ Ἱεροῦ Ἐλαίου πρὸς τὴν διακονίαν αὐτῶν (3 Βασιλ. 19, 16. Ἔξοδ. 30, 30. 1 1 Βασιλ. 10, 1. 16 13), καὶ περιεχομένη ἐν τῷ ἰδίῳ αὐτοῦ ὀνόματι τοῦ *Μεσσίου* ἢ Χριστοῦ, ὅπερ ἀπέδωκαν αὐτῷ οἱ προφῆται (ψαλ. 2, 2. 44, 8. Ἡσ. 61, 1. Δαν. 9, 24. 25) Ἔστι δὲ ἡ διακονία τριπλῆ, ἐν τοῖς τρισὶν αὐτοῦ ἀξιώμασι συνισταμένη· ἐν τῷ τοῦ διδασκάλου ἢ Προφήτου. 2) τοῦ Ἀρχιερέως ἢ Μεσίτου. 3) τοῦ Βασιλέως.

1) Περὶ τοῦ προφητικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ.

§ 201. Ἡ τοῦ *προφητικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ ἀλήθεια*

Ὅτι ἡ διδασκαλία, ἢ ὁ φωτισμὸς τοῦ ἀνθρωπίνου γένους, ἦν ἀναγκαία πάντως πρὸς τὸ μέγα ἔργον τῆς σωτηρίας τῶν ἀνθρώπων, ὅπερ ἔμελλε τελεῖν ὁ Ἰησοῦς Χριστὸς, δῆλον α) *ἐκ τῶν προφητειῶν τῆς Παλαιᾶς Διαθήκης*. Οὕτως ὁ μὲν Μωϋσῆς ἀποκαλεῖ ῥητῶς τὸν ἐρχόμενον Σωτῆρα προφήτην ὅμοιον ἑαυτῷ (Δευτ. 18, 15. 18). Ὁ Ἡσαΐας προαναγγέλει ὅτι μετὰ τὴν ἔλευσιν τοῦ Λυτρωτοῦ ἐμπλησθήσεται ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον (11, 9), *πάντες διδακτοὶ Θεοῦ* (54, 13), καὶ *λαὸς πορευόμενος ἐν σκότει ὄψεται φῶς μέγα* (9, 2). Ὁ δὲ Ἱερεμίας τοσαύτην προαναγγέλει κατὰ

τὸν καιρὸν τοῦτον πλησμονὴν γνώσεως, ὥστε πάντες εἰδήσουσι τὸν Θεὸν ἀπὸ μικροῦ ἕως μεγάλου (38, 34). 6) Ἐκ τῶν μαρτυριῶν τῆς Κ. Διαθήκης. Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς λέγει, ὅτι πρὸς τοῦτο ἦλθεν, ἵνα κηρύττῃ καὶ διδάσκῃ· «ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα (Μαρκ. 1, 38. Λουκ, 4, 43). Οἱ δὲ Ἀπόστολοι διδάσκουσιν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάννοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν (1 Ἰωάν. 5, 20). Ἐν γένει δὲ οἱ σύγχρονοι τοῦ Ἰησοῦ Χριστοῦ προσεδόκουν ἐν Χριστῷ ἀνατολὴν ἐξ ὕψους ἐπιφάναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις (Λουκ. 2, 32)· «Προφήτην ἐρχόμενον εἰς τὸν κόσμον, ὃν ἔγραψε Μωσῆς καὶ οἱ Προφῆται, καὶ ὅτι Αὐτὸς ἀναγγελεῖ πάντα (Ἰωάν. 1, 45. 4, 25).

§ 202. *Ἡ διδασκαλία τοῦ Σωτῆρος Χριστοῦ*

Ὁ φωτισμὸς τοῦ ἀνθρωπίνου γένους συνίσταται ἐν τούτῳ, ὅτι ὁ Ἰησοῦς Χριστός.

α) Ἐδίδαξε τοὺς ἀνθρώπους τὴν ἀληθῆ *θεογνωσίαν*, ἧς οὐ μόνον οἱ ἐθνικοὶ ἐστεροῦντο, ἀλλὰ καὶ οἱ Ἰουδαῖοι οὐκ εἶχον καθαρὰν καὶ πλήρη. Καὶ δὴ ὁ Ἰησοῦς Χριστὸς ἀπεκάλυψε τὸ μυστήριον τῆς Ὑπεραγίας Τριάδος· τὸ μυστήριον τῆς ἀπολυτρώσεως τοῦ πεπτωκότος ἀνθρωπίνου γένους διὰ τῆς ἄκρας ἀγάπης τοῦ Θεοῦ Πατρὸς, καὶ Θεοῦ Υἱοῦ· τὸ μυστήριον τῆς ἀναγεννήσεως διὰ τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος. Ὥστε, ὅ,τι κεκρυμμένον ἦν ἀπὸ σοφῶν καὶ συνετῶν τοῦ κόσμου τούτου, τοῦτο νῦν γινώσκουσι καὶ τρανῶς ὁμολογοῦσι παρ' ἡμῖν οἱ παῖδες φωτισθέντες ὑπὸ τοῦ ἁγίου βαπτίσματος.

β) Ἐδωρήσατο τὸν τελειότατον νόμον τῆς *πρὸς τὸν Θεὸν ἀγάπης*, διδάξας προσκυνεῖν αὐτῷ οὐχὶ διὰ θυσιῶν, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ, ἐν καθαρότητι καὶ ἁγιότητι συνειδήσεως· ἔδωκε δὲ καὶ τὸν νόμον *τὴν πρὸς τὸν πλησίον ἀγά-*

πης, διδάξας οὐ μόνον ἀγαπᾶν τοὺς φίλους καὶ ὁμοφύλους ὡς τοῦτο σχεδὸν ἦν παρ' Ἰουδαίοις, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἐχθροὺς καὶ ἀλλοτρίους. Πρὸς δὲ τούτοις ἐδίδαξε καὶ τὴν ἀληθῆ μετάνοιαν καὶ πάσας τὰς ἀρετὰς ἐν γένει, τὰς ἐξομοιούσας τὸν ἄνθρωπον τῷ Θεῷ, κινῶν λυσιτελέστατα εἰς ἐκπλήρωσιν τῆς ἰδίας Αὐτοῦ διδασκαλίας, τοὺς μὲν σκληροὺς διὰ τῆς φοβερᾶς κρίσεως καὶ αἰωνίας κολάσεως φοβῶν, τοὺς δὲ ὑπακούοντας θαῤῥύνων διὰ τῆς πρὸς τοὺς ἁμαρτωλοὺς ἀπείρου ἀγάπης τοῦ Θεοῦ Πατρὸς καὶ Θεοῦ Υἱοῦ, τοῖς πᾶσι δὲ παρέχων τὸ ἴδιον ὑψηλότατον καὶ τελειότατον παράδειγμα.

γ) Ἐζωογόνησε τὰς καρδίας τῶν ἀνθρώπων διὰ τῆς *ἐλπίδος*. Διότι τῶν μὲν ἐθνικῶν, κατὰ τὸν Ἀπόστολον, *μὴ ἐχόντων ἐλπίδα* (Ἐφεσ. 2, 12), τῶν δὲ Ἰουδαίων ἀμυδρὰς περὶ τῆς μετὰ θάνατον ζωῆς ἐχόντων ἰδέας, ὁ Ἰησοῦς Χριστὸς ἐπηγγείλατο ἡμῖν ἀθανασίαν ψυχῆς, καὶ σώματος ἀνάστασιν, τοῖς δὲ δικαίοις μακαριότητα αἰωνίαν, ἐν οἰκειοτάτῃ διατελοῦσι κοινωνίᾳ μετὰ τοῦ Θεοῦ Πατρὸς, Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, κυρώσας ταῦτα πάντα διὰ τοῦ παραδείγματος τῆς ἰδίας Αὐτοῦ ἀναστάσεως, τῆς εἰς ᾅδην καθόδου, καὶ εἰς Οὐρανὸν ἀναλήψεως καὶ ἀδιαλείπτου καθέδρας ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρός.

δ) Ταῦτα πάντα ὁ Ἰησοῦς Χριστὸς οὐ παρέδωκε μόνον ὡς θεωρίαν, ἀλλὰ καὶ ἐδωρήσατο πρὸς οἰκείωσιν αὐτῶν τοῖς πιστεύουσι πραγματικὴν δύναμιν, τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, «ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης (2 Πέτρ. 1, 3), καὶ διὰ τοῦ μυστηρίου τῆς Ἁγίας Μεταλήψεως συνδέει μυστικῶς αὐτοὺς μεθ' ἑαυτοῦ διὰ στενωτάτου ζῶντος συνδέσμου, καθισταμένων οὕτω κοινωνῶν τῆς παναχράντου καὶ ἁγιωτάτης Αὐτοῦ οὐσίας, καὶ μεταλαμβανόντων διὰ τούτου πνευματικὴν ζωὴν καὶ δύναμιν.

§ 203. *Ὁ Τρόπος τῆς διδασκαλίας.*

Τὸ ἔργον τοῦ φωτισμοῦ τοῦ ἀνθρωπίνου γένους ὁ Ἰησοῦς Χριστὸς ἐξετέλεσεν.

α) Αὐτὸς ἀμέσως, διότι περιήρχετο, καθ' ἅπαντα τὸν δημόσιον Αὐτοῦ βίον, τὰς πόλεις καὶ κώμας τοῦ Ἰσραὴλ, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ σπείρων τὸν σπόρον τοῦ λόγου τοῦ Θεοῦ πάντοτε καὶ πανταχοῦ, ὅπου εὕρισκε γῆν ἀγαθήν. Ἐκήρυττε δ' ἐν μόνῃ τῇ χώρᾳ τοῦ Ἰσραὴλ, διάτε τοῦτο, ὅτι οἱ Ἰουδαῖοι ὑπὲρ πάντα τὰ ἄλλα ἔθνη ἑτοίμως εἶχον πρὸς παραδοχὴν τῆς διδασκαλίας αὐτοῦ, καὶ διότι ὁ βραχὺς χρόνος τῆς διδασκαλίας οὐκ ἐπέτρεπεν Αὐτῷ, ἵνα ἀπέρχηται μακρὰν τῆς Παλαιστίνης, ἐν ᾗ ἔδει παθεῖν καὶ ἀποθανεῖν.

β) Διὰ τῶν δώδεκα Ἀποστόλων, οὓς ἐξελέξατο ἐξ ἁπλῶν καὶ ταπεινῶν, « ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον Αὐτοῦ » (1 Κορ. 1, 26—29) καὶ καθ' ἅπαντα τὸν χρόνον ἐτήρει παρ' ἑαυτῷ ἀχωρίστως, διδάσκων αὐτοὺς κατ' ἰδίαν καὶ ἀποκαλύπτων αὐτοῖς πάντα τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, ἅτινα ἔκρινεν ἀναγκαῖον ἀποκρύπτειν μέχρι καιροῦ ἀπὸ τῶν λοιπῶν. Διδάξας δ' αὐτοὺς καὶ ἁγιάσας αὐτοὺς διὰ τοῦ Θείου Αὐτοῦ λόγου, ἐπηγγείλατο καταπέμψαι τὸ Πνεῦμα τὸ Ἅγιον, ὅπερ ἔμελλε διδάσκειν αὐτοὺς πᾶσαν ἀλήθειαν, ἀναμιμνήσκειν καὶ ἐμπνέειν πᾶν τὸ ἀναγκαῖον πρὸς ἑρμηνείαν καὶ πιστὴν μετάδοσιν τοῖς ἀνθρώποις τῆς θείας διδασκαλίας Αὐτοῦ. Τοῦτο δὲ καὶ ἐξεπληρώθη τὴν πεντηκοστὴν μετὰ τὴν ἀνάστασιν καὶ τὴν δεκάτην μετὰ τὴν ἀνάληψιν τοῦ Σωτῆρος Χριστοῦ, καθ' ἣν ἐνδυσάμενοι δύναμιν ἐξ ὕψους οἱ Ἀπόστολοι ἐξῆλθον μετ' οὐ πολὺ εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, τῇ τε δυνάμει τοῦ κηρύγματος αὐτῶν στηριζομένου καὶ διὰ θαυμάτων, καὶ ἐξήπλωσαν αὐτὸ εἰς τὰ πέρατα τῆς Οἰκουμένης.

γ) Ἀλλὰ καὶ σήμερον ἔτι καὶ μετὰ ταῦτα ὁ Ἰησοῦς Χριστὸς οὐ παύεται τελῶν τὸ ἔργον τοῦ φωτισμοῦ τῶν ἀνθρώπων,

καὶ οὐ παύσεται καὶ ἀοράτως πάντοτε διαμένων καὶ ἀχωρίστως ἐν τῇ Ἐκκλησίᾳ, κατὰ τὴν ἐπαγγελίαν « πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος » (Ματθ. 28, 20), καὶ ὁρατῶς διὰ τοῦ ἰδίου λόγου, ἤτοι τῆς Ἁγίας Γραφῆς, γραφείσης κατ' ἐπίπνοιαν τοῦ Πνεύματος τοῦ Ἁγίου ὑπὸ τῶν Ἁγίων Ἀποστόλων, καὶ μεταδιδομένης πάσαις ταῖς ἐπερχομέναις γενεαῖς· ἅμα δὲ καὶ διὰ τῶν ποιμένων καὶ διδασκάλων τῆς Ἐκκλησίας· διότι οὐχὶ ἄλλος τις, ἀλλ' Αὐτὸς, ὡς ἐν ἀρχῇ ἐδωρήσατο « τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ Εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους » οὕτω καὶ νῦν δωρεῖται καὶ δωρήσεται « μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ » (Ἐφεσ. 4, 11—13). Οὐχ ἕτερον δέ τι ἀλλὰ τὴν διδασκαλίαν αὐτοῦ οἵτε ἅγιοι Ἀπόστολοι καὶ οἱ ποιμένες τῆς Ἐκκλησίας παραδιδόασι.

§ 204. *Ἡ Ὑπεροχὴ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πρὸς τὸν Μωσαϊκὸν Νόμον.*

Ἡ διδασκαλία τοῦ Ἰησοῦ Χριστοῦ, ἣν Αὐτὸς καὶ οἱ Ἀπόστολοι ὀνομάζουσιν *Εὐαγγέλιον* (Μαρκ. 16, 15. Ῥωμ. 1, 16), ὡς περιέχουσαν ἐν ἑαυτῇ τὴν πανάγαθον καὶ χαρμόσυνον ἀγγελίαν περὶ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους ἐκ τῆς ἁμαρτίας, ὑπερβάλλει πολὺ τὴν ὑπὸ τοῦ Μοϋσέως δοθεῖσαν διδασκαλίαν, τὸν *νόμον* συνήθως καλουμένην (Ἰωάν. 1, 45). Ἡ ὑπεροχὴ δ' αὕτη συνίσταται· α) *Ἐν τῷ περιεχομένῳ.* Διότι ἐν μὲν τῷ νόμῳ ὑπάρχουσιν αἱ ἀρχαὶ μόνον τῆς ἀληθοῦς πίστεως, ἀγάπης καὶ ἐλπίδος, τὸ δὲ εὐαγγέλιον ἀποκαλύπτει τῷ ἀνθρώπῳ ἐν πλήρει καὶ λαμπρῷ φωτὶ ταῦτα. β) *Ἐν τῷ σκοπῷ.* Διότι ὁ μὲν νόμος ἤγαγεν οὐχὶ ποῤῥωτέρω τῆς ἐπιγνώ-

σεως τῆς ἁμαρτίας κατὰ τὸν Ἀπόστολον(Ῥωμ. 3, 20), ἐξήλεγξε δὲ μόνον τὴν ἁμαρτίαν καὶ τὴν ἀδυναμίαν τῶν ἀνθρώπων, καὶ ἠπείλει διὰ τῆς ὀργῆς καὶ τῆς κατάρας (Ῥωμ. 1, 18, 2, 9)· τὸ δὲ Εὐαγγέλιον ἀνήγγειλε τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν ἐκ τῆς ὀργῆς τοῦ Θεοῦ ἀπαλλαγὴν καὶ τῆς κατάρας τοῦ νόμου τὴν λύσιν· γ) *Ἐν τῷ βαθμῷ τῆς δυνάμεως*· διότι ὁ μὲν νόμος οὐκ ἦν ἱκανὸς πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου, καὶ οὐκ ἐχορήγει αὐτὸς τὴν δύναμιν πρὸς ἐκπλήρωσιν τῶν ἰδίων παραγγελμάτων. διὸ καὶ ἠδύνατο ἴσως σῶσαι μόνους τοὺς ἐντελῶς δικαίους· τὸ δὲ Εὐαγγέλιόν ἐστι δύναμις Θεοῦ εἰς σωτηρίαν *παντὶ τῷ πιστεύοντι* (Ῥωμ. 1, 16), σώζουσα καὶ ἁμαρτωλούς· δ) *Ἐν τῷ ἐσωτερικῷ πνεύματι*. Ἐκεῖ μὲν πνεῦμα *δουλείας* διότι ὁ τῆς Παλαιᾶς Διαθήκης ἄνθρωπος, ὡς δοῦλος, ἠναγκάζετο εἰς τὸ ἀγαθὸν μᾶλλον ἐκ τοῦ φόβου πρὸς τὴν ὀργὴν τοῦ Θεοῦ καὶ τιμωρίαν, διὸ καὶ ἔχρῃζεν ἐξωτερικῶν ἐλατηρίων· ἐνταῦθα δὲ *πνεῦμα υἱοθεσίας*· διὸ καὶ ὁ τῆς Νέας Διαθήκης ἄνθρωπος, ὡς υἱὸς Θεοῦ, ἐξ ἀγάπης ὀργᾷ εἰς τὸ ἀγαθόν. « οὐκ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας » (Ῥωμ. 8, 15)· « Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱὸς καὶ κληρονόμος τοῦ Θεοῦ διὰ *Χριστοῦ* (Γαλ. 4, 7)· ε) Ὁ μὲν νόμος τοῦ Μωϋσέως, ὡς ἐπὶ τὸ πλεῖστον ἐδωρήθη καὶ ἀφώρα ἓν μόνον ἔθνος καὶ ἐπί τινα μόνον καιρὸν, διὸ καὶ τοιοῦτος καὶ ὁ σκοπὸς, τὸ δὲ Εὐαγγέλιόν ἐστι κληρονομία γενικὴ, *φῶς παντὶ τῷ κόσμῳ* (Ἰωάν. 1, 4. 12, 46), ἐδωρήθη πᾶσι τοῖς ἔθνεσι (Ματθ. 28, 19.) *μέχρι τῶν ἐσχάτων τῆς γῆς* (Πράξ. 1, 8), καὶ ὀφείλει εἶναι *ἀναλλοίωτον* καὶ ἀψευδὲς πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Τοῦτο δ' ἐμαρτύρησεν ὁ Ἰησοῦς Χριστὸς ἐν τῇ ὁμιλίᾳ Αὐτοῦ περὶ τῆς δευτέρας παρουσίας (Ματθ. 24,).

§ 205. *Ἡ κατάργησις τοῦ Μωσαϊκοῦ νόμου.*

Ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς ἐφώτισεν οὕτω τὸ ἀνθρώπινον γένος διὰ νέας τελειοτάτης διδασκαλίας, δῆλον, ὅτι ὁ διὰ Μωϋσέως δοθεὶς νόμος κατηργήθη· Τοῦτο δὲ α) προανηγγέλθη ἤδη ὑπὸ τῶν προφητῶν. Ὁ Ἱερεμίας λέγει « ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινὴν (38, 31)· καὶ ὁ *Δανιὴλ* « καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος, ἀρθήσεται θυσία καὶ σπονδὴ » (9, 27). β) Ῥητῶς ἐμαρτυρήθη ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ. « Ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱερολύμοις προσκυνήσετε τῷ Πατρὶ » (Ἰωάν. 4, 21). « Τοῦτο τὸ ποτήριον ἡ Καινὴ Διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ἡμῶν ἐκχυνόμενον » (Λουκ. 22, 20). Σημεῖον δὲ τούτου ἦν κατ' ἀρχὰς μὲν ἡ διάῤῥηξις τοῦ καταπετάσματος ἐν τῷ ναῷ τῆς Ἱερουσαλὴμ, κατὰ τὴν στιγμὴν τοῦ θανάτου τοῦ Σωτῆρος, μετὰ ταῦτα δὲ ἡ κατεδάφισις καὶ αὐτοῦ τοῦ ναοῦ, μεθ' οὗ συνεδέετο ἡ Μωσαϊκὴ θρησκεία. γ) Ἐκυρώθη ὑπὸ τῶν Ἀποστόλων. Οὕτως ὁλόκληροι ἐπιστολαὶ τοῦ Ἀποστόλου Παύλου ἡ πρὸς Ῥωμαίους, Γαλάτας, καὶ Ἑβραίους σκοπὸν ἔχουσι πρὸς τοῖς ἄλλοις, ἵνα ἀποδείξωσιν, ὅτι μόνον « πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ τὸν νόμον ἐφρουρούμεθα· ἐλθούσης δὲ τῆς πίστεως οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν » (Γαλ. 3, 23. 25). « οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν » (Ῥωμ. 6, 14). Καὶ τέλος ἐθεσπίσθη ὑπὸ τῆς Ἀποστολικῆς Συνόδου (Πράξ. 15). Ἀλλ' ὅμως οὐχ' ἅπας ὁ Μωσαϊκὸς νόμος κατηργήθη, ἀλλ' ὁ τελετουργικὸς μόνον. Διότι εἶχε μόνον τυπικὴν ἔννοιαν, διὸ καὶ μετὰ τὴν ἔλευσιν τοῦ Ἰησοῦ Χριστοῦ ἐπληρώθη, ἄρα καὶ κατέστη περιττός. Κατηργήθη δὲ καὶ ὁ *πολιτικὸς* νόμος, διότι ἀπέβλεπε μόνον τὸν Ἰουδαϊκὸν λαόν· ὁ *ἠθικὸς* ὅμως νόμος ἔμεινεν, ὡς Αὐτὸς ὁ Ἰη-

σοῦς Χριστὸς λέγει· « οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἀλλὰ πληρῶσαι » (Ματ, 5, 17). Διότι ἡ οὐσία αὐτοῦ οἱ αὐτή, οἵα καὶ ἡ τοῦ Χριστιανικοῦ νόμου, τουτέστιν ἡ ἀγάπη (Δευτ. 6, 5. Μαρκ. 12, 30), ἀνεπτύχθη δὲ μόνον κπὶ ἀνυψώθη διὰ τῆς διδασκαλίας τοῦ Εὐαγγελίου.

2) Περὶ τοῦ Ἀρχιερατικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ.

§ 206. *Ἡ ἀλήθεια τῆς ἀρχιερωσύνης τοῦ Ἰησοῦ Χριστοῦ.*

Τὸ δεύτερον ἀξίωμα τοῦ Ἰησοῦ Χριστοῦ ἐν τῇ μεγάλῃ οἰκονομίᾳ τῆς σωτηρίας, ἐστὶ τὸ ἀρχιερατικὸν ἢ τὸ τοῦ μεσίτου Τὸ ἀληθὲς δὲ τοῦ ἀξιώματος τούτου ἀποκαλύπτεται. α) *Ἐκ τῆς Παλαιᾶς Διαθήκης.* Διότι οἱ Ἀρχιερεῖς προεικόνιζον τὸν Σωτῆρα Χριστὸν μεσιτεύοντες παρὰ τῷ Θεῷ ὑπὲρ τῶν ἀνθρώπων. Ἡ δὲ μεσιτεία αὕτη ἦν δυνατὴ καὶ εὐάρεστος τῷ Θεῷ μόνον διὰ Ἰησοῦν Χριστὸν, διότι ἄνευ τούτου οὐδεὶς ἐτόλμα παῤῥησίαν ἔχειν ἐνώπιον τοῦ Θεοῦ. Πρὸς δὲ τούτοις ὁ προφήτης Δαβὶδ σαρῶς ἀποκαλεῖ αὐτὸν «Ἱερέα εἰς αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ » (ψαλ. 109 4,)· β) Ἐκ τῆς Καινῆς Διαθήκης. Ὁ Ἅγιος Ἀπόστολος Παῦλος ῥητῶς ἀποκαλεῖ Αὐτὸν « Ἀρχιερέα τῶν μελλόντων ἀγαθῶν (Ἑβρ. 9, 11)· Μεσίτην Θεοῦ καὶ ἀνθρώπων (1 Τιμ. 2, 5), ὅστις πρόδρομος ὑπὲρ ὑμῶν εἰσῆλθεν, κατὰ τὴν τάξιν Μελχισεδὲκ Ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα » (Ἑβρ. 6, 20). Καλεῖται δὲ ὁ Ἰησοῦς Χριστὸς Ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ καὶ οὐχὶ τοῦ Ἀαρὼν, τοῦτο καὶ πρὸς ἀντὶ διαστολὴν καὶ ἀπόδειξιν τῆς ὑπεροχῆς τοῦ ἀξιώματος Αὐτοῦ ὑπὲρ τὸ τῶν Λευιτῶν, καὶ διότι ὁ Μελχισεδὲκ, οὗτινος τὸ γένος ἦν ἄγνωστον, προεικόνιζεν ἰδίως τὸν Ἰησοῦν Χριστὸν, ὧν ἅμα Ἱερεὺς καὶ Βα-

σιλεὺς, οὔτε προκάτοχον, οὔτε διάδοχον τοῦ ἀξιώματος Αὐτοῦ ἔχων. Τοῦτο δὲ καὶ περὶ τοῦ Ἰησοῦ Χριστοῦ καὶ λέγεται. « Τὴν γενεὰν Αὐτοῦ τίς διηγήσεται » (Ἡσ. 53, 8); ὥστε ὁ Ἰησοῦς Χριστὸς Ἀρχιερεὺς ὢν, ἐστὶν ἅμα καὶ Βασιλεὺς, καὶ μόνος καὶ αἰώνιος Μεσίτης ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, ἔχων ἀπαράβατον Ἱερωσύνην (Ἑβρ. 7, 24).

§ 207. *Ἡ Οὐσία τοῦ ἀξιώματος τούτου*

Ὡς τοῦ συνήθους ἀρχιερατικοῦ ἀξιώματος ἡ οὐσία συνίστατο ἐν τῇ προσφορᾷ τῷ Θεῷ θυσιῶν, οὕτω καὶ τῆς τοῦ Χριστοῦ Ἀρχιερωσύνης ἡ οὐσία συνίσταται ἐν τούτῳ, ὅτι Αὐτὸς προσήνεγκεν ἑαυτὸν θυσίαν ὑπὲρ ἡμῶν. Ἡ θυσία δ' αὕτη ἐστὶ καὶ ἅπας ὁ βίος αὐτοῦ ὁ ἁγιώτατος καὶ πλήρης πάσης δικαιοσύνης καὶ ὑπακοῆς τῷ Θεῷ καὶ Πατρὶ, μάλιστα δὲ καὶ κατ' ἐξοχὴν τὸ πάθος αὐτοῦ καὶ ὁ ἐπὶ σταυροῦ θάνατος, ἅπερ ὑπέστη ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, καὶ δι' ὧν ἐλυτρώσατο τοὺς ἀνθρώπους τῆς κατάρας καὶ τοῦ αἰωνίου θανάτου, τῶν ἐκ τῆς ἁμαρτίας, καὶ ἐγένετο Μεσίτης ὑπὲρ αὐτῶν ζωῆς αἰωνίου. Καὶ ἐν τούτῳ κυρίως συνίσταται τὸ μυστήριον τῆς ἡμετέρας σωτηρίας, τῆς ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ τελεσθείσης. Διότι ἔπαθε καὶ ἀπέθανε τῷ ὄντι, οὐ μόνον ἵνα δείξῃ τὴν πρὸς ἡμᾶς ἄπειρον αὐτοῦ ἀγάπην, οὐ μόνον ὅπως παράσχῃ ἡμῖν παράδειγμα ἢ ἐπισφραγίσῃ τὰς ἀληθείας τῆς διδασκαλίας αὐτοῦ, ἢ πρὸς ἕτερόν τινα τοιοῦτον σκοπὸν, ἀλλ' ὅπως προσενέγκῃ θυσίαν πρὸς ἀπολύτρωσιν ἡμῶν. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καλεῖται, καί ἐστιν ὄντως Σωτὴρ καὶ Λυτρωτὴς τοῦ ἀνθρωπίνου γένους. Ἡ ἀλήθεια δ' αὕτη ἡ τὰ μάλιστα εὐφρόσυνος καὶ οὐσιώδης τῆς Χριστιανικῆς πίστεως ἀναμφιβόλως στηρίζεται α) ἐπὶ τῆς Ἁγίας Γραφῆς. Καὶ *ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ* προεικονίσθη διὰ διοφόρων θυσιῶν καὶ τοῦ πασχαλίου ἀμνοῦ, ὧν τὸ αἷμα εἶχεν ἱλαστικὴν δύναμιν, οὐχὶ αὐ-

τὸ καθ' ἑαυτὸ, ἀλλὰ διὰ τὴν ἀναφορὰν πρὸς τὸ αἷμα τοῦ Σωτῆρος Χριστοῦ. Προείρηται δὲ καὶ τοῖς προφήταις· διὸ καὶ ὁ Ἡσαΐας λέγει περὶ αὐτοῦ. « Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ ἦχθη εἰς θάνατον Αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη (Ἡσ. 53, 1—12). *Ἐν δὲ τῇ Καινῇ Διαθήκῃ* ὁ Ἅγιος Ἰωάννης ὁ Πρόδρομος ἀπεκάλεσε τὸν Ἰησοῦν Χριστὸν Ἀμνὸν, αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου (Ἰωάν. 1, 29). Καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐδίδασκεν, ὅτι ἦλθεν ἰδίως πρὸς τοῦτο *δοῦναι τὴν ψυχὴν Αὐτοῦ Λύτρον* ἀντὶ πολλῶν (Ματ. 20, 28), καὶ ὅτι ἀνάγκη ἦν αὐτῷ, ὡς *τῷ κόκκῳ τοῦ σίτου* ἀποθανεῖν, ὅπως φέρῃ καρπὸν (Ἰωάν. 12, 24. 27), καὶ ὅτι ἡ οὐσία *τῆς Καινῆς Διαθήκης*, ἣν αὐτὸς ἐκόμισεν, *ἐστὶ τὸ αἷμα Αὐτοῦ* (Ματ. 29, 28). Ὁ δὲ Ἀπόστολος Πέτρος λέγει ὅτι ἐλυτρώθημεν ἐκ τῆς ἁμαρτίας οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ (1 Πετρ. 1, 19). Ὁ δὲ Ἀπόστολος Παῦλος μαρτυρεῖ, ὅτι ὁ Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν (1 Κορ. 15, 3), καὶ ἔχομεν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ (Ἐφ. 1, 7), ὅτι ὁ Χριστὸς παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας (Ἐφ. 5, 2), καὶ αἰωνίαν λύτρωσιν εὕρατο ἡμῖν διὰ τοῦ ἰδίου αὐτοῦ αἵματος (Ἑβρ. 9, 12. 16—19).

6) Τὴν ἀλήθειαν ταύτην ἐτήρει πάντοτε ἡ Ἐκκλησία καὶ ἐκήρυττον οἱ Πατέρες. Οὕτως ἐν τοῖς ἀρχαίοις συμβόλοις εἷς τῶν κυριωτέρων ἄρθρων τῆς Χριστιανικῆς πίστεως ἦν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἔπαθε καὶ ἀπέθανεν ὑπὲρ τῆς σωτηρίας ἡμῶν (Σύμβ. τοῦ Ἁγ. Ἀθαν. τοῦ Μ.) καὶ ἐν τῷ συμβόλῳ τῶν ἐν Νικαίᾳ καὶ Κωνσταντινουπόλει Συνόδων ὁμολογοῦμεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Υἱὸν τοῦ Θεοῦ, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρωθέν-

τα ὑπὲρ ἡμῶν καὶ παθόντα καὶ ταφέντα. Ἐν δὲ ταῖς λειτουργίαις σαφέστατα καταφαίνεται ἡ ἀλήθεια αὐτη. Διότι προσφέρεται εὐχαριστία τῷ Θεῷ καὶ Πατρὶ, ὅτι ἐσώθημεν διὰ τῶν παθῶν καὶ τοῦ θανάτου τοῦ Μονογενοῦς Υἱοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τὸ δὲ ἀρχαιότατον ἔθος τοῦ τιμᾶν τὸν σταυρὸν καὶ εὐλαβῶς χρῆσθαι τῷ σημείῳ τοῦ σταυροῦ, ἔχει βάσιν τὴν ἀλήθειαν, ὅτι ἡ σωτηρία ἡμῶν ἐτελέσθη διὰ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ. Οἱ δὲ Πατέρες τῆς Ἐκκλησίας πολλάκις ἀνέπτυσσον τὴν ἀλήθειαν ταύτην κατὰ βάθος καὶ λεπτομερῶς. «Ὁ Χριστὸς ὀνομάζεται ἀπολύτρωσις (1 Κορ. 1, 30) διδάσκει ὁ Ἅγ. Γρηγόριος ὁ Θεολόγος, ὡς δοὺς ἑαυτὸν λύτρον ὑπὲρ ὑμῶν καὶ ἐξιλαστικὴν θυσίαν ὑπὲρ τῆς οἰκουμένης(1). «Μὴ θαυμάσῃς λέγει ὁ Ἅγ. Κύριλλος Ἱεροσολύμων, εἰ ὁ Κόσμος ὅλος ἐλυτρώθη· οὐ γὰρ ἦν ἄνθρωπος ψιλὸς, ἀλλὰ Υἱὸς Θεοῦ Μονογενὴς ὁ ὑπεραποθνήσκων (2).

§ 208. *Ἡ πρὸς τὴν σωτηρίαν ἡμῶν δύναμις τῶν παθῶν καὶ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ*

Διὰ τῶν παθῶν καὶ τοῦ σταυρικοῦ θανάτου τοῦ Σωτῆρος Χριστοῦ ἐξετελέσθη ἡ σωτηρία τῶν ἀνθρώπων διὰ τοῦτο, διότι εἰσὶ πλήρης καὶ τελειοτάτη θυσία τῷ Θεῷ καὶ πατρὶ ὑπὲρ τῶν ἁμαρτιῶν παντὸς τοῦ ἀνθρωπίνου γένους, καὶ ἔχουσιν ἐνώπιον Αὐτοῦ ὑψίστην ἀξίαν. Διότι ἔχουσιν

α) Δύναμιν θυσίας *ἐξιλαστικῆς*. Διότι, εἰ καὶ ἡ ἁμαρτία ἐγέννησε μεταξὺ Θεοῦ καὶ ἀνθρώπων μεγάλην ἔχθραν καὶ ἔθηκε χάσμα μέγα, ἀλλ' ἡ ἑκούσιος καὶ ἀπείρου ἀγάπης καὶ αὐταπαρνήσεως θυσία τοῦ Ἰησοῦ Χριστοῦ, τὰ δεινὰ παθήματα καὶ τὸ αἷμα τὸ ἐπὶ τοῦ σταυροῦ ἐκχυθὲν, κατέσβεσαν

(1) Περὶ Θεολ. Λόγος Δ΄.
(2) Κατ. Δ ιδ.ΙΓ΄.

τὴν ἔχθραν ταύτην, ἔλυσαν τὸ μεσότοιχον, κατεπράϋναν τὴν ὀργὴν τοῦ Θεοῦ καὶ διήλλαξαν τὸν Θεὸν τῷ ἀνθρώπῳ, μάλιστα δὲ καὶ ἐδωρήσαντο τῷ ἀνθρώπῳ παρρησίαν ἐνώπιον τοῦ Θεοῦ. «Νῦν, ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, λέγει ὁ Ἀπόστολος, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ καταργήσας (Ἐφες. 2, 23—28). «Ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς Οὐρανοῖς» (Κολ. 1—20).

6) Δύναμιν θυσίας *ἱκανὰ ποιούσης*. Διότι χρέος μὲν ἄπειρον ἐπεβάρυνε τὸ ἁμαρτωλὸν γένος τῶν ἀνθρώπων, κατάρα καὶ αἰωνία καταδίκη ἐπεκρέματο ἐπ' αὐτῶν· ἀλλ' ὁ Ἰησοῦς Χριστὸς διὰ τοῦ ἁγιωτάτου Αὐτοῦ βίου ἐξεπλήρωσεν ἀντὶ ἡμῶν πᾶν τὸ θέλημα τοῦ Θεοῦ, διὰ δὲ τῶν παθημάτων καὶ τοῦ σταυροῦ ὑπέστη ὑπὲρ ἡμῶν πᾶσαν τὴν καταδίκην, ἣν ἡ δικαιοσύνη τοῦ Θεοῦ ὥρισε κατὰ τῶν ἡμετέρων ἁμαρτημάτων. Διότι, ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς ἦν οὐχὶ ἁπλοῦς ἄνθρωπος ἀλλὰ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἀναλαβὼν τὴν ἡμετέραν φύσιν καὶ γενόμενος νέος Ἀδὰμ, διὰ τοῦτο τὰ πάθη Αὐτοῦ καὶ ὁ θάνατος ἴσχυσαν ἐπὶ τοσοῦτον, ὥστε ἀντεστάθμησαν τὴν εὐθύνην τῶν ἀνθρώπων, καὶ ἅπαξ διὰ παντὸς ἱκανὰ ἐποίησαν τῇ θείᾳ δικαιοσύνῃ ὑπὲρ πάντων τῶν ἀνθρώπων, καὶ ἀφεῖλον ἀφ' ἡμῶν τὴν εὐθύνην τῆς ἁμαρτίας, μόνου τοῦ Ἰησοῦ Χριστοῦ πιόντος ἅπαν τὸ ποτήριον. Διὰ τοῦτο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καλεῖται *Ἀμνὸς αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, καὶ ἀνενεγκὼν ἐν τῷ σώματι Αὐτοῦ ἐπὶ τὸ ξύλον* (Ἰωαν. 1, 29. 1 Πετρ. 2, 24) τὸ δὲ αἷμα Αὐτοῦ *λύτρον* δι' οὗ ἐξηγοράσθημεν πάντες (1 Πετρ. 1, 19). Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει. «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας

τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα» (Γαλ.3,13). «Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ Αὐτοῦ αἵματι, εἰς ἔνδειξιν δικαιοσύνης Αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων (Ῥωμ. 3, 25). «Τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ» (2 Κορινθ. 5, 21). «Ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας τοὺς ἀνθρώπους εἰς δικαιοσύνην ζωῆς (Ῥωμ. 5, 18). «Εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· ὁ Χριστὸς ὑπὲρ πάντων ἀπέθανεν (2 Κορινθ. 5, 14). «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον Αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν οὖν Αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον (Ῥωμ. 6, 3. 4).

γ) Τὴν δύναμιν θυσίας *περισσευούσης*, τουτέστι τοσοῦτον πολυτίμου καὶ εὐαρέστου τῷ Θεῷ Πατρὶ, ὥστε δι' αὐτῆς ἀπετίσαμεν οὐ μόνον πᾶσαν τὴν πρώην ἡμῶν ὀφειλὴν, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ἐκτησάμεθα πλεῖστα ὅσα· διότι τὰ πάθη καὶ τὸ ἀνεκτίμητον αἷμα τοῦ Σωτῆρος Χριστοῦ, τοῦ Θεοῦ ἐν σαρκὶ καὶ ὅλως δικαίου καὶ ἁγίου, ἀποτελοῦσιν ἀνεξάντλητον θυσαυροφυλάκιον, ἐξ οὗ πᾶς ὁ πιστεύων δύναται πάντοτε ἀντλεῖν, ὅση θέλησις, κατὰ τὸ μέτρον τῆς πίστεως καὶ ἀγάπης πρὸς τὸν Ἰησοῦν Χριστόν. «Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα· εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ, ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ, καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσε (Ῥωμ. 5, 14)· καὶ ἀλλαχοῦ «Ὅς καὶ τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ὑμῶν πάντων παρέδωκεν Αὐτὸν, πῶς οὐχὶ καὶ σὺν Αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται (Ῥωμ. 8, 32).

δ) Τὴν δύναμιν θυσίας *ἁγιαστικῆς*. Διότι ἡ ἁμαρτία οὐ μόνον τὸν Θεὸν ἐπ' ἄπειρον παρώργισεν, ἀλλὰ καὶ διέφθειρε πᾶσαν τὴν φύσιν τοῦ ἀνθρώπου· Διὸ ἀνάγκη ἦν ὅπως ἀναλαινισθῇ

αὐτὴ καὶ ἐνσαρξ ἐναὐτῃ νέα ζωὴ πρὸς σωτηρίαν ἡμῶν. Πρὸς τοῦτο δὲ μόνος ὁ θάνατος τοῦ Χριστοῦ ἱκανός. Διότι διὰ μόνου αὐτοῦ ἠδύνατο ὁ Χριστὸς μεταδοῦναι ἡμῖν πᾶσαν τὴν ἰδίαν δικαιοσύνην καὶ ἁγιότητα, δοὺς ἡμῖν τὸ ἄχραντον Αὐτοῦ σῶμα εἰς βρῶσιν καὶ τὸ τίμιον αἷμα εἰς πόσιν, ἵνα, μεταλαμβάνοντες ἡμεῖς δι' αὐτοῦ τὴν ἁγιωτάτην καὶ καθαρωτάτην φύσιν Αὐτοῦ, ὡς Αὐτὸς πρὸ ἡμῶν τὴν ἡμετέραν διὰ τῆς ἐνσαρκώσεως, ἐγκεντριζώμεθα Αὐτῷ, ὡς χαριτοβρύτῳ ἀμπέλῳ (Ἰωάν. 15, 1), καὶ εἰσάγωμεν εἰς ἡμᾶς τὴν ζωὴν Αὐτοῦ, ὡς ἁγίαν τινὰ ζύμην (Ματ, 13, 33). Τοῦτον τὸν σκοπὸν τοῦ θανάτου Αὐτοῦ ὑπέδειξεν Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ἀποκαλέσας ἑαυτὸν ἄρτον ζῶντα, καταβάντα ἐκ τῶν οὐρανῶν, πρὸς τοῦτο, ὅπως δῷ τοῦτον τοῖς πᾶσιν εἰς βρῶσιν, καὶ ἐντέλλεται τοῖς πᾶσι ἀπαραίτητον τὸ μεταλαμβάνειν τὸ σῶμα καὶ αἷμα Αὐτοῦ, ὅπως ζωὴν ἔχωσιν ἐν ἑαυτοῖς (Ἰωάν. 6, 51, 56)· Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει· ὅτι ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς « ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον » (Τιτ. 2, 14).

§ 209. *Ἡ καθολικὴ δύναμις τῆς ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ προσενεχθείσης θυσίας.*

Ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς Θεῖον Πρόσωπον ἐν σαρκὶ, διὰ τοῦτο ἡ ὑπ' αὐτοῦ διὰ παθημάτων καὶ θανάτου προσενεχθεῖσα θυσία ἐστὶ *καθολικὴ καὶ γενικὴ*. Ἐπεκτείνεται δὲ ἡ δύναμις αὐτῆς. α) *Ἐπὶ πάντας τοὺς ἀνθρώπους*. « Αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου (1 Ἰωαν. 2, 2). β) *Ἐπὶ πάσας τὰς ἁμαρτίας*. « Τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας » (1 Ἰωαν. 1, 7). γ) *Ἐπὶ πάντας τοὺς χρόνους, παρεληλυθότας, παρόν-*

τας καὶ μέλλοντας, διὸ καὶ ὁ Ἰησοῦς Χριστὸς καλεῖται *Ἀρνίον ἐσφαγμένον ἀπὸ καταβολῆς κόσμου* (Ἀποκ. 13, 8). καὶ ὁ Ἀπόστολος Παῦλος λέγει, ὅτι ὁ Ἰησοῦς Χριστὸς « μιᾷ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους » (Ἑβρ. 10, 14), « καὶ διὰ τὸ μένειν Αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει ἱερωσύνην, ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' Αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν » (Ἑβρ. 7, 24. 25).

§ 210. *Περὶ τῆς τιμῆς τοῦ ἁγίου Σταυροῦ καὶ περὶ τοῦ σημείου τούτου.*

Ἐκ τοῦ δόγματος περὶ τοῦ σταυρικοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ ἀπορρέει ἕτερον δόγμα τῆς Ὀρθοδόξου Ἐκκλησίας ἡμῶν « περὶ τῆς τιμῆς τοῦ ἁγίου Σταυροῦ καὶ περὶ τοῦ σημείου τοῦ Σταυροῦ. » Διότι ἐπειδὴ ἡ σωτηρία ἡμῶν ἐγένετο διὰ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ, καὶ οὐχὶ βεβαίως ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ σκοπίμως ηὐδόκησεν ἀποθανεῖν οὕτω καὶ οὐχὶ ἄλλως, διὰ τοῦτο ὁ σταυρὸς ὡς ὄργανον, δι' οὗ ἡ σωτηρία ἡμῶν, καὶ θυσιαστήριον, ἐφ' οὗ προσηνέχθη ἡ ἀπολυτροῦσα θυσία ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ κόσμου καὶ ὡς σημεῖον νίκης ἐπὶ τοῦ θανάτου καὶ ἐπὶ τοῦ διαβόλου, ἀναμφιβόλως ἄξιός ἐστιν τῆς εὐλαβοῦς τιμῆς, καὶ τὸ σημεῖον αὐτοῦ ἄξιον ὅπως ἁγίως τηρῆται, τιμᾶται καὶ προσκυνῆται, οὐχὶ βεβαίως διὰ τὴν ὕλην, ἐξ ἧς γίνεται, οὐδὲ διὰ τὸ σχῆμα αὐτοῦ, ἀλλὰ διὰ τὸν ἐπ' αὐτοῦ σταυρωθέντα Σωτῆρα. Διὰ τοῦτο καὶ ὁ ἅγ. Ἀπόστολος Παῦλος λέγει « ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ (Γαλ. 6, 14). καὶ ἀλλαχοῦ· « Ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, οἷς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι (1 Κορ. 1, 18). Πρὸς δὲ τούτοις τὸ δόγμα τοῦτο στηρίζεται.

α) Ἐπὶ τῆς Ἀποστολικῆς παραδόσεως καὶ τοῦ διηνεκοῦς παραδείγματος τῆς οἰκουμενικῆς Ἐκκλησίας. Διότι κατὰ τὴν μαρτυρίαν τῶν ἀρχαιοτάτων διδασκάλων τῆς Ἐκκλησίας Ἰουστίνου, Τερτυλλιανοῦ τὸ σημεῖον τοῦ σταυροῦ ἦν ἐν κοινῇ χρήσει καὶ τιμῇ, ἐπὶ τῶν κατ' αὐτοὺς χρόνων, παρὰ τοῖς χριστιανοῖς, καὶ ἦν ἀπαραίτητον ἐπί τε τῶν μυστηρίων καὶ ἱεροτελεστιῶν (1). Ὁ δὲ Τερτυλλιανὸς λέγει σαφῶς, ὅτι τὸ ἔθος τοῦτο, ἡ παράδοσις συνέστησεν, ἡ χρῆσις ἐστήριξεν ἡ δὲ πίστις τηρεῖ (2). Κατὰ δὲ τὸν Δ' αἰῶνα, ὅτε ἡ δόξα τοῦ Σταυροῦ κατελάμπρυνε καὶ τὸν θρόνον τῶν Αὐτοκρατόρων, εὑρίσκομεν ἀπειραρίθμους μαρτυρίας παρὰ τοῖς Ἁγίοις Πατράσι περὶ τῆς χρήσεως καὶ προσκυνήσεως αὐτοῦ. Καὶ ὁ μὲν Ἅγιος Βασίλειος ὁ Μέγας ἀποκαλεῖ ῥητῶς παράδοσιν τῶν Ἀποστόλων καὶ τῶν Πατέρων τοῦτο (3) Ὁ δὲ Χρυσόστομος ἐν πολλοῖς χωρίοις, εἴτε ὁλοκλήροις λόγοις ἐξυμνεῖ τὸν τίμιον Σταυρόν. Ὁ δὲ Ἅγιος Κύριλλος Ἱεροσολύμων λέγει περὶ τοῦ σημείου τοῦ Σταυροῦ ἐν τῇ Κατηχήσει αὐτοῦ. « Ἐπὶ μετώπου μετὰ παῤῥησίας δακτύλοις ἡ σφραγὶς καὶ ἐπὶ πάντων ὁ σταυρὸς γινέσθω Ἐπὶ ἄρτων βιβρωσκομένων καὶ ἐπὶ ποτηρίων πινομένων, ἐν εἰσόδοις ἐν ἐξόδοις, πρὸ τοῦ ὕπνου, κοιταζομένοις, καὶ διανισταμένοις, ὁδεύουσι καὶ ἡρεμοῦσιν » (Κατ. 13,).

β) Ἐπὶ πολυαρίθμων θαυμάτων, τελεσθέντων ὑπὸ τοῦ Σταυροῦ ἢ διὰ τοῦ σημείου τούτου, περὶ ὧν διηγεῖται ἡ Ἐκκλησιαστικὴ ἱστορία καὶ οἱ Πατέρες τῆς Ἐκκλησίας. Διὰ τοῦτο τὸ δόγμα τοῦτο τοσοῦτον ἐστερεώθη ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ, ὥστε πάντα τὰ μυστήρια καὶ αἱ Ἱεροτελεστίαι τελοῦνται διὰ τοῦ σημείου τοῦ σταυροῦ. Ἡ δὲ Ἁγία Ἐκκλη-

---

(1) Ἀπολογία 1, 55.

(2) De coron. 4.

(3) Περὶ Ἁγ. Πνευμ.

σία ἀπανταχοῦ τῶν ναῶν ἵστησι τὸν σταυρὸν τοῖς ὀφθαλμοῖς τῶν προσευχομένων, ὡς διηνεκῆ καὶ ἀσίγητον διδάσκαλον τοῦ μυστηρίου τῆς σωτηρίας ἡμῶν, συνεχῶς δ' ἀνυμνεῖ τὸν Σταυρὸν ἐν ταῖς ἀκολουθίαις καὶ ἐπιτελεῖ εἰς τιμὴν Αὐτοῦ ἑορτάς.

3) Περὶ τοῦ Βασιλικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ.

§ 211. *Ἡ ἀλήθεια τοῦ ἀξιώματος τούτου.*

Προσενεγκὼν Ἑαυτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς παγκόσμιον θυσίαν, ἔλαβε παρὰ Θεοῦ βασιλικὸν κράτος καὶ δύναμιν ἐπὶ πάντων, ὅπως στηρίξῃ, ἣν διὰ παθῶν καὶ θανάτου περιποιήσατο ἡμῖν σωτηρίαν, καὶ συντελέσῃ αὐτῇ πάσαις δυνάμεσι τοῦτε Οὐρανοῦ καὶ τῆς γῆς. Ἡ ἀλήθεια δ' αὐτὴ καταφαίνεται.

α) *Ἐκ τῶν μαρτυριῶν τῆς Παλαιᾶς Διαθήκης.* Ὁ βασιλεὺς Δαβὶδ ἔλαβεν ἐπαγγελίαν, ὅτι ὁ ἐρχόμενος Μεσσίας, ὁ ἀπόγονος αὐτοῦ, καθίσῃ ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ ἔσται εἰς αἰῶνα, (2 Βασιλ. 7, 12—19). Ἐν δὲ τῷ 2ῳ ψαλμῷ Αὐτὸς ὁ Μεσσίας παρίσταται λέγων. « Ἐγὼ κατεστάθην ὑπ' Αὐτοῦ βασιλεὺς ἐπὶ Σιὼν ὄρος τὸ Ἅγιον Αὐτοῦ· ὁ δὲ Θεὸς Πατὴρ λέγει πρὸς αὐτόν. « αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω Σοι ἔθνη τὴν κληρονομίαν Σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς » (ψαλ, 2, 6. 8). Ὁ Ἡσαΐας, ὁ Ἱερεμίας ὁ Δανιὴλ καὶ ὁ Ἰεζεκιὴλ ὡσαύτως πολλαχοῦ εἰκονίζουσι τὸν *Μεσσίαν Βασιλέα* (Ἡσ. 2, 2—4. 9, 6. 7. 11, 1—10. Ἰεζεκ. 34, 23. 24. Δαν. 2, 44).

β) Τὸ αὐτὸ μαρτυρεῖ καὶ ἡ Καινὴ Διαθήκη. Ὁ Ἄγγελος λέγει τῇ Ὑπεραγίᾳ Παρθένῳ, ὅτι ὁ ἐξ Αὐτῆς « βασιλεύσει ἐπὶ τὸν οἶκον τοῦ Ἰακὼβ εἰς αἰῶνας, καὶ τῆς βασιλείας Αὐτοῦ οὐκ ἔσται τέλος » (Λουκ. 1, 33). Καὶ Αὐτὸς ὁ Ἰησοῦς Χρι-

στὸς ἐδίδασκε « Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν » (Λουκ. 22, 29). « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς (Ματθ. 28, 18). Καὶ ὁ Ἀπόστολος Παῦλος λέγει, ὅτι ὁ Θεὸς Πατήρ « Ἐκάθισε τὸν Ἰησοῦν χριστὸν ἐν δεξιᾷ Αὐτοῦ ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας Αὐτοῦ καὶ Αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ » (ἐφ. 1, 20—22). Ἐν γένει δὲ οἱ σύγχρονοι τοῦ Ἰησοῦ Χριστοῦ ἀνέμενον τὸν Μεσσίαν, ὡς βασιλέα καὶ πολλάκις Αὐτὸν τοῦτον ἐκάλουν Βασιλέα.

§ 212. *Βαθμοὶ τῆς βασιλείας τοῦ Ἰησοῦ Χριστοῦ.*

Ἀναδειχθεὶς μετὰ τὸν ἐπὶ σταυροῦ θάνατον Αὐτοῦ Βασιλεὺς ὁ Ἰησοῦς Χριστὸς, ἤρξατο τὸ βασιλικὸν Αὐτοῦ ἀξίωμα διὰ τῆς νίκης καὶ τῆς καταστροφῆς τοῦ βασιλείου τοῦ Σατανᾶ, ἤτοι *διὰ τῆς εἰς ᾅδην* καθόδου. Μετὰ ταῦτα δὲ ἀπεκάλυψεν αὐτὸ ἐπὶ τῆς γῆς *διὰ τῆς ἀναστάσεως*. Περαιτέρω δὲ ἐν τοῖς οὐρανοῖς *διὰ τῆς ἀναλήψεως*. Καὶ τέλος τὴν κυριαρχίαν ἐπὶ τοῦ παντὸς ἀνέλαβε *διὰ τῆς ἐκ δεξιῶν τοῦ Πατρὸς* καθέδρας.

§ 213. *Ἡ εἰς ᾅδην κάθοδος.*

Ὅτι ὁ Ἰησοῦς Χριστὸς μετὰ θάνατον τῷ ὄντι κατέβη μετὰ τῆς ψυχῆς Αὐτοῦ, ἡνωμένης τῇ Θεότητι, εἰς ᾅδην, τουτέστιν εἰς τὸ κατοικητήριον πάντων τῶν ἀπ' αἰῶνος τεθνεώτων, ὅπου οὗτοι ἐν τοῖς δεσμοῖς τοῦ θανάτου ἐφυλάσσοντο ὑπὸ τοῦ Διαβόλου, ἔχοντος τὸ κράτος τοῦ θανάτου, τοῦτο ἀναμφιβόλως μαρτυρεῖ ὁ Ἅγιος Πέτρος, ἀνάγων εἰς τὸν Ἰησοῦν Χριστὸν τὰς λέξεις τοῦ προφήτου Δαβίδ. *Οὐκ ἐγκαταλείψεις τὴν*

ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν (Πραξ. 2, 24) Πρὸς δὲ τούτοις ῥητῶς λέγει, ὅτι ὁ Ἰησοῦς Χριστὸς *θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι, ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν* (1 Πετρ. 3, 18. 19). Ὡσαύτως καὶ ὁ Ἀπόστολος Παῦλος μαρτυρεῖ «ἀναβὰς εἰς ὕψος ᾐχμαλώτισεν αἰχμαλωσίαν καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. Τὸ δὲ ἀνέβη, τί ἐστιν εἰμὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτερα μέρη τῆς γῆς (Ἐφ. 4, 8. 9). Ὅτι δὲ τὴν ἀλήθειαν τῆς εἰς ᾅδην καταβάσεως τοῦ Ἰησοῦ Χριστοῦ πάντοτε ὡμολόγει ἡ Ἁγ. Ἐκκλησία, ὡς δόγμα τῆς πίστεως, τοῦτο φαίνεται ἐκ τῶν ἀρχαίων συμβόλων, οἷον τὸ Ἀποστολικὸν, τὸ Ἱεροσολύμων, τὸ τοῦ Ἀθανασίου Ἀλεξανδρείας, ὅπου ῥητῶς γίνεται μνεία τῆς καταβάσεως εἰς ᾅδην, ὡς καὶ ἐκ τῆς διδασκαλίας πλείστων Πατέρων τῆς Ἐκκλησίας (1).

Οἱ δὲ καρποὶ τῆς εἰς ᾅδην καταβάσεως ἦσαν α) ἡ καθαίρεσις τοῦ Διαβόλου ἐν αὐτῇ τῇ χώρᾳ αὐτοῦ καὶ ἡ κατασιροφὴ τοῦ βασιλείου τοῦ σκότους, τοῦτο δὲ ἀναγκαῖον ἦν πρὸς ἀποκατάστασιν τῆς βασιλείας τοῦ Θεοῦ ἐπὶ τῆς γῆς καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν. Περὶ δὲ τῆς πράξεως ταύτης, ἥτις ἤδη ἐν τῷ παραδείσῳ προανηγγέλθη τοῖς πρωτοπλάστοις μετὰ τὴν πτῶσιν αὐτῶν (Γεν. 3, 15), λέγει Αὐτὸς ὁ Ἰησοῦς Χριστὸς «νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω (Ἰωαν. 12, 31), καὶ ὁ Ἀπόστολος «ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν αὐτῷ (Κορ. 2, 15).

β) Ἡ νίκη ἐπὶ τοῦ θανάτου τοῦ κρατοῦντος τέως ἐν ταῖς

---

(1) Ὁ Εἰρηναῖος, ὁ Τερτυλλιανὸς, Κλήμης ὁ Ἀλεξανδρεὺς, ὁ Ὠριγένης ὁ Λαυρέντιος, ὁ Ἐπιφάνιος, Βασίλειος ὁ Μέγας, Γρηγόριος ὁ Θεολόγος, ὁ Ἁγ. Χρυσόστομος, ὁ Ἀμβρόσιος, ὁ Εὐσέβιος ἐν τῷ διηγήματι περὶ τοῦ Ἀποστόλου Θαδδαίου.

σειραῖς αὐτοῦ πάντας τοὺς ἀνθρώπους, ὡς προεῖπεν ἤδη ὁ προφήτας Ὡσηέ «Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτούς; ἐκ θανάτου λυτρώσομαι αὐτούς· ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη (13, 14); καὶ ὁ Ἀπόστολος «ἵνα διὰ τοῦ θανάτου, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον (Ἑβρ. 2, 14). Τοῦτο δὲ καὶ ἀριδήλως ἀπεδείχθη διὰ τῆς ἀναστάσεως πολλῶν ἀποθανόντων Ἁγίων ἐν καιρῷ τοῦ θανάτου τοῦ Σωτῆρος (Ματθ. 27, 52). γ) Τὸ κήρυγμα τοῦ Εὐαγγελίου, καὶ ἡ εἰς τὴν κατάστασιν τῆς μακαριότητος ἀνύψωσις τῶν δικαίων τῆς Παλαιᾶς διαθήκης, καὶ πάντων, ὅσοι προσεδόκουν καὶ ἠδύναντο νοῆσαι καὶ παραλαβεῖν τὸ θεῖον Αὐτοῦ κήρυγμα, καὶ ἐφάνησαν ἄξιοι τῆς οὐρανίου βασιλείας. «Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι (1 Πετρ. 4, 6ς

§ 214. *Ἡ Ἀνάστασις.*

Καταβαλὼν τὸ κράτος τοῦ θανάτου ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀνέστη ἐκ τοῦ τάφου τῇ δυνάμει τῆς θεότητος αὐτοῦ, ἡ δὲ ἁγιωτάτη ψυχὴ Αὐτοῦ ἡνώθη πάλιν τῷ ἀχράντῳ σώματι, τῷ ἐν τάφῳ κειμένῳ, ἀλλὰ δεδοξασμένῳ, λαμπροφόρῳ καὶ ἀθανάτῳ. Ἡ δὲ ἀλήθεια τῆς ἀναστάσεως, ἡ προαναγγελθεῖσα ὑπο τοῦ προφήτου Δαβὶδ, «οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν (ψαλ. 15, 10), καὶ προεικονισθεῖσα διὰ τῆς τριημέρου διαμονῆς τοῦ Ἰωνᾶ ἐν τῇ κοιλίᾳ τοῦ κήτους (Ματθ. 12. 39. 40), προειρημένη δὲ πολλάκις καὶ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ (Ἰωαν. 2, 19. 21. Ματθ. 16, 21. 17, 9. 23), στηρίζεται ἀναντιῤῥήτως ἐπὸ τῆς μαρτυρίας πάντων τῶν Εὐαγγελιστῶν, τῶν διηγουμένων τὰ περὶ τῆς ἀναστάσεως, καὶ τὰς ἐμφανίσεις τοῦ ἀναστάντος Σωτῆρος Χριστοῦ τοῖς οὐκ ὀλίγοις μαθηταῖς, πρὸς οὓς διελέγετο καὶ μεθ' ὧν τροφῆς μετελάμβανε, καὶ οἷς ἐπέ-

τρεπεν ἅπτεσθαι τῶν τραυμάτων αὐτοῦ (Λουκ. 24, 38—43. Ἰωαν. 20, 27. 28. 21, 13. Πραξ. 1, 3. 4). Ἰδίως δὲ σπουδαία περὶ τούτου ἡ μαρτυρία τοῦ Ἀποστόλου Παύλου ἐν τῇ Α΄ πρὸς Κορινθίους ἐπιστολῇ, ὅπου καὶ μνημονεύει ὑπὲρ τοὺς πεντακοσίους αὐτόπτας τοῦ ἀναστάντος Σωτῆρος Χριστοῦ, ἅμα δὲ καὶ λέγει, ὅτι ἡ ἀλήθεια τῆς ἀναστάσεως αὐτοῦ θεμελιώδης ἐστὶ βάσις τῆς Χριστιανικῆς πίστεως. Διότι ἄνευ τῆς ἀληθείας ταύτης κενὸν καὶ τὸ κήρυγμα ἡμῶν, κενὴ καὶ ἡ πίστις ἡμῶν· καὶ ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν (15, 3—19).

Οἱ δὲ καρποὶ τῆς λαμπροφόρου ἀναστάσεως τοῦ Σωτῆρος Χριστοῦ ἦσαν. α) Ἀποκάλυψις πλήρης τῆς ἐξουσίας αὐτοῦ ἐπὶ τῆς γῆς, καὶ φανέρωσις ἐνταῦθα πάσης τῆς δόξης τῆς θεότητος αὐτοῦ, τῆς μέχρι τοῦδε κεκρυμμένης ὑπὸ τὸ κάλυμμα τῆς τεταπεινωμένης ἀνθρωπότητος. «Ἐδόθημοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ἔλεγεν αὐτὸς, φανερωθεὶς τοῖς μαθηταῖς αὐτοῦ μετὰ τὴν ἀνάστασιν (Ματθ. 28, 18). Ὁ Ἀπόστολος Παῦλος λέγει, ὅτι διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως ὁ Ἰησοῦς Χριστὸς *ὡρίσθη*, τουτέστιν ἀπεκαλύφθη *Υἱὸς Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης* (Ῥωμ. 1, 8). β) Ἡ ἐπισφράγισις καὶ ἐπικύρωσις τῆς ἀληθείας περὶ τῆς ἀπολυτρώσεως ἡμῶν, τῆς ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ τελεσθείσης. »Παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν. (Ῥωμ. 4, 25). «Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται ματαία ἡ πίστις ὑμῶν (1 Κορινθ. 15, 17) γ) Τὸ δυνατὸν καὶ ἡ ἀναντίῤῥητος ἀλήθεια τῆς καθολικῆς ἀναστάσεως πάντων τῶν ἀνθρώπων. «Χριστὸς ἐγήγερται ἐκ νεκρῶν ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται (1 Κορινθ. 15, 20. 22).

§ 21β. Ἡ εἰς Οὐρανοὺς ἀνάληψις.

Πείσας ὁ Ἰησοῦς Χριστὸς τῇ ἑαυτοῦ ἀναστάσει τοὺς Ἀποστόλους καὶ μετὰ τούτων πολλοὺς ἄλλους, πολλάκις δ' ἐμφανιζόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ (Πραξ, 1, 3), μετὰ ταῦτα ἀνελήφθη τὴν τεσσαρακοστὴν ἡμέραν μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἀπὸ τῆς γῆς εἰς τοὺς Οὐρανοὺς τῇ ἀχράντῳ, καὶ θεωθείσῃ σαρκί. Τὴν ἀλήθειαν δὲ ταύτην προεῖπον οἱ Προφῆται «ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις (ψαλ. 23, 7—10. 46, 6. 67, 19. Δαν. 7, 13—14. Ζαχαρ. 14, 4). Προανηγγέλθη καὶ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ. «Ἐὰν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν καὶ πρότερον» (Ἰωάν. 6, 62), καὶ παρεδόθη ἡμῖν ὑπὸ τῶν Εὐαγγελιστῶν· «ἐξήγαγε δὲ αὐτοὺς, τουτέστι τοὺς μαθητὰς, ἔξω εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ ηὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανὸν (Λουκ. 24, 50. 51. Μαρκ. 16, 19. Πραξ. 1, 9). Ὁ δὲ σκοπὸς τῆς ἀναλήψεως τοῦ Σωτῆρος Χριστοῦ ἦν. α) Ὅπως ἀναλάβῃ τὸ κράτος ἐπὶ τοῦ ἀγγελικοῦ κόσμου καὶ οὕτω δι' αὐτοῦ ἀνακεφαλαιώσηται τὰ πάντα. «Ἐπορεύθη εἰς οὐρανὸν ὑποταγέντων αὐτῷ Ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων (1 Πετρ. 3, 22). «Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν Πρωτότοκον εἰς τὴν Οἰκουμένην λέγει «καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ (Ἑβρ. 1, 6. 1 Τιμ. 3, 15) β) Ὅπως παραστῇ πρόδρομος ὑπὲρ ἡμῶν ἐνώπιον τοῦ οὐρανίου Πατρὸς, καὶ παραστήσῃ Αὐτῷ ἀπαρχὴν τῆς λυτρωθείσης καὶ ἐπανορθωθείσης ὑπ' αὐτοῦ ἀνθρωπίνης φύσεως· «οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθειῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θε-

οὗ ὑπὲρ ἡμῶν (Ἑβρ. 9, 24) γ) Ὅπως ἀνοίξῃ τὴν εἰς οὐρανοὺς ὁδὸν καὶ ἑτοιμάσῃ τόπον τοῖς ἀκολούθοις αὐτοῦ «πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε (Ἰωαν. 14, 2, 3). δ) Ὅπως ἐρωτήσῃ τὸν Θεὸν καὶ Πατέρα καὶ ἀποστείλῃ τοῖς ἀνθρώποις τὸ Πνεῦμα τὸ Ἅγιον « συμφέρει ὑμῖν, ἐὰν ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ πέμψω ὑμεῖν αὐτὸν πρὸς ὑμᾶς (Ἰωάν. 16, 7)

§ 216. *Καθέδρα ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρός.*

Μετὰ τὴν εἰς οὐρανὸν ἀνάληψιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρὸς, τουτέστι καὶ ἐν αὐτῇ τῇ ἀνθρωπότητι αὐτοῦ, ὑποστατικῶς ἑνωθείσῃ τῇ θεότητι, ἀνέλαβε τὴν θείαν τιμὴν, ἀξίαν καὶ ἐξουσίαν ἐπὶ παντὸς τοῦ ἐπουρανίου, καὶ ἐπιγείου καὶ καταχθονίου. Τὴν δὲ ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρὸς καθέδραν τοῦ Ἰησοῦ Χριστοῦ προεῖπεν ὁ προφήτης Δαβίδ· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου (ψαλ. 109, 1). Λέγουσι δὲ περὶ αὐτῆς καὶ οἱ Ἀπόστολοι. «Ὁ μὲν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ (Μαρκ. 16, 19). «Οὗτος δὲ μίαν ὑπὲρ τῶν ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ (Ἑβρ. 10, 12).

Ὁ δὲ καρπὸς τῆς ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρὸς καθέδρας τοῦ Σωτῆρος Χριστοῦ ἐστὶν· α) ἡ διηνεκὴς, πλησιεστάτη καὶ δραστικωτάτη ὑπὲρ ἡμῶν μεσιτεία· «σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν, εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν (Ἑβρ. 7, 25) β) Ἡ διηνεκὴς καὶ κραταιὰ μέριμνα ὑπὲρ τῶν πιστευόντων, βοήθεια αὐτοῖς ἐν

τῇ πρὸς τοὺς ἐχθροὺς πάλῃ, καὶ συνέργειᾳ τῇ προόδῳ τοῦ Εὐαγγελίου διὰ πάσης δυνάμεως, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς «δεῖ γὰρ αὐτὸν βασιλεύειν. ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ (1 Κορ. 15, 25). Διὰ τοῦτο ὁ Κύριος ἡμῶν καὶ οὐκ ἔμεινεν ὁρατὸς ἐπὶ τῆς γῆς τῷ σώματι

Γ. Διδασκαλία περὶ τῆς οἰκειώσεως τῷ ἀνθρωπίνῳ γένει τοῦ Μυστηρίου τῆς Ἀπολυτρώσεως.

§ 217. *Περιεχόμενοι καὶ διαίρεσις.*

Τὸ μέγα ἔργον τῆς ἀπολυτρώσεως τελεσθὲν ὑπὸ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀφείλει ὁ ἄνθρωπος παραλαβεῖν οὕτως, ὥστε καταστῆναι ἴδιον κτῆμα τὸ ἔργον καὶ τὴν ἀξιομισθίαν τοῦ Ἰησοῦ Χριστοῦ. Τοῦτο δὲ κατορθοῦται, ἐκ μὲν τοῦ Θεοῦ διὰ τῆς χάριτος αὐτοῦ, ἐκ δὲ τοῦ ἀνθρώπου διὰ πίστεως καὶ ἔργων ἀγαθῶν. Ὥστε δύο καὶ τὰ μέσα· καὶ α) τὸ μὲν ἐκ Θεοῦ ἐστὶν ἡ χάρις· β) Τὸ δὲ ἐκ τοῦ ἀνθρώπου ἡ Πίστις καὶ τὰ ἀγαθὰ ἔργα.

α) Περὶ τῶν μέσων τῶν ἐκ τοῦ Θεοῦ, ἤτοι περὶ τῆς Χάριτος τοῦ Θεοῦ.

§ 218. *Ἡ περὶ τῆς Χάριτος ἔννοια.*

Ἡ λέξις χάρις σημαίνουσα ἐν γένει πᾶν τι δωρεὰν διδόμενον ἔχει διαφόρους ἐννοίας ἐν τῇ Ἁγ. Γραφῇ α) Καὶ ὅτε μὲν σημαίνει τὴν ἀγάπην καὶ ἀγαθότητα τοῦ Θεοῦ, ἐπεκτεινομένας ἐπὶ πάντας τοὺς ἀνθρώπους ἐν εἴδει δωρημάτων καὶ εὐεργεσιῶν τοῦ Θεοῦ. Ἐν τῇ σημασίᾳ δὲ ταύτῃ ἰδίως εὔχρηστος ἐν τῇ Π.

Διαθήκη (ψαλ. 84, 13.), οὕτω δὲ καὶ ὁ Ἀπόστολος Πέτρος ἀποκαλεῖ τὸν Θεὸν *Θεὸν πάσης χάριτος* (1 Πετρ. 5, 10). Ὅτε δὲ 6) ἡ λέξις αὕτη ἐκφράζει ἅπαν τὸ ἔργον τῆς Ἀπολυτρώσεως ἡμῶν, ὅπερ δωρεὰν ἡμῖν ἐξετέλεσεν ὁ Σωτήρ. *Ἐκ τοῦ πληρώματος Αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος* (Ἰωαν. 1, 17.) « Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις » (Τιτ. 2, 11, 3, 4.) *οὐκ ἐστὲ ὑπὸ νόμον ἀλλ' ὑπὸ χάριν* (Ῥωμ, 6, 14).Ὅτε δὲ γ) οὕτω καλοῦνται καὶ τὰ τῇ Ἐκκλησίᾳ δοθέντα χαρίσματα. « ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ » (ἐφ. 4, 7). Ἀλλὰ κυρίως ἡ χάρις κατὰ τὴν σημασίαν τὴν δογματικὴν, καθ' ἣν ἐν χρήσει μάλιστα ἐν τῇ Κ. Δ. σημαίνει τὴν θείαν ἐκείνην δύναμιν, ἥτις ἐνοικοῦσα ἐν τῷ ἀνθρώπῳ περιποιεῖται αὐτῷ τὸ ἔργον τῆς Ἀπολυτρώσεως, φυτεύουσα, αὔξουσα καὶ τηροῦσα τὸν ἐν ἀνθρώπῳ πνευματικὸν βίον. Ὀνομάζεται δὲ χάρις, διότι καὶ τὸ ἔργον τῆς ἀπολυτρώσεως οὐκ ἐξ ἡμῶν ἀλλὰ Θεοῦ τὸ δῶρον, οὐδὲ διὰ τὴν ἡμετέραν ἀξίαν καὶ προσπάθειαν, ἀλλὰ διὰ τὴν ἀξιομισθίαν μόνην τοῦ Ἰησοῦ Χριστοῦ. « Χάριτι ἐστὲ σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν Θεοῦ τὸ δῶρον » (ἐφ. 2, 8). « δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ Χάριτι » (Ῥωμ. 3, 24).

§ 219. *Πηγὴ τῆς Χάριτος.*

Ἡ Τριαδικὴ πηγὴ τῶν φυσικῶν δώρων ἡ Παναγία καὶ ζωαρχικὴ Τριὰς, ἔστιν ἅμα καὶ ἡ τριαδικὴ πηγὴ τῆς χάριτος. Ταύτην δίδωσιν ὁ Θεὸς καὶ Πατὴρ, δίδωσι διὰ τοῦ Υἱοῦ καὶ Θεοῦ διὰ τὴν ἀξίαν καὶ μεσιτείαν αὐτοῦ, δίδωσιν ἐν Ἁγίῳ Πνεύματι· διὸ καὶ λέγει ὁ Ἰησοῦς Χριστός. « Ἐγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν. Ὁ Παράκλητος τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου » (Ἰωαν. 14, 16. 26). Ἐντεῦθεν, ἐπειδὴ ἡ Παναγία

Τριὰς ἠὐδόκησεν, ὅπως διανείμῃ τὸ μέγα ἔργον τῆς Ἀπολυτρώσεως ἡμῶν, καὶ ἡ μὲν προαιώνιος βουλὴ περὶ τῆς ἀποστολῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνήκει τῷ Θεῷ καὶ Πατρί, ἡ δὲ ἐκπλήρωσις τῆς Βουλῆς Αὐτοῦ, ἡ ἐνσάρκωσις δηλαδὴ, τὸ πάθος καὶ ὁ θάνατος ὑπὲρ τοῦ ἀνθρωπίνου γένους ἀνήκουσι τῷ Υἱῷ τοῦ Θεοῦ· διὰ τοῦτο καὶ ἔργον τοῦ Ἁγίου Πνεύματος ἰδίως ἡ μετάδοσις τῷ ἀνθρώπῳ τοῦ ἔργου τῆς Ἀπολυτρώσεως· καὶ διὰ τοῦτο ἡ χάρις ἐστὶν ἰδίως ἐνέργεια τοῦ Ἁγίου Πνεύματος, ὅπερ, ὡς πάντοτε ἦν καὶ ἐνεργεῖ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, οὕτω καὶ ἐν παντὶ ἀληθεῖ Χριστιανῷ.

§ 220. *Ἡ ἀλήθεια τῆς χάριτος.*

Ὅτι ἡ χάρις τοῦ Ἁγ. Πν. ἀληθῶς ὑπάρχει, μαρτυρεῖ τοῦτῳ ῥητῶς ἡ Ἁγ. Γραφή. α) ἐν τῇ Π. Δ. οἱ Προφῆται προαναγγέλλοντες τὴν νέαν Διαθήκην τοῦ Θεοῦ *μετὰ* τοῦ ἀνθρ. γένους ἐδίδασκον, ὅτι τότε ὁ Κύριος δώσει τοὺς νόμους αὐτοῦ οὐχὶ ἐπὶ πλακῶν λιθίνων, ἀλλ' *εἰς τὴν διάνοιαν* τῶν ἀνθρώπων *καὶ ἐπὶ καρδίαις αὐτῶν γράψει αὐτούς* (Ἱερ. 31, 31—35.) *καὶ* ὅτι πάντες *ἔσονται διδακτοὶ τοῦ Θεοῦ* (Ἡσ. 54, 13). ὅτι ὁ Κύριος « ἐκχεεῖ ἀπὸ τοῦ Πνεύματος αὐτοῦ ἐπὶ πᾶσαν σάρκα· καὶ ἐπὶ τοὺς δούλους αὐτοῦ καὶ ἐπὶ τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεεῖ ἀπὸ τοῦ πνεύματος αὐτοῦ » (Ἰωὴλ 2, 28. 29). β) ἐν τῇ Κ. Δ. Αὐτὸς ὁ Σωτὴρ ἐν τῇ τετευταίᾳ ὁμιλίᾳ παρηγόρει τοὺς Μαθητὰς ἐπαγγελόμενος ἄλλον Παράκλητον. « Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ἡμῶν εἰς τὸν αἰῶνα τὸ Πνεῦμα τῆς . . . ἐκεῖνος ἡμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν » (Ἰωαν 14,16. 17. 26. Πραξ. 1, 8) Ἡ ἐπαγγελία δὲ αὕτη ἐξεπληρώθη ἔργῳ, κατελθόντος τοῦ Ἁγ. Πνεύματος ὁρατῶς ἐπὶ τοὺς Ἀποστόλους ἐν τῇ πεντηκοστῇ ἡ-

μέρᾳ μετὰ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ (Πραξ. 2, 2—4). Μετὰ τοῦτο διηνεκῶς ἐνεργεῖ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ ἐν ταῖς ψυχαῖς τῶν πιστῶν, ὡς οἱ Ἀπόστολοι ῥητῶς μαρτυροῦσι περὶ τούτου. Καὶ ὁ μὲν Εὐαγγελ. Ἰωάν. βεβαιοῖ ὅτι ἡ πιστεύοντες ἔχουσιν ἐν ἑαυτοῖς « Χρίσμα ἀπὸ τοῦ Ἁγίου καὶ διὰ τοῦτο οἴδασι πάντα. » καὶ ὅτι « οὐ χρείαν ἔχουσιν ἵνα τις διδάσκῃ αὐτοὺς, ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει αὐτοὺς » (1 Ἰωαν. 2, 20. 27)· ὁ δὲ Ἀπόστολος Παῦλος λέγει « χάριτι Θεοῦ εἰμὶ ὁ εἰμὶ, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί » (1 Κορ. 15, 10). « Ἀρκεῖ σοι ἡ χάρις μου, παραγορῶν ἔλεγεν ὁ Κύριος τῷ Ἀποστόλῳ· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται » (2 Κορ. 12, 9). « Οὐκ οἴδατε, ὅτι ναὸς τοῦ Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν » (1 Κορ. 3, 16 6, 19) ;

§ 221. Ἡ Ἀνάγκη τῆς χάριτος.

Ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἀναγκαία ἐν τῷ ἔργῳ τῆς ἡμετέρας Σωτηρίας. Διότι ὁ φυσικὸς ἄνθρωπος ὁ πεσὼν, τοσοῦτον ἀσθενής ἐστιν, ὥστε οὐ μόνον πρὸς ἀπολύτρωσιν καὶ ἐπανόρθωσιν αὐτοῦ ἀναγκαία ἦν ὑπερφυσικὴ βοήθεια, ἡ ἐνσάρκωσις τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀλλὰ καὶ πρὸς ἐπίτευξιν τῆς σωτηρίου ἀξιομισθίας τοῦ Σωτῆρος ἀδυνατεῖ ἰδίαις δυνάμεσι καὶ ἔχει χρείαν Παντοδυνάμου Θείας ἀρρωγῆς. Περὶ τούτου δὲ σαφῶς πάνυ βεβαιοῖ ἡ Ἁγ. Γραφὴ διδάσκουσα, ὅτι ἡ χάρις ἀναγκαία ἡμῖν.

α) Ἐν τῇ ἀρχῇ τῆς ἡμετέρας σωτηρίας « ψυχικὸς ἄνθρωπος (ἤτοι φυσικὸς) οὐδέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, λέγει ὁ Ἀπόστολος· μωρία γὰρ αὐτῷ ἐστι καὶ οὐδύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται » (1 Κορ. 2, 14). Τῷ ἀνθρώπῳ ἀναγκαῖον κατὰ τὸν λόγον τοῦ Σωτῆρος τὸ ἀναγεννηθῆναι

καὶ *γεννηθῆναι ἐκ Πνεύματος* (Ἰωαν. 3, 5), τουτέστι τῇ ἐνεργείᾳ τοῦ Ἁγ. Πνεύματος. Ἐν ἄλλῳ δὲ χωρίῳ λέγει· «οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν»(Ἰωαν.6,44). Καὶ ὁ Ἀπόστολος διδάσκει ὅτι « οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ » (1 Κορ. 12, 3).

6) Μετὰ ταῦτα· ὅπου ἐν τῇ Γραφῇ λόγος περὶ Χριστιανικοῦ βίου πανταχοῦ καὶ αἴτιον τὸ Ἅγιον Πνεῦμα. Αὐτὸς ἤδη ὁ Χριστιανὸς ἀποκαλεῖται *Πνευματικὸς* καὶ ὀφείλει οὐ μόνον γεννηθῆναι ἐκ Πνεύματος, ἀλλὰ καὶ πληροῦσθαι Πνεύματος,ζῇν καὶ περιπατεῖν κατὰ Πνεῦμα (Ῥωμ. 8, 4. 2. 9. 11—16).

Ἐν γένει δὲ, ὡς ἄνευ πνοῆς ὁ ἄνθρωπος νεκρὸς,οὕτως ἄνευ τῆς χάριτος τοῦ Ἁγ. Πνεύματος οὐκ ἔστι Χριστιανός. «εἴτις Πνεῦμα Χριστοῦ οὐκ ἔχει οὗτος οὐκ ἔστιν αὐτοῦ (Ῥωμ. 8. 9). Διὰ τοῦτο καὶ ὁ μέγας Μακάριος *ζωὴν τῆς ψυχῆς ἀποκαλεῖ* τὴν χάριν,καὶ λέγει « ὥσπερ γὰρ οὐκ ἔστι δυνατὸν ἰχθὺν ἄνευ ὕδατος ζῆσαι, ἢ ἄνευ ποδῶν περιπατῆσαι τινὰ, ἢ ἄνευ ὀφθαλμῶν ἰδεῖν φῶς, ἢ ἄνευ γλώσσης λαλεῖν, ἢ ἄνευ ὤτων ἀκούειν· οὕτως ἄνευ τοῦ Κυρίου Ἰησοῦ καὶ τῆς ἐνεργείας τῆς θείας δυνάμεως, οὐκ ἔστι γινώσκειν Μυστήριον καὶ σοφίαν Θεοῦ, ἢ εἶναι τινὰ πλούσιον καὶ Χριστιανόν» (1). Πλὴν δὲ τῆς ῥητῆς μαρτυρίας τῆς Γραφῆς τὸ σπουδαῖον τοῦτο δόγμα τῆς Χριστιανικῆς Πίστεως ἐπεκυρώθη καὶ ὑπὸ τῆς φωνῆς τῆς Οἰκουμενικῆς Ἐκκλησίας, ἥτις καὶ ἔκπαλαι ὡμολόγει τοῦτο ὁμοφώνως καὶ ἐν τῇ ἐν Καρθαγένῃ Συνόδῳ κατὰ τὸν 5 ον Αἰῶνα καθεῖλε τὴν αἵρεσιν τοῦ Πελαγίου καὶ Κελεστίου καὶ τῶν ὀπαδῶν τούτων,οἵτινες, ἀρνούμενοι τὸ προπατορικὸν ἁμάρτημα ἠρνοῦντο ἅμα καὶ τὴν ἀνάγκην τῆς χάριτος (2)

---

(1) Λογ. 17ος.

(2) Διηρεῦντο δὲ α) εἰς καθαρῶς Πελαγιανοὺς, οἵτινες ἠρνοῦντο ὅλως τὴν

§ 222. *Σχέσις τῆς χάριτος πρὸς τὴν ἐλευθερίαν τοῦ ἀνθρώπου.*

Ὁ τρόπος τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος ἐπὶ τῆς ψυχῆς ἀκατάληπτος «Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει, οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος (Ἰωαν. 3, 8). Ἐντούτοις ἀναμφίβολον τοῦτο, ὅτι ἡ χάρις ἐνεργοῦσα ἐν τῷ ἀνθρώπῳ οὔτε καταστρέφει οὔτε κωλύει τὴν ἐλευθερίαν αὐτοῦ « ἡ χάρις τοῦ Θεοῦ, λέγει ὁ Ἅγ. Μακάριος ὁ Μέγας, ἐνεργεῖ οὐκ ἀνάγκῃ, ἵνα φανῇ καθάπαξ καὶ διαμείνῃ τὸ αὐτεξούσιον..ἵνα ἐν τῷ θελήματι τοῦ ἀνθρώπου ᾖ τὸ τραπῆναι αὐτὸν ἐπὶ τὸ ἀγαθὸν, ἢ τὸ κακόν. (1) Οὕτω λοιπὸν α) ἡ χάρις οὐκ ἔστι τι ἀκούσιον, παραδεχομένου αὐτὴν τοῦ ἀνθρώπου ἀκουσίως καὶ παρὰ γνώμην, τοὐναντίον τοῦτο ἐξαρτᾶται ἐκ τῆς προαιρέσεως αὐτοῦ· β) οὐδέ τι *ἀναγκαστικὸν*, δεσμεύουσα τὸν ἄνθρωπον ὑπὸ τὴν ἰδίαν ἰσχὺν, ὥστε καθιστᾶν αὐτὸν ἀδύνατον πρὸς πᾶσαν ἀντίστασιν, μάλιστα δὲ καὶ πτῶσιν ἀπ' αὐτῆς· τοὐναντίον διδάσκει ἡ πεῖρα πολλάκις. Διὰ τοῦτο γ) ἡ χάρις οὐκ ἄνευ ὅρων, ἀλλ' ἀπαιτεῖ ἐκ τοῦ ἀνθρώπου καὶ καρδίαν μὴ σκληρυνθεῖσαν ὑπακοήν τε καὶ εὐπείθειαν, καὶ συνέργειαν. Διὸ ἐν τῇ Γραφῇ λέγεται, *Τὸ Πνεῦμα μὴ σβέννυτε* (1 Θεσσαλ. 5, 19) «μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ

τῆς χάριτος ἀνάγκην· διότι κατ' αὐτοὺς ὁ ἄνθρ. ἰδίαις δυνάμεσι ἐπιτυγχάνει τοῦ ποθουμένου. β) εἰς ἡμιπελαγιανοὺς, παραδεχομένους μὲν τὴν χάριν, ἀλλ' ὡς βοηθητικὴν δύναμιν μόνον πρὸς σωτηρίαν, ἥτις δυσκατόρθωτος μόνον, οὐχὶ δὲ καὶ ἀπολύτως ἀκατόρθωτος. Κατὰ τῶν δύο τούτων αἱρέσεων ἐγράψαν ἰδίως οἱ κανόνες 125, 126, 127 τῆς ἐν Καρθ. Συνόδου. Ἰσχυρὸς δ' Ἀντίπαλος Πελαγίου ἦν ὁ Μακάριος Αὐγουστῖνος. Κατὰ τοὺς νεωτέρους χρόνους ἀνενίωσαν τὸν Παλαγιανισμὸν οἱ Σωκινιανοί.

(1) Ἀσγ. 15.

(Εφεσ. 4, 30) «συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς (2 Κορ. 6, 1) «Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσὶν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε (Πραξ. 7, 51).

§ 223. *Τὰ εἴδη τῶν ἐνεργειῶν τῆς Χάριτος*

Ἡ χάρις τοῦ Ἁγίου Πνεύματος μεταδιδοῦσα ἡμῖν τὸ ἔργον τοῦ Χριστοῦ, καὶ τελειοῦσα οὕτω τὴν σωτηρίαν ἡμῶν α) ἄρχεται τῆς πνευματικῆς ἡμῶν ζωῆς, β) διατηρεῖ καὶ αὔξει, γ) τελειοῖ αὐτήν.

§ 224 *Ἡ χάρις ἡ ἀρχομένη τῆς ἡμετέρας Σωτηρίας.*

Ἡ χάρις ἡ ἀρχομένη τῆς ἡμετέρας σωτηρίας, εἴτε προηγουμένη ἐμφαίνεται α) ἐν τῇ κλήσει πρὸς σωτηρίαν. β) ἐν τῇ ἐπιστροφῇ γ) ἐν τῇ ἀνακαινίσει καὶ ἀναγεννήσει. Πρὸς τούτοις δίδωσι τῷ ἀναγεννηθέντι δ) δικαίωσιν, ε) ἁγιασμὸν καὶ ζ) συνδέει αὐτὸν καὶ ἑνοῖ τῷ Ἰησοῦ Χριστῷ.

§ 225. *Κλῆσις.*

Τὸ πρῶτον ἔργον, δι' οὗ ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἄρχεται τῆς ἡμετέρας σωτηρίας ἐστὶν ἡ κλῆσις· τουτέστι φανεροῖ τῷ ἀνθρώπῳ τὴν ὀλεθρίαν αὐτοῦ κατάστασιν ὑπὸ τὴν ἁμαρτίαν, καὶ οὕτω κινεῖ αὐτὸν εἰς σωτηρίαν, καὶ δεικνύουσα τὸν μόνον Μεσίτην τῆς σωτηρίας Ἰησοῦν Χριστὸν διατίθησιν εἰς τὴν εἰς αὐτὸν πίστιν. Περὶ τῆς ἀναγκαίας ταύτης ἐνεργείας τῆς χάριτος τῷ τετυφλωμένῳ καὶ ἐσκληρημένῳ ὑπὸ τὴν ἁμαρτίαν ἀνθρώπῳ, ὅπως συναισθανθῇ καὶ συνείδῃ τὴν ἑαυτοῦ ἁμαρτίαν, μαρτυρεῖ ἡ Ἁγία Γραφή. Καὶ ὁ μὲν Ἰησοῦς Χριστὸς διδάσκει «οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν

μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτὸν (Ἰωαν. 6, 44. 65), καὶ τὴν Βασιλείαν αὐτοῦ ὁμοιοῖ γάμῳ, εἰς ὃν μόνοι *οἱ κεκλημένοι* ἔρχονται (Ματθ. 22, 3. Λουκ. 14, 16). Ὁ δὲ Ἀπόστ. Πέτρος λέγει ὅτι ὁ Θεὸς ἐκάλεσεν ἡμᾶς ἐκ τοῦ σκότους εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· (1 Πετρ. 2, 9). Καὶ ὁ Ἀπόστολος Παῦλος πολλαχοῦ ἀποκαλεῖ τοὺς Χριστιανοὺς *κλητοὺς* (Ρωμ. 1, 6. 1 Κορ. 1, 2), καὶ λέγει, ὅτι ὁ Θεὸς ἔσωσεν ἡμᾶς καὶ ἐκάλεσε κλήσει ἁγίᾳ (2 Τιμοθ. 1, 9).

§ 226. *Οἱ τρόποι τῆς κλήσεως.*

Οἱ τρόποι, καθ' οὓς ἐνεργεῖ ἐπὶ τοῦ ἀνθρώπου ἡ χάρις ἡ καλοῦσα πρὸς σωτηρίαν, πολυάριθμοί εἰσι καὶ διάφοροι· καὶ ἡ γενικοὶ καὶ κοινοί, ἢ μερικοὶ καὶ εἰδικοί. Καὶ οἱ μὲν γενικοί, οἱ ἐπεκτεινόμενοι ἐπὶ πάντας τοὺς ἀνθρώπους, εἰσίν·

α) *ὁ φυσικὸς*, τουτέστιν ἡ ὁρατὴ φύσις, ἐν ᾗ ὁ Θεὸς, κατὰ τοὺς λόγους τοῦ Ἀποστόλου, ὥρισε προστεταγμένους καιροὺς κατὰ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, καὶ δὴ ὅπως οἱ ἄνθρωποι ζητῶσι τὸν Κύριον, εἰ ἄραγε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα (Πραξ. 17, 26. 27). Πλὴν δὲ τούτου καὶ ἡ στενάζουσα φύσις καταδείκνυσι τῷ ἀνθρώπῳ, ὅτι αὐτὸς μετ' αὐτῆς πέπτωκε καὶ χρήζει, διὰ τοῦτο, παντοδυνάμου λυτρωτοῦ. Δεύτερος δὲ φυσικὸς τρόπος, ἡ ἐσωτερικὴ φωνὴ τῆς Συνειδήσεως ὑπομιμνήσκουσα ὡσαύτως τῷ ἀνθρώπῳ, τῷ προσέχοντι ἑαυτῷ τὴν πτῶσιν ἀδυναμίαν καὶ τὴν ἀνάγκην Σωτῆρος. Διὰ τούτου δὲ τοῦ φυσικοῦ τρόπου πλεῖστοι ἐκλήθησαν εἰς τὴν εἰς Χριστὸν πίστιν, ὡς ἡ Ἱστορία μαρτυρεῖ.

β) *Ὁ ἐξ Ἀποκαλύψεως τρόπος*, τουτέστιν ὁ λόγος τοῦ Θεοῦ, δι' οὗ ὁ Θεὸς τὸ πάλαι μὲν διὰ τοῦ στόματος τῶν Προφητῶν, μετὰ δὲ ταῦτα διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ καὶ τῶν Ἀποστόλων ἐκάλει εἰς σωτηρίαν, νῦν δὲ διὰ τῶν ποιμένων καὶ διδασκάλων τῆς Ἐκκλησίας παραγγέλει τοῖς ἀνθρώποις

πᾶσι πανταχοῦ μετανοεῖν (Πραξ. 17, 30). Ὁ τρόπος οὗτος ἐπίσης γενικὸς καὶ καθολικὸς, ὡς καὶ ἡ φύσις. Διότι τὸ Εὐαγγέλιον κατὰ τὴν ἐντολὴν τοῦ Σωτῆρος ἔδει κηρυχθῆναι καὶ ἐκηρύχθη *πᾶσι τοῖς ἔθνεσι* (Ματθ. 28, 19.), καὶ *πάσῃ τῇ κτίσει* (Μαρκ. 16, 15), καὶ κατὰ τὸν Ἀπόστολον «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κηρύκων τῆς χριστ. Πίστεως καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτῶν (Ρωμ. 10, 18.)· ὥστε οὐδεμία χώρα ὑπολείπεται, ἐν ᾗ οὐκ ἐνεσπάρη ὁ σπόρος τοῦ λόγου τοῦ Θεοῦ.

Μερικοὶ δὲ ἢ εἰδικοί τρόποι της Κλήσεως εἰσίν·

α) ὁ *ἄμεσος*, ὅτε ὁ Θεὸς καλεῖ πρὸς σωτηρίαν διά τινος ἐσωτερικῆς μυστικῆς ἐνεργείας ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου περὶ ἧς αὐτὸς ὁ Κύριος ἐν τῇ Ἀποκαλύψει λέγει. «Ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω (Ἀποκαλ. 3, 20), παρὰ δὲ τῷ Προφήτῃ καλεῖται *λαλεῖν ἐπὶ τὴν καρδίαν* (Ὡσὲ 2, 14)· ἢ δι' ἐξωτερικῆς ἐμφανίσεως, ὡς ὤφθη τῷ Ἀδὰμ, Ἀβραὰμ, Ἀποστόλῳ Παύλῳ καὶ πολλοῖς Ἁγίοις, γνωστοῖς ἐν τῇ Ἱστορίᾳ τῆς Ἐκκλησίας. β) Ὁ *ἔμμεσος*, ὅτε ὁ Θεὸς διὰ παντοίων τρόπων καλεῖ. π. χ. διὰ θαυμάτων καὶ σημείων, δι' ἀνθρώπων, διὰ μυρίων αἴφνης καὶ παρ' ἐλπίδα συμβάντων κτλ.

§ 227. *Τὸ καθολικὸν τῆς Κλήσεως.*

Ἡ κλῆσις ἐστὶν ἐνέργεια τῆς χάριτος καθολικὴ ἐπεκτεινομένη ἐπὶ πάντας τοὺς ἀνθρώπους ἀνεξαιρέτως. Τοῦτο δὲ καταφαίνεται α) ἐκ τούτου, ὅτι ὁ Θεὸς πάντας ἀνθρώπους θέλει σωθῆναι (1 Τιμ. 2, 4), καὶ παρ' αὐτῷ οὐκ ἔστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων (Ρωμ. 10, 12)· ἄνευ δὲ κλήσεως οὐδεὶς ἀπολαύει τῶν ἔργων τοῦ Χριστοῦ, ἄρα οὐδὲ τῆς σωτηρίας. β) Ἐκ τούτου, ὅτι ὁ Σωτὴρ, κατὰ τὴν ῥητὴν μαρτυρίαν τῆς Γραφῆς, ἦλθε σώσων πάντα τὸν Κόσμον (Ἰω. 3, 16), *ἀπέθανεν ὑπὲρ πάντων*

(2 Κορ. 5, 15), καὶ τὸ ἀνεκτίμητον ἔργον αὐτοῦ ἱκανὸν πρὸς ἀπολύτρωσιν πάντων. Τέλος γ) ἐκ τούτου ὅτι τὰ μέσα τῆς καλούσης χάριτος ἐδόθησαν παντί. Ὅτι δὲ οὐχὶ πάντες ὡμολόγησαν καὶ ὁμολογοῦσι τὴν ἁγιωτάτην πίστιν τοῦ Χριστοῦ αἴτιον τούτου οὐχὶ τὸ ἀνίκανον τῆς καλούσης χάριτος, ἀλλ' ὅτι κατὰ τοὺς λόγους τοῦ Ἰησοῦ Χριστοῦ, *πολλοὶ μὲν εἰσὶ κλητοὶ ὀλίγοι δὲ ἐκλεκτοὶ* (Ματθ. 22, 14), καὶ ὅτι «οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ (Ρωμ. 10, 16)· εἰσὶ δὲ ἄνθρωποι καὶ ὁλόκληρα ἔθνη, ἅτινα τοῖς ὠσὶ βαρέως ἀκούουσι καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι (Ματθ. 13, 15. Ἡσ. 6, 9. 10).

§ 228. *Ἐπιστροφή.*

Ὅταν ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡ καλοῦσα εἰς σωτηρίαν τὸν ἄνθρωπον, εὕρῃ αὐτὸν ὑπήκοον καὶ πρόθυμον, τότε ἐνεργεῖ ἐν αὐτῷ τὴν *ἐπιστροφὴν*. Αὕτη δὲ συνίσταται ἐν τούτῳ, ὅτι ἡ χάρις τὸν συνειδότα τὴν ἑαυτοῦ ἁμαρτίαν καὶ ἀνάγκην τῆς σωτηρίας ἐπανάγει ἐκ τῆς προτέρας ὁδοῦ τῆς ἀπωλείας εἰς τὴν τῆς σωτηρίας, γεννῶσα ἐν αὐτῷ τὴν πίστιν εἰς τὸν μόνον Μεσίτην ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ κινοῦσα εἰς μετάνοιαν καὶ τὴν ἐν Θεῷ συντριβὴν καὶ θλῖψιν καὶ τελείαν μεταβολὴν τῶν φρονημάτων αἰσθημάτων καὶ πράξεων. Ὅτι δὲ ἡ ἐπιστροφὴ ἔργον τῆς χάριτός ἐστι, τούτῳ μαρτυρεῖ οὐ μόνον ἡ περὶ ἀδυναμίας τοῦ ἀνθρώπου ἰδέα, καθ' ἣν τὸ μὲν θέλειν παράκειται αὐτῷ, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκει (Ρωμ. 7, 18), ἀλλὰ καὶ αἱ σαφεῖς μαρτυρίαι τῆς Γραφῆς. Καὶ δὴ, ὁ μὲν Προφήτης Ἱερεμίας εὔχεται ἐκ μέρους τῶν Ἰσραηλιτῶν λέγων· ἐπίστρεψόν με καὶ ἐπιστρέψω (Ἱερεμ. 31, 18), ὁ δὲ Ἀπόστολος Παῦλος τὴν εἰς Χριστὸν Πίστιν ἀποκαλεῖ καρπὸν τοῦ Πνεύματος (Γαλ. 5, 52), καὶ

λέγει ἀλλαχοῦ, ὅτι οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ (1 Κορ. 12, 3), ἅμα δὲ καὶ ὅτι ὁ Θεὸς δίδωσι μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας (2 Τιμ. 2, 25).

§ 229. *Ἀνακαίνωσις ἢ ἀναγέννησις.*

Μετὰ τὴν κλῆσιν καὶ ἐπιστροφὴν τοῦ ἀνθρώπου ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖ ἐν τῷ ἀνθρώπῳ, ὅ,τι ἐν τῇ Γραφῇ καλεῖται ἀνακαίνωσις, ἀναγέννησις, ἀνάστασις ἐκ νεκρῶν, καὶ ὁ κληθεὶς καὶ ἐπιστραφεὶς ἄνθρωπος γίνεται καινὸς, ἀναγεννᾶται, ἀνίσταται, εἰς ἀντίθεσιν τῷ *παλαιῷ* καὶ *νεκρῷ*, οἷος ὁ φυσικὸς ἄνθρωπος ὁ ἐκτὸς τῆς χάριτος. Περὶ τῆς ἐνεργείας δὲ ταύτης τῆς χάριτος σαφῶς μαρτυρεῖ ἡ Γραφή· « Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν, λέγει αὐτὸς ὁ Σωτὴρ (Ἰω: 3, 7). « Εἴτις ἐν Χριστῷ, λέγει ὁ Ἀπόστολος, νέα κτίσις. » (2 Κορ. 5, 17) « Κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν » (Τιτ. 3, 5. 6. Ἐφ. 5, 14. Ῥωμ. 6, 4). Ἡ ἀνακαίνωσις ὅμως αὕτη οὐκ ἐν τούτῳ ὑφίσταται, ὅτι δημιουργεῖται ὅλως νέα καὶ ἄλλη οὐσία καὶ ἄλλο πρόσωπον, ἀλλ' ὅτι τῷ αὐτῷ ἀνθρώπῳ δίδοται ὁ πυρὴν καὶ τὸ σπέρμα νέας ζωῆς ὑπὸ τοῦ νέου γενάρχου Ἰησοῦ Χριστοῦ, καὶ ἐπανέρχεται ὁ ἄνθρωπος εἰς τὴν πρωταρχικὴν ἀθωότητα, καὶ ἀνίσταται ἡ εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ. Τοῦτο δὲ μαρτυρεῖ ὁ Ἀπόστολος εὐχόμενος τοῖς ἐφεσίοις « ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας (Ἐφ. 4, 22. 24). Ἀλλ' οὐχ ἧττον καὶ ἐν τῷ ἀναγεννηθέντι ὑπολείπονται ἔτι λείψανα τοῦ παλαιοῦ βίου, εἴτε τοῦ *παλαιοῦ ἀνθρώπου*, ὃν ὁ αὐτὸς Ἀπόστολος παραινεῖ ἀποθέσθαι καὶ ἐκδύσασσαι (Κολ. 3,9), καὶ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις (Γαλ. 5, 24).

§ 230. *Ἰδιότητες τοῦ ἀναγεννηθέντος ἀνθρώπου.*

Ὁ ἀνακαινισθεὶς καὶ ἀναγεννηθεὶς ὑπὸ τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος ἄνθρωπος λαμβάνει καὶ καινὰς, ἀλλοτρίας τῷ φυσικῷ ἀνθρώπῳ, ἰδιότητας. Ταῦτα δέ εἰσι δικαίωσις, ἁγιασμὸς, ἕνωσις μετὰ τοῦ Ἰησοῦ Χριστοῦ.

§ 231. *Δικαίωσις.*

Ἡ δικαίωσις συνίσταται ἐν τούτῳ, ὅτι διὰ τὴν ἀξιομισθίαν τοῦ Σωτῆρος Χριστοῦ τῇ Χάριτι τοῦ Ἁγίου Πνεύματος αἴρεται ἀπὸ τοῦ ἀνθρώπου οὐ μόνον ἡ εὐθύνη καὶ ἡ ποινὴ διὰ τὴν προπατορικὴν καὶ τὴν κατὰ προαίρεσιν ἁμαρτίαν, ἀλλὰ καὶ ἔργῳ ἐξαλείφονται καὶ ἐξαφανίζονται αὗται, καὶ ὁ ἄνθρωπος, ὁ ἐνδυσάμενος τὴν δικαίωσιν ἐν Χριστῷ Ἰησοῦ, καθίσταται ἀθῷος καὶ καθαρὸς καὶ δίκαιος ἐνώπιον τοῦ δικαιοκρίτου Θεοῦ. Πρὸς τὴν δικαίωσιν δὲ ταύτην καὶ ἔλαβεν ὁ Σωτὴρ μορφὴν δούλου, γενόμενος ὑπήκοος μέχρι θανάτου· διότι οὐ δι' ἑαυτὸν ἐξεπλήρωσε τὸν νόμον, ἔπαθε καὶ ἀπέθανεν, ἀλλ' ἵνα διὰ τῆς δικαιοσύνης αὐτοῦ δωρήσηται δικαίωσιν ἡμῖν τοῖς ἀναπολογήτοις ἐνώπιον τοῦ Θεοῦ. Διὸ καὶ ἡ Γραφὴ πολλαχοῦ καὶ διαῤῥήδην εὐαγγελίζεται τὴν χαρμόσυνον ταύτην ἀγγελίαν. Ἡ δικαίωσις δ' αὕτη προανηγγέλθη ἤδη ἐν τῇ Π. Δ. ὅς τι ἀγαθὸν, ὅπερ συμπαρακολουθήσει τῷ Μεσσίᾳ. « Ἐγὼ εἰμι, Ἐγὼ εἰμι, ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας, καὶ οὐ μὴ μνησθήσομαι » λέγει ὁ Θεὸς διὰ τοῦ Προφήτου Ἡσαΐου (43, 25). « Αὐτὸς ἐπιστρέψει καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς ἀδικίας ἡμῶν, καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης » λέγει ὁ Προφήτης Μιχαίας (7, 19). Ὁ δὲ προφήτης Δανιὴλ προανήγγειλεν, ὅτι ὁ Μεσσίας « ἐπισφραγίσει τὴν ἁμαρτίαν, καὶ ἀπαλείψει τὰς ἀδικίας, καὶ ἄξει δικαιοσύνην αἰώνιον » (9, 24). Ἐν δὲ τῇ Κ. Δ.

ἀποδίδοται τὸ τιμιώτατον τοῦτο δῶρον τῇ ἐνεργείᾳ τῆς χάριτος τοῦ Παναγίου Πνεύματος· « Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ Πνεῦμα » (Ῥωμ. 8, 1). « δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ « (Ῥωμ. 3, 24). « ἀλλ' ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν » (1 Κορ, 6, 11. καὶ Ἐφ. 1, 4. 5. 22—27. Τίτ. 3, 3—7. Ἑβρ. 9, 13. 14).

§ 232. *Οἱ καρποὶ τῆς Δικαιώσεως.*

Ὡς δῶρα τῆς δικαιώσεως λαμβάνει ὁ ἄνθρωπος παρὰ τῆς χάριτος τοῦ Θεοῦ· α) Εἰρήνην πρὸς τὸν Θεὸν καὶ ἐσωτερικὴν εἰρήνην τῆς Συνειδήσεως· ὁ φυσικὸς δὲ ἄνθρωπος ἐστὶν *ἐχθρὸς* τοῦ Θεοῦ (Ῥωμ. 5, 10) καὶ *τέκνον ὀργῆς* (Ἐφ. 2, 3). δικαιωθεὶς δὲ τῷ αἵματι τοῦ Χριστοῦ ἔχει εἰρήνην. « Δικαιωθέντες ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ » (Ῥωμ. 5, 1). « Ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ » (Ῥωμ. 5, 10). Πείθουσι δ' ἕκαστον εἰς τὴν ἐνέργειαν τῆς χάριτος ταύτην ἥτε ἐσωτερικὴ γαλήνη τῆς συνειδήσεως καὶ ἡ διηνεκὴς ἐκείνη *χαρὰ ἐν Πνεύματι Ἁγίῳ* (Ῥωμ. 14, 17), ἧς ἀπολαύει ὁ ἀληθὴς Χριστιανός.

β) Υἱοθεσίαν παρὰ τῷ Θεῷ Πατρί, καθ' ἣν ὁ ἄνθρωπος ἔχει παῤῥησίαν καὶ ὑϊκὴν ἐλπίδα· καὶ ὁ μὲν φυσικὸς ἄνθρωπος, δοῦλος παρήκοος ὤν, οὐδεμίαν χάριν ἔχει παρὰ τῷ Θεῷ, ἡ δὲ δικαίωσις ἐν Χριστῷ Ἰησοῦ υἱὸν Θεοῦ ποιεῖ τὸν ἄνθρωπον, καὶ κληρονόμον « Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται οὗτοι εἰσὶν υἱοὶ Θεοῦ· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ Πατήρ. αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν

τέκνα Θεοῦ· εἰδὲ τέκνα καὶ κληρονόμοι» (Ῥωμ. 8, 14—17. ἴδε καὶ Γαλ. 4, 5—7. Ἰωαν. 1, 12. 13. καὶ 1 Ἰωαν. 3, 1. 2, 9. 5, 1. 2).

γ) Ἀπαλλαγὴν ἀπὸ τῆς ποινῆς, ἣ ὑπόκειται ὁ φυσικὸς ἄνθρωπος, ὁ μὴ δικαιωθείς, τουτέστιν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ καὶ τῆς κατάρας τοῦ νόμου. Διότι κατὰ τὸν Ἀπόστολον, «Χριστὸς ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα» (Γαλ. 3, 13). « δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα δι' αὐτοῦ, ἀπὸ τῆς ὀργῆς » (Ῥωμ. 5, 9). Ἐλευθερίαν ἀπὸ τῆς ἐξουσίας τοῦ διαβόλου· διότι ὁ Ἀπόστολος Παῦλος λέγει « ὁ Θεὸς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν Βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ (Κολ. 1, 13)· ἐλευθερίαν ἀπὸ τοῦ θανάτου· διότι τῷ θανάτῳ αὐτοῦ ὁ Χριστὸς ἀπήλλαξε τούτους « ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας » (Ἑβρ. 2, 15) καὶ ὁ θάνατος τῷ Χριστιανῷ οὐχὶ ὁδὸς εἰς ἀπώλειαν, ἀλλ' εἰς νέαν αἰώνιον μακαριωτέραν ζωὴν « Εἰ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν, » (Ῥωμ. 8, 11).

§ 233. *Ἁγιασμός.*

Δικαιώσασα τὸν ἄνθρωπον ἡ χάρις τοῦ Θεοῦ τῇ ἀξιομισθίᾳ τοῦ Ἰησοῦ Χριστοῦ, *ἁγιάζει* ἅμα αὐτόν. Τουτέστι διὰ τοῦ ἁγιασμοῦ ὁ ἀναγεννηθεὶς ἄνθρωπος ἐξαιρεῖται ἐκ τῶν ἀπηλλοτριωμένων ἀπὸ τῆς ἐν Θεῷ ζωῆς, καὶ καθίσταται εὐάρεστος αὐτῷ δι' ἔργων ἀγαθῶν, λαμβάνων τὸν δύναμιν εἰς ἐκτέλεσιν τούτων.

Τὴν δύναμιν δὲ ταύτην τῆς χάριτος ἐπικαλεῖται παρὰ τῷ Πατρὶ ὁ Σωτὴρ τοῖς πιστεύουσιν εἰς αὐτόν. «Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου... ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ »

(Ιωαν. 17, 17. 19) Διὰ δὲ τοῦτο καὶ ἐν τῇ Γραφῇ οἱ πιστεύοντες εἰς Ἰησοῦν Χριστὸν πολλάκις καλοῦνται *ἡγιασμένοι* καὶ *ἅγιοι* (1 Κορ. 1, 1. 2 Κορ 1, 2), καὶ ὁ Ἀπόστολος Παῦλος ὀνομάζει αὐτοὺς *Ποίημα* Θεοῦ *κτισθέντας* ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν» (Ἐφ. 2, 10), καὶ εὔχεται τοῖς Θεσσαλονικεῦσιν «αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν τηρηθείη» (1 Θεσσαλ. 5, 22. 23). Ἐν τούτοις ἀναμφίβολον, ὅτι καὶ μετὰ τὸν ἁγιασμὸν τὸ κέντρον τῆς ἁμαρτίας, ἤτοι τὸ δυνατὸν καὶ ἡ ῥοπὴ εἰς τὴν ἁμαρτίαν, ὡς συνέπειαι τοῦ προπατορικοῦ ἁμαρτήματος εἰσὶ καὶ ἐν τῷ ἀναγεννηθέντι ἀνθρώπῳ, καί περ ἐξησθενημένα, καὶ οὐκ ἄλλως ἢ κατὰ μικρὸν καὶ μετὰ μεγάλων ἀγώνων καταπαλαίεται καὶ ἐξαφανίζεται τὸ ἐν ἡμῖν κακόν. Τοῦτο δὲ μαρτυρεῖ ὁ Ἀπόστολος ἐν τῷ ἰδίῳ παραδείγματι, ὅστις καὶ αὐτὸς ἔτι συνῃσθάνετο ζῶν ἐν αὐτῷ τὸ κακὸν (Ῥωμ. 7, 14—25), διὸ καὶ ἀναγκαῖον ἔκρινεν ἑαυτῷ τὴν ἄσκησιν, «ὅπως ἀπρόσκοπον συνείδησιν ἔχῃ πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους» (Πράξ. 24, 16), καὶ *μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένηται* (1 Κορ 9, 26).

§ 234. *Ἕνωσις μετὰ τοῦ Ἰησοῦ Χριστοῦ.*

Τὸ ἴδιον ὅμως καὶ ὕψιστον πλεονέκτημα τοῦ ἀναγεννηθέντος ἀνθρώπου, ὅτι ἑνοῦται στενώτατα μυστικῷ συνδέσμῳ μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ ζῇ οὐκ ἔτι ἰδίᾳ ζωῇ ἀλλὰ τῇ τοῦ Χριστοῦ. Τοῦτο δὲ διδάσκει αὐτὸς ὁ Σωτὴρ καλῶν ἑαυτὸν *ἄμπελον* τοὺς δὲ πιστεύοντας εἰς αὐτὸν *κλήματα*, καὶ λέγων «καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε . . . ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν

πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν » (Ἰωαν. 15, 4. 5). Ὁ δὲ Ἀπόστολος Παῦλος ὁμοίως καλεῖ τοὺς ἐθνικοὺς *ἀγριελαίους*, οἵτινες ἐνεκεντρίσθησαν εἰς τὴν ἀγαθὴν ῥίζαν, τὸν Ἰησοῦν Χριστὸν καὶ κοινωνοὶ ἐγένοντο τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας· ἐν ἄλλοις δὲ χωρίοις ὁ Ἀπόστολος τοὺς ἀναγεννηθέντας ἀποκαλεῖ *μέλη τοῦ ἑνὸς σώματος*, ὅς ἐστιν Ἰησοῦς Χριστὸς (Κολ. 1, 18. Ἐφ. 4, 15. 16), καὶ διδάσκει ὅτι οἱ πιστεύοντες ἐνδύονται Χριστὸν (Γαλ. 3, 27), καὶ ὅτι ὁ Σωτὴρ ζῇ ἐν αὐτοῖς, ἔντε ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν αὐτῶν, διὰ τῆς ζωτικῆς δυνάμεως αὐτοῦ (Ἐφ. 3, 16. 17. 2 Κορ. 13, 5. 1 Κορ. 6, 15. 17), ἀλλὰ βεβαίως τοῦτο, μὴ αἱρομένης τῆς ἐλευθερίας τοῦ ἀνθρώπου (Γαλ. 4, 19. 20. Φιλιπ. 3, 8. 9). Ἐπειδὴ δὲ ὁ Ἰησοῦς Χριστὸς Θεὸς ἐν σαρκὶ, διὰ τοῦτο κοινωνοῦντες τῆς ζωῆς αὐτοῦ οἱ ἀναγεννηθέντες γίνονται ἅμα, κατὰ τὸν Ἀπόστολον Πέτρον, *θείας φύσεως κοινωνοὶ* (2 Πετρ. 1, 4), καὶ καταντῶσιν εἰς στενωτέραν ἕνωσιν μετὰ τοῦ τρισυποστάτου Θεοῦ, ὡς ηὔχετο περὶ τούτου ὁ Χριστός « ἵνα πάντες ἕν ὦσιν ἐν ἡμῖν » (Ἰαν 17, 21).

§ 235. *Ἡ χάρις ἡ διατηροῦσα καὶ αὔξουσα τὴν πνευματικὴν ζωήν.*

Ἀναγεννήσασα τὸν ἄνθρωπον ἡ χάρις διατηρεῖ ἅμα καὶ αὔξει τὴν νέαν ταύτην πνευματικὴν ζωήν. Πρὸς τοῦτο δὲ δωρεῖται ἡ θεία δύναμις τὰ πρὸς ἐπίγνωσιν καὶ εὐσέβειαν (2 Πετρ. 1—3). Καὶ δή

α) Φωτίζει τὸν νοῦν τῇ ἐπιγνώσει τῶν Μυστηρίων τοῦ Θεοῦ τῶν ἀποκεκαλυμμένων τοῖς ἀνθρώποις ἐν τῇ Ἀποκαλύψει, ἤτοι τῷ λόγῳ τοῦ Θεοῦ. Τοῦτο δ' εὔχεται ὁ Ἀπόστολος τοῖς Ἐφεσίοις, «ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς

διανοίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ὑμᾶς τοὺς πιστεύοντας(I 17. 20).

β) Στηρίζει τὴν θέλησιν ἐν τῇ ἀρετῇ καὶ τῇ χριστιανικῇ ἀγάπῃ «δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι δια τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς Πίστεως ἐν ταῖς καρδίαις ὑμῶν· ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι (Ἐφ. 3, 16, 17).

γ) Πληροῖ τὴν καρδίαν ἐλπίδος καὶ παρηγορεῖ ἔν τε ταῖς θλίψεσι καὶ πειρασμοῖς, καὶ ἐν ταῖς στερήσεσι καὶ δεινοῖς «ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρῶσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος Ἁγίου (Ρωμ. 15, 13).

δ) Ἐμπνέει τῷ νοὶ ἀγαθὰς ἐννοίας καὶ πληροῖ τὴν καρδίαν ἀγαθῶν αἰσθημάτων καὶ ἐπιθυμιῶν. «Τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει, ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις (Ρωμ. 8, 26). Καὶ ἐν τοῖς σπουδαίοις ἔργοις τῆς διακονίας τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ οὐχ ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ (2 Κορ. 3, 5).

ε) Συνεργεῖ εἰς κατανίκησιν τῶν ἐμποδῶν τῇ ἀρετῇ καὶ εἰς ἐκτέλεσιν παντὸς ἐν γένει τοῦ ἀγαθοῦ. «Χάριτι Θεοῦ εἰμι· ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ ἀλλ' ἡ χάρις τοῦ Θεοῦ σύν ἐμοὶ (Κορ. 15, 10). Καρπὸς δὲ τοῦ Πνεύματός ἐστι ἀγάπη, χαρὰ εἰρήνη, μακροθυμία, πίστις, πραότης, ἐγκράτεια(Γαλ. 5, 22).

ζ) Κινεῖ εἰς μετάνοιαν, ἐγείρει ἐκ τῆς πνευματικῆς πτώσεως, καὶ ἰᾶται τά τε ψυχικὰ νοσήματα καὶ τὰς σωματικὰς

ἀσθενείας. Διότι ὁ Θεὸς δίδωσι τῷ ἀνθρώπῳ *μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας*, ὡς λέγει ὁ ἀπόστολος (2 Τιμοθ. 2, 25). Καὶ ὁ Ἰησοῦς Χριστὸς ἐδωρήσατο τοῖς Ἀποστόλοις Πνεῦμα Ἅγιον εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν (Ἰωάν. 22, 23)· καὶ ὁ Ἀπόστολος Ἰάκωβος μαρτυρεῖ ὅτι *ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος κἂν ἁμαρτίας ᾖ πεποιηκὼς ἀφεθήσεται αὐτῷ* (Ἰακ. 5, 14—16).

§ 236. *Ἡ χάρις ἡ τελειοῦσα τὴν Πνευματικὴν ζωήν.*

Τέλος ἡ χάρις τοῦ Θεοῦ, αὔξουσα βαθμηδὸν τὴν πνευματικὴν ζωὴν τοῦ ἀνθρώπου, καὶ ἄγουσα ἀπὸ δυνάμεως εἰς δύναμιν καὶ ἀπὸ δόξης εἰς δόξαν (2 Κορ. 3, 18), ἀνάγειν αὐτὸν μέχρι τῆς ὑψίστης τελειότητος, οἵας ἡ ἡμετέρα φύσις δεκτική. Ἡ τελειότης ὅμως αὕτη οὐκ ἐφικτὴ ἐν τῷ νῦν βίῳ· διότι καὶ αὐτὸς ὁ Ἀπόστολος λέγει περὶ ἑαυτοῦ «οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι· διώκω δὲ εἰ καὶ καταλάβω (Φιλιπ. 3, 12. 13)· ἀλλ' ἔστι δῶρον τῷ ἀληθεῖ Χριστιανῷ ἐν τῇ μελλούσῃ ζωῇ, ἐν τῇ Βασιλείᾳ τῆς δόξης.

§ 337. *Τὰ γνωρίσματα τῆς παρουσίας καὶ ἐνεργείας τῆς χάριτος.*

Τὰ γνωρίσματα τις παρουσίας καὶ ἐνεργείας τῆς χάριτος ἐν τῇ καρδίᾳ τοῦ χριστιανοῦ εἰσιν ἢ *ἐσωτερικὰ* ἢ *ἐξωτερικά*. Καὶ τὸ μὲν ἐσωτερικόν ἐστιν ἄμεσος συνείδησις καὶ συναίσθησις τῆς ἐπιπνοίας τοῦ Ἁγίου Πνεύματος. Οὕτως οἱ προφῆται λέγουσιν· *ἐγενόμην ἐν Πνεύματι, ἐγένετο ἐπ' ἐμοὶ χεὶρ Κυρίου*· ὁ δὲ Ἀπόστολος Παῦλος λέγει «αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ (Ρωμ. 8,

16). Καὶ ὁ Ἀπόστολος Ἰωάννης λέγει «ὁ πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ (1 Ἰωαν. 5, 10) Τὸ δ' ἐξωτερικὸν γνώρισμα, τὸ ἀναγκαῖον πρὸς ἀποφυγὴν αὐτα-πάτης ἐστὶ τὸ *περιπατεῖν κατὰ πνεῦμα* οὐχὶ δὲ κατὰ σάρκα, καὶ ἡ ὕπαρξις ἐν ἡμῖν πάντων τῶν καρπῶν τοῦ Πνεύ-ματος, ἅμα δὲ καὶ ἡ ἐν τῷ βίῳ ἀπόδειξις, ὅτι ὑπὸ τοῦ Πνεύμα-τος τοῦ Θεοῦ ἀγόμεθα· ἄρα τὸ μὲν ἡ ἀποφυγὴ τῶν ἔργων τῆς σαρκὸς, τὸ δὲ ἡ ὕπαρξις ἐν ἡμῖν *ἀγάπης, χαρᾶς, εἰρήνης, μακροθυμίας, ἀγαθωσύνης, εὐσπλαυγχνίας, πραότητος, ἐγκρατείας*, ἅμα δὲ καὶ πασῶν τῶν εὐαγγε-λικῶν ἀρετῶν (Γαλ. 5, 22). Ἐξωτερικὰ δὲ γνωρίσματα λέ-γονται καὶ τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος· εἰσὶ δὲ ἢ ὑπερφυῆ πρὸς διακονίαν τῇ Ἐκκλησίᾳ διδόμενα, ὡς τὸ τῆς προφητείας, τῆς θαυματουργίας, τῶν γλωσσῶν, ἢ συνήθη κατὰ τὴν ἀνάγκην ἑκάστου διδόμενα, ὧν ἑπτὰ ἀριθμεῖ ὁ Προ-φήτης Ἡσαΐας· *Πνεῦμα, σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου Θεοῦ* (Ἡσ. 11, 2 . 3).

§ 238. *Ὄργανα, δι' ὧν μεταδίδοται ἡ χάρις.*

Εἰς μετάδοσιν τῆς χάριτος, ἥτις ἀναγεννᾷ τὸν ἄνθρωπον αὔξει καὶ τηρεῖ τὴν πνευματικὴν αὐτοῦ ζωὴν, διέταξεν ὁ Θεὸς ἰδιαίτερα ὁρατὰ σημεῖα, ἤτοι ἱεροτελεστίας, καλουμένας *Μυστήρια*. Ταμεῖον δὲ τούτων ἐστὶν ἡ Ἐκκλησία, ἐκτελεσ-ταὶ δὲ οἱ διάκονοι τῆς Ἐκκλησίας, διὰ τοῦτο ἡ περὶ τούτων διδασκαλία ἐν τῇ περὶ τῆς Ἐκκλησίας ἔσται.

6) Περὶ τῶν μέσων τοῦ ἀνθρώπου εἰς οἰκείωσιν τῆς Απολυτρώσεως.

§ 239. *Τὸ ἀναγκαῖον ὅρων ἐκ τοῦ ἀνθρώπου εἰς σωτηρίαν, καὶ ἀπαρίθμησις αὐτῶν.*

Ἐπειδὴ ἡ χάρις σώζει μὲν δωρεὰν ἀλλὰ τοῦτο μὴ βιαζομέ-

νης μηδὲ ἀναγκαζομένης τῆς ἐλευθερίας τοῦ ἀνθρώπου, οὗτινος ἔργον οὐ μόνον τὸ οἰκειοῦσθαι τὴν χάριν ἀλλὰ καὶ συνεργεῖν εἰς τὴν περίσσειαν αὐτῆς, διὰ τοῦτο κατανοεῖ ἕκαστος τὴν ἀνάγκην ὅρων τινῶν ἐκ τοῦ ἀνθρώπου εἰς οἰκείωσιν τοῦ ἔργου τῆς ἀπολυτρώσεως· ταῦτα δ' εἰσίν. α) Πίστις. β) Βίος σύμφωνας τῇ πίστει, ἤτοι ἔργα ἀγαθά.

1, Περὶ Πίστεως.

§ 240. *Ἡ περὶ Πίστεως ἔννοια*

Ὅπως ἔχῃ τις ἔννοιαν καθαρὰν περὶ Πίστεως, ὡς ὅρου πρὸς οἰκείωσιν τῆς χάριτος καὶ σωτηρίας, ὀφείλει γινώσκειν α) τὸ περιεχόμενον αὐτῆς, β) τὴν βάσιν ἐφ' ἧς στηρίζεται, γ) τὸ κινοῦν αἴτιον, δ) τὸ ὄργανον τῆς ψυχῆς δι' οὗ δέχεται ταύτην.

α) Τὸ περιεχόμενον τῆς χριστιανικῆς Πίστεως ὁρίζει ὁ Ἀπόστολος Παῦλος καλῶν αὐτὴν «ἐλπιζομένων ὑπόστασιν πραγμάτων ἔλεγχον οὐ βλεπομένων» (Ἑβρ. 11, 1)· τουτέστι περιεχόμενον τῆς Πίστεως εἰσὶν ἀλήθειαι, ὑπερφυσικαί, ὑπερβαίνουσαι τὰ ὅρια τοῦ ἀνθρωπίνου νοὸς, δι' οὗ καὶ διακρίνεται ἡ πίστις τῆς γνώσεως. Μερικώτερον δὲ, περιεχόμενον τῆς Πίστεως ἐστὶ πᾶν ὅ,τι ἀπαρτίζει τὴν χριστιανικὴν θρησκείαν, καὶ ἔτι μερικώτερον ἡ ἀλήθεια, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ μόνος Σωτὴρ ἡμῶν, καὶ ὅτι τὰ χορηγηθέντα παρ' αὐτοῦ, ἀναγκαῖα καὶ ἱκανὰ πρὸς σωτηρίαν ἡμῶν (Ἰωαν. 20, 31. Ρωμ. 3, 25. 26).

β) Βάσις, ἐφ' ἧς ἡ Χριστιανικὴ Πίστις στηρίζεται ἐστὶν ἡ *μαρτυρία τοῦ Θεοῦ* ἡ ἐν τῇ *θείᾳ Ἀποκαλύψει*. Διὰ τούτου δὲ διακρίνεται τῆς ἁπλῆς ἀνθρωπίνης πίστεως, εἴτε τῆς ἱστορικῆς, στηριζομένης ἐπὶ τῆς πείρας καὶ τῆς μαρτυρίας ἀνθρώ-

πων, διακρίνεται δ' ἅμα καὶ τῆς γνώσεως, ἥτις πείρας ἔργον καὶ νοὸς ἀνθρωπίνου.

γ) Τὸ κινοῦν αἴτιον, τὸ διεγεῖρον ἐν ἡμῖν τὴν Πίστιν, ἐστὶν ἡ χάρις τοῦ Ἁγίου Πνεύματος· διὰ τοῦτο καὶ ἐν τῇ Ἁγ. Γραφῇ καλεῖται δῶρον ἡ Πίστις· διὸ ὁ Ἀπόστολος λέγει «ᾧ μὲν γὰρ δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ Πίστις ἐν τῷ αὐτῷ Πνεύματι (1 Κορ. 12, 9). καὶ «ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ» (Ῥωμ. 10, 17). «τῇ χάριτι ἐστὲ σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν Θεοῦ τὸ δῶρον (Ἐφ. 2, 8)· Διὰ τούτου δὲ διακρίνεται ἡ σωτήριος Πίστις τῆς ἁπλῆς πίστεως, εἴτε πεποιθήσεως τῆς ἐκ τοῦ ὀρθοῦ λόγου.

δ) Τὸ κύριονὄργανον, δι' οὗ οἰκειοῦται τὴν πίστιν ἡ ψυχὴ, ἐστὶν ἡ καρδία· *καρδία γὰρ πιστεύεται εἰς δικαιοσύνην* λέγει ὁ Ἀπόστολος (Ῥωμ. 10, 10). Ἀλλ' ἐνοικοῦσα ἐν τῇ καρδίᾳ ἅπτεται ἅμα καὶ τῶν ἑτέρων δυνάμεων· καὶ δὴ φωτίζει τὸν νοῦν καὶ κινεῖ τὴν θέλησιν· διό ἐστι ζῶσα φωτολαμπὴς καὶ ἐνεργός. διὰ τούτου δὲ διακρίνεται καὶ τῆς γνώσεως καὶ τῆς ἁπλῆς πεποιθήσεως, τὰ ἰδίως τῷ νοῒ μόνον ὑπάρχοντα, καίπερ πολλάκις ἐνεργοῦντα ἐπὶ τῆς καρδίας καὶ τῆς θελήσεως.

Οὕτω λοιπὸν ἡ πλήρης καὶ ἀκριβὴς περὶ τῆς σωτηρίου Πίστεως ἔννοια ἐστὶν ἡ ἀκόλουθος· «ὅτι αὕτη ἐστὶν ἡ ὑπὸ τῆς χάριτος τοῦ Ἁγ. Πν. ἐνεργουμένη καὶ ἐπὶ τῆς ἀδιστάκτου μαρτυρίας τῆς θείας Ἀποκαλύψεως στηριζομένη, ζῶσα καὶ ἐνεργὸς πεποίθησις καὶ συμφωνία πασῶν τῶν δυνάμεων τῆς ψυχῆς ὅτι ἀληθὲς πᾶν τὸ περιεχόμενον ἐν τῇ ἁγιωτάτῃ Χριστιανικῇ Θρησκείᾳ, καὶ ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν ὁ μόνος Σωτὴρ ἡμῶν, καὶ ὅτι τὰ παρ' Αὐτοῦ διδόμενα ὅλως ἀναγκαῖα καὶ ἱκανὰ εἰς δικαίωσιν καὶ σωτηρίαν ἡμῶν.»

§. 241. *Τὸ ἀναγκαῖον αὐτῆς.*

Καίτοι δὲ κατὰ τὴν ἀρχὴν αὐτῆς ἡ *Πίστις* δῶρον τῆς χά-

ριτος, ἀλλ' ὡς ὑπακοὴ καὶ ἐλευθέρα παραδοχὴ τοῦ δώρου τούτου ἔργον ἅμα ἐστὶ τοῦ ἀνθρώπου, καὶ διὰ τοῦτο καὶ ἀπαραίτητον χρέος ἡμῶν πρὸς τὴν ἰδίαν σωτηρίαν. Τὸ δὲ ἀναγκαῖον αὐτῆς ἀκαταφαίνεται ἐκ τούτου ὅτι ἡ ἁγιωτάτη θρησκεία τοῦ Χριστοῦ ἡ μόνη σωτήριος, περιέχει ἐν ἑαυτῇ τοιαύτας ἀληθείας, αἵτινες ἀνέφικτοι τῇ ἡμετέρα γνώσει διὰ τῶν συνήθων τρόπων τῆς πείρας τοῦ νοὸς, καὶ μόνον ἐφικταὶ τῇ πίστει. Ταῦτα δὲ εἰσὶ τὰ Μυστήρια τῆς Ἁγίας Τριάδος, τῆς ἐνσαρκώσεως, τῆς ἀναγεννήσεως καὶ τῶν λοιπῶν ἐνεργειῶν τῆς χάριτος. Διὰ τοῦτο καὶ ἐν τῇ Ἁγ. Γρ. ὡς ἡ χάρις πρώτη καὶ ἀναγκαία ἀρχὴ τοῦ πνευματικοῦ ἡμῶν βίου, παρὰ τοῦ Θεοῦ διδομένη, οὕτω καὶ ἡ Πίστις ὡς δευτέρα καὶ ἀναγκαία ἀρχὴ τοῦ ἀνθρώπου παρίσταται. Διὰ τοῦτο καὶ ἡ Χριστιανικὴ Θρησκεία ἐν γένει καλεῖται *Πίστις* (Πράξ. 6, 7), ἡ ὑπακοὴ αὐτῇ, *ὑπακοὴ τῇ πίστει* (Ῥωμ. 1, 5), καὶ οἱ ὀπαδοὶ *πιστοὶ* καὶ *πιστεύοντες* (1 Τιμ. 4, 10). Σωτηρίαν δ' ἐπαγγέλλεται μόνοις τοῖς πιστεύουσιν· « ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν » (Ἰωαν. 3, 36). « ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται » (1 Μαρκ. 16, 16). Οὕτω καὶ ὁ Ἀπόστολος Παῦλος τὴν δικαίωσιν ἀποδίδωσι τῇ Πίστει μόνῃ « ὁ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ δικαιοσύνη Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας· καὶ τῷ πιστεύοντι ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην » (Ῥωμ. 1, 17. 3, 22. 4, 5) καὶ τὴν ἀληθῆ καὶ εὐάρεστον τῷ Θεῷ ἀρετὴν ἀποδίδωσιν ὡσαύτως τῇ Πίστει. « ἄνευ πίστεως ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ » (Ἑβρ. 11, 6). « Πᾶν δ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστὶν » (Ῥωμ. 14, 23), καὶ καθαρῶς διδάσκει, ὅτι ἡμεῖς διὰ τῆς πίστεως διατελοῦμεν ἐν τῇ ῥίζῃ τῆς χάριτος, ἐν Χριστῷ Ἰησοῦ, τῇ δὲ ἀπιστίᾳ ἐκκοπτόμεθα Αὐτοῦ. Τῇ *ἀπιστίᾳ ἐξεκλάσθησαν* (οἱ Ἰουδαῖοι), *σὺ δὲ τῇ πί-*

στει ἑστηκας (Ρωμ. 11, 20)· ὥστε τὸ μέτρον τῆς κοινωνίας ἡμῶν ἐν τῷ βίῳ τῆς χάριτος τοῦ Χριστοῦ, ἐστὶ τὸ *μέτρον τῆς πίστεως* (Ρωμ. 12, 3), ὡς λέγει καὶ ὁ ἁγ. Ἀμβρόσιος « ἡ πίστις τοσοῦτον ἔχει, ὅσον πιστεύει.

§. 242. *Τὰ διάφορα εἴδη τῆς Πίστεως.*

Πολλαχῶς θεωρουμένη ἡ πίστις πολλαχῶς καὶ διαιρεῖται.

α) Ἐπειδὴ αὕτη ἐστὶν ἀκράδαντος πληροφορία τοῦ πνεύματος ἡμῶν περὶ τῆς θειότητος τῆς Χριστιανικῆς θρησκείας, τὸ περιεχόμενον δὲ ταύτης εἰσὶν ἡ δογματικαὶ ἢ πρακτικαὶ ἀλήθειαι, ἢ ἐπαγελίαι, διὰ τοῦτο καὶ αἱ ἀκόλουθοι διαιρέσεις λαμβάνουσι χώραν, αἱ ἀποτελοῦσαι τὴν μίαν ζῶσαν καὶ ἐνεργὸν Πίστιν· εἰσὶ δὲ πληροφορία ἐν ταῖς δογματικαῖς ἀληθείαις τῆς Χριστ. θρησκείας, ἤτοι πεποίθησις· ἡ *πιστότης* ἐν ταῖς πρακτικαῖς ἀληθείαις, ἤτοι παραδοχὴ τῶν εὐαγγελικῶν ἐντολῶν καὶ σταθερὰ τήρησις αὐτῶν, τουτέστιν ἡ Χριστιανικὴ *ἀγάπη*· βεβαία πεποίθησις ἐπὶ ταῖς ἐπαγγελίαις τοῦ Θεοῦ, τουτέστιν ἡ ἐλπίς. « Νυνὶ δὲ μένει, λέγει ὁ Ἀπόστολος, Πίστις ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα » (1 Κορ: 13, 13).

β) Κατὰ τὰς πιστεύοντας διακρίνεται καὶ ἡ Πίστις εἰς *μὴ κατ' ἐπίγνωσιν, καθ' ἣν* ἄνευ τινος διακρίσεως ὑπείκει τις τῇ φωτιζούσῃ δικαιούσῃ καὶ σωζούσῃ ἐνεργείᾳ τῆς χάριτος καὶ τοιαύτη ἡ Πίστις νηπίων· καὶ εἰς *κατ' ἐπίγνωσιν* (Ἑβρ. 11, 3), καὶ τοιαύτη ἡ Πίστις τῶν ἀνδρωθέντων ἐν αὐτῇ, ἥτις ἐν τοῖς κεφαλαιωδεστέροις δόγμασι τοῖς ἐν τῷ συμβόλῳ τῆς Πίστεως, καὶ ἐν ταῖς πρακτικαῖς ἀληθείαις ταῖς ἐν τῷ δεκαλόγῳ ἀναγκαία παντὶ τῷ πιστεύοντι. Καὶ αὕτη δὲ ἡ κατ' ἐπίγνωσιν Πίστις ἔχει διαφόρους βαθμοὺς δυνάμεως καὶ καθαρότητος κατὰ τὸ *μέτρον τῆς πίστεως* ἑκάστου (Ρωμ. 12 3. 6) καὶ κατὰ τὴν πρόοδον ἑκάστου ἀπὸ *πίστεως εἰς πίστιν* (Ρωμ. 1, 17).

§ 243. *Ἡ ἀξία τῆς Χριστ. Πίστεως.*

Ἡ τῆς Χριστ. Πίστεως ἀξία καταφαίνεται ἐκ τούτου, ὅτι αὕτη α) οὐκ ἔστι τυφλὴ, ἀλλὰ φωτολαμπὴς, διότι στηρίζεται ἐπὶ τῶν μαρτυριῶν τῆς θείας ἀποκαλύψεως καὶ τῆς Ἁγίας Ἐκκλησίας, αἵτινες πᾶσαι φέρουσι τὸν λαμπρὸν χαρακτῆρα τῆς ἀληθείας καὶ θειότητος. Περιέχει δ' ἐν ἑαυτῇ ἡ πίστις ἀκριβῆ καὶ σαφῆ ἔννοιαν τοῦ πράγματος, καὶ τοῦ σκοποῦ, εἰ καὶ πολλὰ ἀνέφικτα κατ' οὐσίαν, ὅπερ ἄφυκτον μὲν δὰ τὸ βάθος καὶ ὕψος τῶν ἀληθειῶν καὶ τὴν ἡμετέραν ἀδυναμίαν, εὐεργετικὸν ὅμως καὶ σωτήριον.

β) Οὐκ ἔστι Πίστις ἀκούσιος ἀνάγκῃ καὶ βίᾳ ἐπιβαλλομένη ἡμῖν, ἀλλ' ἐλευθέρα καὶ ἑκούσιος, ἀποδεικνύουσα τὴν σταθερὰν τῶν πιστευόντων πεποίθησιν ἐπὶ τῇ Ἀποκαλύψει μᾶλλον ἢ ἐπὶ τῷ ἰδίῳ νοὶ καὶ αἰσθήματι, διὸ καὶ πολλὴν ἀξίαν παρὰ τῷ Θεῷ ἔχει, ὡς καθ' ἑαυτὴν μεγάλη ἀρετὴ οὖσα.

γ) Οὐκ ἔστιν ἀσταθὴς καὶ εὐμετάβλητος, κατὰ τὰς περιστάσεις καὶ τὸ πνεῦμα τῶν χρόνων καὶ χωρῶν, ἀλλ' ἀκράδαντος καὶ ἄτρεπτος, διήκουσα διὰ πάντων τῶν αἰώνων καὶ *νικήσασα τὸν Κόσμον* (1 Ἰωαν. 5, 4).

δ) Οὐκ ἔστιν ἄκαρπος ἢ νεκρὰ, ἀλλὰ ζῶσα καρποφόρος καὶ σωτήριος παντὶ τῷ πιστεύοντι· διότι διὰ ταύτης καταλλάσσεται καὶ ἑνοῦται τῷ Θεῷ ὁ ἄνθρωπος καὶ ἐν αὐτῇ εὑρίσκουσιν ἀνάπαυσιν καὶ ζωὴν πᾶσαι αἱ δυνάμεις τοῦ πνεύματος ἡμῶν· καὶ ὁ μὲν νοῦς φῶς καὶ ἀλήθειαν, ἡ δὲ θέλησις τὸ ἀγαθὸν καὶ τὸ εἰς τοῦτο ἐλατήριον, ἡ καρδία γαλήνην καὶ μακαριότητα.

2) Περὶ τῶν ἀγαθῶν ἔργων.

§ 244. *Ὁρισμός.*

Ὑπὸ τὰ *ἀγαθὰ ἔργα* νοοῦνται αἱ ἐλεύθεραι πράξεις τοῦ ἀν-

θρώπου, αἱ κατὰ τὸν ἠθικὸν Νόμον πραττόμεναι καὶ ἐκ τῆς πρὸς τοῦτον ἀγάπης. Τὰ δὲ Χριστιανικὰ ἀγαθὰ ἔργα εἰσὶ πράξεις σύμφωνοι πρὸς τὸν Εὐαγγελικὸν νόμον, καὶ ἐκ τῆς ζώσης πίστεως εἰς Χριστὸν, καὶ τῆς ἐπιθυμίας τοῦ εὐαρεστεῖν Αὐτῷ.

§ 245. *Τὸ ἀναγκαῖον.*

Τὰ ἀγαθὰ ἔργα εἴτε βίος σύμμορφος τῇ εἰς Χριστὸν Πίστει εἰσὶ τοσοῦτῳ ἀναγκαῖα, ὅσῳ καὶ ἡ Πίστις. Διότι αὐτὸς ὁ Ἰησοῦς Χριστὸς διδάσκει, ὅτι μόνη ἡ πίστις οὐκ ἀρκεῖ εἰς σωτηρίαν ἄνευ τοῦ πρέποντος βίου· « οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς Οὐρανοῖς » (Ματθ. 7, 21). Ἐν ἑτέρῳ δὲ χωρίῳ καὶ τίθησιν ἀπαράβατον ὅρον παντὶ τῷ θέλοντι ἀκολουθῆσαι, τὴν αὐταπάρνησιν καὶ τὸν σταυρὸν, τουτέστιν αὐστηρὸν ἠθικὸν βίον. « Εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτωμοι » (Ματθ. 16, 24). Ὁ δὲ Ἀπόστολος Ἰωάννης λέγει· « ὁ λέγων, ἔγνωκα αὐτὸν (τὸν Θεὸν), καὶ τὰ, ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. Ὁ λέγων ἐν αὐτῷ (τῷ Χριστῷ) μένειν, ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν » (1 Ἰωαν 2, 4—6.) Ὁ δὲ Ἀπόστ. Παῦλος· « αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατῶμεν » (Ἐφ. 2, 10)· καὶ ἀλλαχοῦ ὅτι πρὸς τοῦτο καὶ ἐδόθη ἡ χάρις ἡμῖν « ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι » (Τιτ. 2, 11—14), ὅτι ἐνώπιον τοῦ βήματος τοῦ Χριστοῦ οὐ μόνον λόγον τῆς Πίστεως ἀλλὰ καὶ τῶν ἔργων δώσομεν, καὶ ὅτι ἐκ τούτων ἐξαρτᾶται ἡ μέλλουσα τύχη ἡμῶν (2 Κορ. 5, 10), καὶ ὅτι ἄνευ τούτων οὐ δυνάμεθα κληρονομεῖν τὴν Βασι-

λείαν τῶν Οὐρανῶν (1 Κορ. 6, 9). Ἰδίως δὲ καὶ μετὰ πολλῆς δυνάμεως παραινεῖ ἡμῖν ἔργα ἀγαθὰ ὁ ἀπόστολος Ἰάκωβος. « Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν ; σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστιν, καλῶς ποιεῖς, καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίσσουσι· ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. » (Ἰακ. 2, 14. 19. 29). Ὅτι δ' ἀφορᾷ τὰ χωρία τῆς Γραφῆς, ἐν οἷς κατὰ τὸ φαινόμενον ἀντίφασίς τις, οἷα, τὰ τοῦ Ἀποστόλου Παύλου « οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σὰρξ » (Γαλ. 2, 16), καὶ « λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου » (Ῥωμ. 3, 28)· παρητηρούμεν, ὅτι ἐν τῷ πρώτῳ χωρίῳ διδάσκει ὁ Ἀπόστολος ὅτι τὰ ἔργα μόνα ἄνευ τῆς χάριτος καὶ τῆς πίστεως οὐ δικαιοῦσι τὸν ἄνθρωπον· πρὸς δὲ τούτοις ἐνταῦθα ὁ λόγος περὶ τῆς δικαιώσεως τῆς διὰ τοῦ Βαπτίσματος, οὐχὶ δὲ περὶ τῆς δικαιώσεως τῆς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ τῆς κρίσεως· ἐν δὲ τῷ δευτέρῳ χωρίῳ ὁ λόγος περὶ τοῦ τελετουργικοῦ Νόμου οὐχὶ δὲ τοῦ ἠθικοῦ, ὡς τοῦτο δῆλον καὶ ἐκ τῆς συνεχείας τοῦ λόγου, καὶ ἐκ τῆς ἀντιπαραθέσεως πρὸς ἕτερα χωρία τοῦ αὐτοῦ Ἀποστόλου.

§ 246. *Τὸ δυνατόν.*

Δυνατὰ δὲ τὰ ἀγαθὰ ἔργα. Διότι α) ὁ Χριστιανὸς λαμβάνει τὴν τελεσιουργὸν χάριν τοῦ Θεοῦ, καὶ μετὰ ταύτης *πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν* (2 Πετρ. 1, 3)· β) ὁ Ἰησοῦς Χριστὸς ῥητῶς λέγει, ὅτι *ζυγὸς Αὐτοῦ χρηστὸς καὶ τὸ φορτίον ἐλαφρόν*, βοηθούσης τῆς θείας παρ' Αὐτοῦ δυνάμεως, ἅμα δὲ καὶ τοῦ παραδείγματος (Ματθ. 11, 30). Καὶ ὁ Ἀπόστολος Ἰωάννης μαρτυρεῖ, ὅτι *αἱ ἐντολαὶ τοῦ Θεοῦ βαρεῖαι οὐκ εἰσίν* (1 Ἰω. 5, 3). Τέλος γ) τοῦτο στηρίζει ἀριδήλως καὶ ἅπας ὁ τῶν ἁγίων τοῦ Θεοῦ χορός, ὧν ἐν τῷ βίῳ ἐπέλαμψαν αἱ Χριστιανικαὶ ἀρεταί.

§ 247. Ἀξία.

Ὅ,τι δὲ ἀφορᾷ τὴν ἀξίαν τῶν ἀγαθῶν ἔργων ἐν τῷ ἔργῳ τῆς ἡμετέρας δικαιώσεως καὶ σωτηρίας παρατηροῦμεν τὰ ἀκόλουθα.

α) Ἐπειδὴ, ἔνθεν μὲν ἡ δικαίωσις ἡμῶν ἐξαρτᾶται ἐκ τῆς χάριτος καὶ τῆς ἀξιομισθίας τοῦ Σωτῆρος Χριστοῦ, καὶ δίδοται ἡμῖν δωρεὰν διὰ τῆς πίστεως, καὶ ἄνευ ταύτης οὐ δίδοται· ἔνθεν δὲ ὁ Ἀπόστολος Παῦλος καλεῖ τὰ ἀγαθὰ ἔργα *καρποὺς τοῦ ἁγίου Πνεύματος* (Γαλ. 5, 22)· κατάδηλον ἄρα ὅτι ὁ Χριστιανὸς οὐ δύναται καυχᾶσθαι καὶ πεποιθέναι ἐπ' ἔργοις ἀγαθοῖς. « Τί ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες τί καυχᾶσαι, ὡς μὴ λαβών (1 Κορ. 4, 9); Διὸ καὶ οὐδεμίαν βάσιν ἔχει τὸ οὕτω καλούμενον (παρὰ καθολικοῖς;) *θησαυροφυλάκιον τοῦ περισεύματος τῶν Ἁγίων*· διότι οὐ μόνον οὐδὲν περίσσευμα κατορθωμάτων δυνατὸν ἐν γένει, ἀλλ' οὐδὲ προσήκουσα ἐκπλήρωσις τῶν καθηκούντων δυνατὴ καὶ ἱκανὴ, καὶ ἰσοβαρὴς πρὸς τὰ ἄῤῥητα ἀγαθὰ τά τε παρόντα καὶ τὰ μέλλοντα. Διὸ καὶ αὐτὸς ὁ Σωτὴρ λέγει. « ὅταν ποιήσητε πάντα τὰ διατεταχθέντα ὑμῖν, λέγετε, ὅτι δοῦλοι ἀχρεῖοι ἐσμέν· ὅτι ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν (Λουκ. 17, 10).

Ἐν τούτοις β) Τὰ ἀγαθὰ ἔργα ἔχουσιν ἀξίαν δι' αὐτὴν ταύτην τὴν χάριν καὶ τὴν ἀξιομισθίαν τοῦ Σωτῆρος Χριστοῦ, οὐ μόνον ὡς ἀπόδειξις τῆς πίστεως εὐγνωμοσύνης καὶ ὑπακοῆς τῷ Λυτρωτῇ, ἀλλὰ καὶ ὡς καρποὶ καὶ αὔξησις τοῦ ἐγχειρισθέντος ἡμῖν ταλάντου τῆς χάριτος διὰ τῆς ἐνεργείας ἡμῶν, διό καὶ καθίστανται εὐάρεστα ἔργα ἐνώπιον τοῦ Θεοῦ. Διὰ τοῦτο καὶ ὁ Ἰησοῦς Χριστὸς ἐπαγγέλλεται τῷ ἐναρέτῳ *μισθὸν πολὺν ἐν τοῖς Οὐρανοῖς* (Ματθ 5, 12), καὶ ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδώσει ἑκάστῳ κατὰ *τὴν πρᾶξιν αὐτοῦ* (Ματθ. 19, 27). Καὶ ὁ Ἀπόστολος Παῦλος λέγει ὁμοίως. « ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται

κατὰ τὸν ἴδιον κόπον (1 Κορ. 3, 8), μεγάλη δὲ καὶ ἡ ἐλπὶς αὐτοῦ ἡ περὶ ἀνταμοιβῆς τῶν ἰδίων ἔργων· « τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος » (2 Τιμοθ. 4, 7. 8).

Δ'. Διδασκαλία περὶ τῆς ἐνδελεχοῦς διαρκείας τοῦ Μυστηρίου τῆς Ἀπολυτρώσεως ἐν τῇ Βασιλείᾳ τῆς χάριτος τοῦ Θεοῦ, ἤτοι περὶ τῆς στρατευομένης Ἐκκλησίας,

§ 248. *Περιεχόμενον καὶ Διαίρεσις.*

Τελέσας τὸ ἔργον τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους ὁ Κύριος ἡμῶν καὶ εἰς ἐπίτευξιν δοὺς τὸ Πνεῦμα τὸ Ἅγιον, ἐκτελεῖ τὸ αὐτὸ ἀδιαλείπτως μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Πρὸς τοῦτο δὲ συνεστήσατο ἐπὶ τῆς γῆς τὴν Ἐκκλησίαν αὐτοῦ, εἴτε τὸ Βασίλειον τῆς χάριτος, ἔνθα ὡς ἐν θυσαυροφυλακίῳ, διατηρεῖ τοῖς πιστεύουσιν εἰς αὐτὸν πάντα τὰ πρὸς σωτηρίαν· Δύω δέ τινα εἰς τὴν τῆς Ἐκκλησίας ὀρθὴν ἔννοιαν ἀναγκαῖα 1, γενικά τινα περὶ αὐτῆς, καὶ 2, ἡ διδασκαλία περὶ τῶν ὀργάνων τῆς χάριτος τοῦ Θεοῦ, ἅτινα ἐνεχειρίσθησαν τῇ Ἐκκλ· ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τηροῦνται ἐν αὐτῇ, ἤτοι περὶ τῶν Μυστηρίων.

α) Γενικά τινα περὶ τῆς στρατευομένης Ἐκκλησίας.

§ 249. *Ἡ γενικὴ περὶ τῆς στρατευομένης Ἐκκλησίας ἔννοια.*

Ἡ λέξις Ἐκκλησία ποικίλην ἔχει ἐν τῇ Γραφῇ τὴν χρῆσιν Καὶ ὁτὲ μὲν σημαίνει ἐν γένει κοινωνίαν, εἴτε ἄθροισμα ἀνθρώπων παντοίων (ψαλ. 25, 5. Πραξ. 19, 32), ὁτὲ δὲ μερικώτερον κοινωνίαν, εἴτε ἄθροισμα θρησκευτικὸν, εἴτε ἔντινι πόλει (1 Κορ. 1, 2), εἴτε καὶ ἐν οἰκίᾳ τινί (Ρωμ. 16, 4,

1 Κορ. 16 19) ὡς καὶ ἄθροισμα ἀνθρώπων πρὸς προσευχὴν καὶ ἱεροτελεστίαν, (Πραξ. 14, 27. 1 Κορ. 14, 23) ὡς καὶ τὸν σύλλογον τῶν ποιμένων τῆς Ἐκκλησίας (Ματθ. 18, 17). Ἀλλ' ἰδίως ὑπὸ τὸ ὄνομα τῆς Ἐκκλησίας νοεῖται τὸ σύνολον πάντων τῶν πιστευόντων καὶ λατρευόντων τῷ ἀληθινῷ Θεῷ, τῶν ἀνὰ πᾶσαν τὴν γῆν. Ἐν τοιαύτῃ δὲ σημασίᾳ, λέγει ὁ Ἀπόστολος, ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς ... ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤτοι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος (Ἐφ. 5, 25. 27). Ἐν ταύτῃ δὲ τῇ σημασίᾳ ἡ Ἐκκλησία διαιρεῖται.

α) Εἰς τὴν τῆς *Παλαιᾶς Διαθήκης*, τὴν μέχρι Χριστοῦ ὑπάρξασαν καὶ στηριζομένην ἐπὶ τῆς πίστεως εἰς τὸν ἐρχόμενον λυτρωτήν. Αὕτη δὲ ὑποδιαιρεῖται εἰς τὴν τῶν Πατριαρχῶν τὴν μέχρι Μωϋσέως, χειραγωγουμένην ὑπὸ τῆς ἐξ Ἀποκαλύψεως Πίστεως, κατὰ παράδοσιν μεταβαινούσης ἀπὸ γενεᾶς εἰς γενεάν, καὶ εἰς Ἐκκλησίαν τὴν ὑπὸ Νόμον ἀπὸ Μωσέως μέχρι Χριστοῦ, ἥτις ἦγετο ὑπὸ τοῦ Νόμου, ἤτοι ὑπὸ τῆς Ἀποκαλύψεως τοῦ Θεοῦ τῆς ἐγγράφου.

β) Καὶ εἰς τὴν τῆς Κ. Διαθήκης τὴν λαβοῦσαν τὴν ἰδίαν ἀρχὴν ἐκ τοῦ Ἰησοῦ Χριστοῦ καὶ μέχρι συντελείας τοῦ αἰῶνος διαμενοῦσαν. Περὶ ταύτης δ' ἐνταῦθα ὁ λόγος.

§ 250. *Ἡ περὶ τῆς Ἐκκλησίας τῆς Κ. Δ. ἔννοια*

Ἡ τῆς Κ. Δ. Ἐκκλησία ἐστὶ θεοσύστατος κοινωνία ἀνθρώπων ἑνουμένων ἀλλήλοις τῇ ἑνότητι τῆς πίστεως εἰς Χριστὸν Ἰησοῦν, καὶ τῇ κοινωνίᾳ ἐν τοῖς μυστηρίοις, ὑπὸ τὴν ὁρατὴν διοίκησιν τῶν Ποιμένων καὶ τὴν ἀόρατον Αὐτοῦ τοῦ Χριστοῦ πρὸς αἰωνίαν σωτηρίαν.

§ 251. *Ὀνόματα αὐτῆς ἐν τῇ Ἁγίᾳ Γραφῇ.*

Ἐν τῇ Ἁγ. Γρ. ποικίλα τὰ τῆς Ἐκκλησίας ὀνόματα, ὡς ποικίλαι καὶ αἱ ἰδιότηταί αὐτῆς· καὶ δή α) *οἶκος Θεοῦ* (1 Τιμ. 3, 15), ὥστε ἰσοδυναμεῖ τῇ Οἰκογενείᾳ καὶ οὕτω ἐκφράζονται καλῶς ἡ πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους ἀμοιβαία σχέσις. β) *σῶμα Χριστοῦ* (Κολ. 1, 24. Ἐφ. 1, 22. 23. 1 Κορ. 12, 12. 27). Διὰ δὲ τούτου σημαίνεται ὁ στενὸς σύνδεσμος τῶν πιστευόντων μετὰ τοῦ Ἰησοῦ Χριστοῦ καὶ πρὸς ἀλλήλους. γ) *νύμφη Χριστοῦ* (Ἀποκαλ. 19, 7. Ἐφ. 5, 23) ἡ ὀνομασία δ' αὕτη δείκνυσι τὸ μέγεθος τῆς στοργῆς τοῦ Χριστοῦ πρὸς τοὺς πιστεύοντας· δ) *μήτηρ τῶν πιστευόντων* (Γαλ. 4, 26), διότι ἐν τοῖς κόλποις αὐτῆς περιλαμβάνονται πάντα τὰ μέσα τῆς χάριτος, δι' ὧν οἱ πιστοὶ καὶ γεννῶνται, καὶ ἀνατρέφονται, καὶ αὔξουσι, καὶ κληρονομοῦσι τὴν Οὐράνιον Βασιλείαν. Ὁ δὲ Ἰησοῦς Χριστὸς ἐν ταῖς παραβολαῖς ποικιλοτρόπως ἐξεικόνισε τὰς ἰδιότητας αὐτῆς ἀποκαλέσας *Ποίμνην* (Ἰωαν. 10), *γάμους* (Ματθ. 22) *ἀμπελῶνα* (Ματθ. 20) *ἀγρὸν*, *κόκκον σινάπεως κτλ.* (Ματθ. 13, Μάρ. 4) Ὀνομάζεται πρὸς τούτοις *Βασιλεία τοῦ Θεοῦ* (Ματθ. 4, 17) ἅμα δὲ καὶ τῆς *χάριτος*· διότι καὶ βάσιν ἔχει τὴν σωτήριον χάριν, εἴτε ἀγάπην τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Θεοῦ Υἱοῦ ἅμα δὲ καὶ κυβερνᾶται καὶ ζῇ τῇ χάριτι τοῦ Ἁγ. Πνεύματος, μεσιτεύσαντος ὑπὲρ τούτου Χριστοῦ. Ὀνομάζεται ἐπίσης *Ἐκκλησία στρατευομένη*, ὡς φέρουσα ἐνταῦθα τὸν σταυρὸν καὶ περιστοιχιζομένη ὑπὸ ἐχθρῶν, πρὸς οὓς πολεμεῖ ἡγουμένου Αὐτοῦ Ἰησοῦ Χριστοῦ.

§ 252. *Ἡ ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ ἀρχὴ Αὐτῆς.*

Ὅτι ἡ Ἐκκλ. τοῦ Χριστοῦ ἡ στρατευομένη νῦν ἐπὶ τῆς γῆς ἔλαβε τὴν ἀρχὴν ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ, δῆλον τοῦτο.

α) *Ἐκ τῶν λόγων καὶ ἔργων αὐτοῦ τούτου, ὅστις λέγει οἰκοδομήσωμου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς* (Ματθ. 16, 18), καὶ διὰ τοῦ ἰδίου κηρύγματος συγκαλέσας τὴν πρώτην κοινωνίαν τῶν εἰς αὐτὸν πιστευόντων, ἔθηκεν οὕτω τὸν πρῶτον καὶ ἀκρογωνιαῖον λίθον τῆς ἰδίας Ἐκλλησίας, καὶ μετα ταῦτα ἐνετείλατο τοῖς μαθηταῖς αὐτοῦ, ὅπως αὔξωσιν αὐτὴν κηρύττοντες τὸ Εὐαγγέλιον πάσῃ τῇ Κτίσει « πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει (Μαρκ. 16, 15). Εἰς παραδοχὴν ἐν τῇ Ἐκκλησίᾳ διέταξε τὸ Μυστήριον τοῦ Βαπτίσματος (Ματθ. 28, 19), πρὸς ἕνωσιν τῶν πιστευόντων μετ' αὐτοῦ καὶ πρὸς ἀλλήλους τὸ *Μυστήριον τῆς Μεταλήψεως* (Ματθ. 26, 26—28). Μαρκ. 14, Λουκ. 22)· εἰς καταλλαγὴν δὲ τῶν ἁμαρτωλῶν ἑαυτῷτε καὶ πρὸς ἀλλήλους τὸ *μυστήριον τῆς Μετανοίας* (Ματθ. 18, 15—18), δοὺς τοῖς Ἀποστόλοις τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν, *ἀφιέναι καὶ κρατεῖν ἁμαρτίας* (Ἰωαν. 20, 22. 23), καὶ κατὰ τὰς ἀνάγκας καὶ ἕτερα μυστήρια συνεστήσατο· ἀνελθὼν δὲ εἰς οὐρανοὺς, ἐπηγγείλατο ἀοράτως καὶ ἀδιαλείπτως μένειν μετὰ τῶν πιστευόντων πάσας τὰς ἡμετέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος (Ματθ. 28, 20).

β) *Ἐκ τῆς διδασκαλίας καὶ τῶν ἔργων τῶν ἁγίων Ἀποστόλων*, οἵτινες ἐδίδασκον καὶ ἐνήργουν κατὰ τὸ θέλημα καὶ τὴν παραγγελίαν τοῦ Ἰησοῦ Χριστοῦ καὶ ὑπὸ τὴν ὁδηγίαν τοῦ Ἁγίου Πνεύματος. Διότι οὗτοι κηρύττοντες ἀπανταχοῦ τὸ Εὐαγγέλιον καθίδρυον κατὰ τὸ παράδειγμα τοῦ Χριστοῦ ἐκ τῶν πιστευόντων κοινωνίαν, ἣν ἀπεκάλουν Ἐκκλησίαν (1 Κορ. 1, 2. 16, 19), καθίστων ἐν αὐταῖς ποιμένας (Τιτ. 1, 5), ὅπως ποιμαίνωσι τὴν ποίμνην τοῦ Χριστοῦ (Πραξ 20, 28), καὶ ἐδίδασκον τοὺς πιστοὺς ὑπακοὴν αὐτοῖς, ὡς ἄλλοις Ἀποστόλοις, μάλιστα δὲ ὡς αὐτῷ τῷ Κυρίῳ (Ἑβρ. 13, 17. Φιλιπ. 2, 29· I Θεσσαλ. 5, 12. 13), ἐνετέλλοντο,

δὲ ὅπως συνέρχωνται ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτὸ εἰς ἀκρόασιν τοῦ θείου λόγου καὶ προσευχὴν (Πραξ. 2, 42. 46. 20, 7), μὴ ἐγκαταλείπωσι δὲ τὴν ἐπισυναγωγὴν (κοινωνίαν πρὸς ἀλλήλους ἐν Ἐκκλησίᾳ), ὅπως μὴ ὀλέθρου αἰωνίου τύχωσιν (Ἑβρ. 10, 24. 25), δικάζωνται δὲ παρὰ τοῖς ἰδίοις ποιμέσιν (I Κορ. 6, 1). Οὕτω δὲ οἱ Ἀπόστολοι ᾠκοδόμησαν καὶ ἐστερέωσαν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐν τῇ Οἰκουμένῃ.

§ 253. *Ὁ μετὰ τοῦ Ἰησοῦ Χριστοῦ σύνδεσμος τῆς Ἐκκλησίας.*

Λαβοῦσα ἡ Ἐκκλησία τὴν ἰδίαν ἀρχὴν ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ διατελεῖ ἅμα καὶ στενώτατα συνδεδεμένη Αὐτῷ, οὐ μόνον ὡς Καθιδρυτῇ, καὶ ἀνωτάτῳ Κυβερνήτῃ, ἀλλὰ καὶ ὡς ἐνδελεχεῖ καὶ μόνῃ ἀρχῇ καὶ πηγῇ τῆς ἐσωτερικῆς αὐτῆς ζωῆς. Ὁ σύνδεσμος δ' οὗτος ὁρίζεται ἐν τῇ Ἁγ. Γραφῇ, ἀποκαλουμένης τῆς Ἐκκλησίας *σῶμα Χριστοῦ*, τοῦ δὲ Ἰησοῦ Χριστοῦ Κεφαλῆς αὐτῆς, «ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους (1 Κορ. 12, 27)· «ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας, καὶ αὐτὸς ἐστὶ Σωτὴρ τοῦ σώματος (Ἐφ. 5, 23). Πρὸς τούτοις ὁ Χριστὸς ἀποκαλεῖται *ἄμπελος* οἱ δὲ πιστοὶ *κλήματα* (Ἰωαν. 15, 5). Ὁ δὲ Ἀπόστολος Παῦλος ἀποκαλεῖ τὸν Ἰησοῦν Χριστὸν *ἀκρογωνιαῖον λίθον* τὴν δ' Ἐκκλησίαν *Οἰκοδομήν*, «ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ (Ἐφ. 2, 20. 21). Οὕτω δὲ ὁ σύνδεσμος τοῦ Χριστοῦ Σωτῆρος μετὰ τῆς Ἐκκλησίας ἐστὶν α) ἐσωτερικὸς *ἄμεσος* διότι αὐτὸς ζῇ ἐν αὐτῇ καὶ μετ' αὐτῆς, καὶ αὐτὸς ἀφ' ἑαυτοῦ μεταδίδωσιν αὐτῇ ζωὴν, ὡς ἡ κεφαλὴ τῷ σώματι, ὁ κορμὸς τοῖς κλάδοις, μηδενὸς ἐν τῷ μεταξὺ μεσολαβοῦντος. β) *Ἀναγκαῖος*· διότι ἀπ' αὐτοῦ μόνου ἐξαρτᾶται ἡ ζωὴ καὶ παντὸς τοῦ σώματος τῆς Ἐκκλησίας ἐν γένει καὶ ἑκάστου ἰ-

δίᾳ μέλους, ἐκτὸς δ' αὐτοῦ οὐδεμία ὑπολείπεται ζωὴ «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν ο ὐδὲν (Ἰωαν. 15, 5. 6). γ) *Ἀδιάλειπτος* καὶ εἰς αἰῶνας, βαθμηδὸν στερεούμενος καὶ αὔξων, μέχρις οὗ ὁ Θεὸς γένηται τὰ πάντα ἐν πᾶσι (1 Κορ. 15, 28). δ) *Μυστικός*· διότι ἀκατάληπτος μὲν ἡ οὐσία αὐτοῦ ἡμῖν, ἀλλ' ὀφείλομεν ὠφελεῖσθαι εἰς σωτηρίαν ἡμῖν, ὡς καὶ τοῖς μέλεσιν ἀρκεῖ ὅτι αἰσθάνονται τὴν ζωὴν τὴν ἐκ τῆς κεφαλῆς αὐτοῖς προσγινομένην, οὐδὲν δ' ἕτερον ἀναγκαῖον αὐτοῖς.

§ 254. *Ὁ σκοπὸς τῆς Ἐκκλησίας.*

Σκοπὸς τῆς ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ συστάσεως ἐπὶ γῆς τῆς Ἐκκλησίας ἐστὶν, ὅπως ἐν τοῖς κόλποις αὐτῆς εὑρίσκωσιν οἱ ἄνθρωποι τὴν τελεσθεῖσαν ὑπ' αὐτοῦ καὶ μεταδιδομένην ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου σωτηρίαν καὶ ζωὴν τὴν αἰώνιον, λαμπρυνόμενοι ὑπὸ τοῦ φωτὸς τῆς Χριστιανικῆς πίστεως καὶ εὐσεβείας, ἁγιαζόμενοι ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ, καὶ χειραγωγούμενοι εἰς τὸν πνευματικὸν βίον, ἵν' οὕτω τὸ ἔργον τῆς σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων ἀδιαλείπτως καὶ ἐνδελεχῶς διατελῇ κατορθούμενον ἐπὶ τῆς γῆς. Τὸν σκοπὸν δὲ τοῦτον καταδείκνυσιν ὁ Ἀπόστολος Παῦλος λέγων »αὐτὸς (ὁ Ἰησοῦς Χριστὸς) ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ Προφήτας, τοὺς δὲ Εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ· μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ «(Ἐφ. 4, 11—13). Ὁ σκοπὸς δ' οὗτος κατορθοῦται καὶ νῦν ἐν ἑκάστῳ τῶν μελῶν ἰδίᾳ, ἀλλ' ἐντελῶς τοῦτο ἔσται, ὅταν ἡ Ἐκκλησία καταντήσῃ εἰς τὸ προωρισμένον πλήρωμα, καταβληθῶσι δὲ οἱ ἐχθροὶ ὑπὸ Ἰησοῦ Χριστοῦ· «δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρ

οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ (1 Κορ. 15, 25). τότε ἐπιστήσεται νέα ἐποχὴ τῆς Βασιλείας τοῦ Θεοῦ ἔσται αὕτη Βασιλεία τῆς δόξης, καὶ θριαμβεύουσα ἡ Ἐκκλησία.

§ 255. *Ἡ Ἐκκλησία ἐστὶ Κοινωνία ὁρατή.*

Ἐκ τοῦ σκοποῦ τῆς Ἐκκλησίας καταφαίνεται, ὅτι αὕτη κατὰ τὴν βουλὴν τοῦ Ἰησοῦ Χριστοῦ, ὀφείλει εἶναι ὁρατὴ, ἵν' ἕκαστος δύνηται γινώσκειν καὶ διακρίνειν, οὐχὶ δὲ κρυπτὴ καὶ μυστικὴ. Διότι α) ὁ Προφήτης Ἡσαΐας παρεικάζει αὐτὴν ὄρει ὑψηλῷ καὶ ἐμφανεῖ (2, 2—4). β) Καὶ αὐτὸς δὲ ὁ Ἰησοῦς Χριστὸς ἀποκαλεῖ τοὺς ἀκολούθους αὐτοῦ φῶς καὶ λύχνον, ὃν οὐ τιθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τῆς λυχνίας ἵνα λάμπῃ πᾶσι τοῖς ἐν οἰκίᾳ· πρὸς τούτοις καὶ πόλιν ἐπὶ ὄρους κειμένην καὶ μὴ δυναμένην κρυβῆναι (Ματθ. 5, 14. 15. 10, 26. 27. 32 33). Πρὸς δὲ τούτοις ἐνετείλατο οὐ μόνον πιστεύειν, ἀλλὰ καὶ ὁμολογεῖν τὸ Εὐαγγέλιον αὐτοῦ (Ματθ. 10, 32. Λουκ. 12, 8), καὶ ἔδωκεν ὁρατὰ καὶ διακριτικὰ σημεῖα τῆς πίστεως εἰς αὐτὸν τὸ βάπτισμα, καὶ Μετάληψιν, καὶ Μετάνοιαν, καὶ ἔθετο ὁρατοὺς ποιμένας καὶ διδασκάλους. Οὕτω δὲ ἐδίδασκον καὶ ἔπραττον καὶ οἱ Ἅγιοι Ἀπόστολοι «καρδίᾳ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν (Ρωμ. 10, 10). Διὸ καὶ οὐχὶ κρυφίως, ἀλλὰ φανερῶς ἀπήρχοντο πανταχόσε καὶ ἐδίδασκον, συνήρχοντο ἐπὶ τὸ αὐτὸ δημοσίᾳ, καὶ ἐνώπιον παντὸς τοῦ Κόσμου ἐπεσφράγισαν τὴν ἰδίαν διδασκαλίαν διὰ τοῦ θανάτου δι' οὗ καὶ ἐστερέωσαν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἥτις μέχρι τοῦδε διατελεῖ ὑπάρχουσα ὁρατὴ ἡμῖν· ἡμεῖς δὲ ὁμολογοῦμεν αὐτὴν καὶ πειθόμεθα ὑπείκοντες τοῖς ἐν αὐτῇ Ποιμέσιν. Ὅτι δ' ἀφορᾷ τὰ χωρία τῆς Γραφῆς, ἔνθα φαίνεται τὸ ἐναντίον, ὡς οὐκ ἔρχεται ἡ Βασιλεία τοῦ Θεοῦ μετὰ παρα-

τηρήσεως, ἐντὸς ὑμῶν ἐστὶν (Λουκ. 17, 20. 21), καὶ ὅτι, ὁμοία ἐστὶ θυσαυρῷ κεκρυμμένῳ (Ματθ. 13, 44), καὶ ὅτι οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ (Ἰωαν. 4, 23)· παρατηροῦμεν ὅτι ἐν τοῖς χωρίοις τούτοις, ἅμα μὲν ἐκφράζεται τὸ Πνεῦμα μόνον τοῦ χριστιανισμοῦ, ὅπερ οὐχ ἧττον οὐκ αἴρει πᾶν ἐξωτερικόν, ἅμα δὲ ὁ λόγος περὶ τῆς ἐσωτερικῆς μορφῆς τῆς Βασιλείας τοῦ Θεοῦ, τῆς κρυπτομένης ἐν τῷ ἐνδομύχῳ ἑκάστου ἀληθοῦς χριστιανοῦ, πρὸς τούτοις νοοῦνται καὶ αἱ εἰδικαὶ τῆς Ἐκκλησίας περιστάσεις, καθ' ἃς ἀποκρύπτεται, οὕτως εἰπεῖν, αὕτη ὡς τοῦτο ἐπὶ τῶν διωγμῶν ἐγένετο.

§ 256. *Ἡ Ἐκκλησία ἐστὶ κοινωνία Πνευματική.*

Ἐκ τοῦ σκοποῦ τῆς Ἐκκλησίας καταφαίνεται καὶ ὁ καθαρὸς πνευματικὸς χαρακτὴρ αὐτῆς, καθ' ὃν οὐκ ἔστι τις ἰδιαιτέρα κοινωνία ἐκτὸς τῆς πολιτικῆς ὑπάρχουσα, καὶ ἴδιον πολιτικὸν σκοπὸν ἔχουσα, ἀλλ' ἐν αὐτῇ τῇ πολιτείᾳ ὑπάρχει καὶ ἐκ τῶν αὐτῶν πολιτικῶν μελῶν σύγκειται, ἄμοιρος πάσης κοσμικῆς ἐξουσίας. Τοῦτο δὲ βεβαιοῖ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ὃς κατακρίνας τὰς ψευδεῖς περὶ τῆς Βασιλείας τοῦ Μεσσίου ἰδίας τῶν Ἰουδαίων εἶπεν, ὅτι ἡ Βασιλεία αὐτοῦ οὐκ ἔστιν ἐκ τοῦ Κόσμου τούτου (Ἰωαν. 18, 36), καὶ ὅτι ὀφείλομεν ἀποδιδόναι τὰ τοῦ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ (Ματθ. 22, 21), καὶ ἐν γένει οὐδαμοῦ ἐδίδαξε περὶ τῆς Ἐκκλησίας, ὡς περὶ κοινωνίας πολιτικῆς, ἀλλὰ τοὐναντίον, ὅτι ὀφείλει συνυπάρχειν ἐν πάσῃ κοινωνίᾳ, μεταβάλλουσα μόνον καὶ μορφοῦσα τὸ Πνεῦμα τῶν λαῶν, τὰ ἤθη καὶ νόμους κατὰ τὸ σωτήριον αὐτῆς πνεῦμα. Οὕτω δὲ ἐδίδασκον καὶ ἐνήργουν καὶ οἱ Ἀπόστολοι, πείθοντες τοὺς πιστοὺς, ἵνα εὔχωνται ὑπὲρ τῶν Καισάρων καί τοι ἐθνικῶν ὄντων, καὶ μετὰ τὴν παραδοχὴν τῆς χριστιανικῆς πίστεως δια-

τελῶσι πειθόμενοι ἐξουσίας ὑπερεχούσαις καὶ τηροῦντες, ἣν εἶχεν ἕκαστος τάξιν (1 Τιμ. 2, 2. 1 Κορ. 7, 20—24. Ρωμ. 13, 1). Ἐνταῦθεν δ' ἐξάγεται, ὅτι πᾶσα ἀξίωσις τῆς Ἐκκλησίας κοσμικὴ, πᾶσα βιαιοπραγία πρὸς ἐξάπλωσιν τῆς Ἐκκλησίας καὶ τήρησιν τῆς εὐημερίας τῆς τε ἐσωτερικῆς καὶ τῆς ἐξωτερικῆς, εἰσὶν ἀνοίκεια τῷ Πνεύματι τῆς Ἐκκλησίας· μόνον ἄρα πνευματικὰ τὰ ὅπλα αὐτῆς, καὶ οὗτος ὁ ταύτης χαρακτὴρ (2 Κορ. 10, 3—5).

§ 257. *Ἡ Ἐκκλησία ἐστὶ μία.*

Ἡ Ἐκκλησία ἐστὶ μία. Διότι ὁ Ἰησοῦς Χριστὸς μόνον περὶ μιᾶς Βασιλείας τοῦ Θεοῦ λέγει, ὡς καὶ περὶ ἑνὸς Ποιμνίου, ἑνὸς Ποιμένος, μιᾶς ἀμπέλου. Καὶ ὁ Ἀπόστολος διδάσκει ἓν μονον σῶμα, ἓν οἰκοδόμημα, ἕνα ἀκρογωνιαῖαν λίθον (Ρωμ. 12, 4. 5. 1 Κορ. 10, 17. 12, 12, 13 Ἐφ 2, 20 21). Διὰ τοῦτο καὶ ὁ Ἰησοῦς Χριστὸς ὑπὲρ πᾶν ἄλλο τὴν ἑνότητα ἐν τῇ πίστει καὶ ἀγάπῃ ἐντέλλεται (Ἰωαν. 13, 34. 35), καὶ προηύξατο ὑπὲρ τούτου τῷ Πατρὶ (Ἰωαν. 17, 21). Οὕτω καὶ οἱ Ἀπόστολοι μάλιστα πάντων τῆς ἑνότητος ἐπεμελοῦντο καὶ ὁ Ἀπόστολος Παῦλος δεινῶς καθάπτεται τῶν λυμαινομένων ταύτην, καὶ ταραττόντων τὴν Ἐκκλησίαν (1 Κορ. 1, 10—13. 10, 17. 12, 15). Ταύτην περὶ πολλοῦ ἐποιεῖτο καὶ ἡ Ἐκκλησία, συγκροτοῦσα αὐτὴν διὰ συχνῶν συνόδων καὶ κοινωνίας, καὶ ἐν τῷ συμβόλῳ μίαν ἑαυτὴν ἀπεκάλεσεν. Συνίσταται δ' ἡ ἑνότης αὕτη τῆς Ἐκκλησίας ἐν τῷ ἑνὶ κηρύγματι τῆς πίστεως, ἐν τοῖς αὐτοῖς Μυστηρίοις ἐν τῷ αὐτῷ σκοπῷ τῆς Ἐκκλησίας, ἐν τῇ μιᾷ κεφαλῇ αὐτῆς τῷ Ἰησοῦ Χριστῷ· « ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς Κύριος, μία πίστις, ἓν Βάπτισμα (Ἐφ. 4, 3. 6). Ἡ ἑνότης δ' αὕτη οὐδόλως λύεται ἐκ τοῦ πολυαριθμου τῶν χριστιανικῶν κοινωνιῶν. Δι-

ὅτι πᾶσαι αὗται καί τοι διάφοροι κατά τε γλῶσσαν καὶ ἔθιμα, τὰ μὴ οὐσιωδῶς ἀναφερόμενα τῇ χριστιανικῇ πίστει, εἰσί μέλη τοῦ ἑνὸς σώματος τῆς Ἐκκλησίας, ὑπαρχούσης τῆς ἑνότητος ἐν τῇ πίστει, μυστηρίοις, καὶ ἀγάπῃ Ὅπου δὲ λείπει τὸ Πνεῦμα τοῦτο τῆς ἑνότητος, οὐκ ἔστιν ἀληθὴς καὶ ἡ ἐκεῖ Ἐκκλησία.

§ 258. *Ἁγία.*

Ἡ *Ἐκκλησία ἐστὶν ἁγία*, τουτέστι καθαρά, ἄμωμος, εὐάρεστος τῷ Θεῷ· Περὶ δὲ τούτου προσηύξατο τῷ Πατρὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς (Ἰωαν. 17, 17. 19). Ἁγίαν ἀποκαλεῖ τὴν Ἐκκλησίαν καὶ ὁ Ἀπόστολος· *ἵνα ᾖ ἁγία καὶ ἄμωμος* (Ἐφ. 5, 26. 27), οὕτω δὲ καὶ ἐπεκλήθη ἐν τῷ Συμβόλῳ τῆς Πίστεως. Ἔστι δὲ ἡ Ἐκκλησία ἁγία, α) διότι ἀνάγει τὴν ἰδίαν ἀρχὴν εἰς τὸν ἁγιώτατον Ἰησοῦν Χριστόν, διατελοῦσα ἐν στενωτάτῳ μετ' αὐτοῦ συνδέσμῳ, καὶ πρὸς ἁγιασμὸν καὶ σωτηρίαν τῶν ἀνθρώπων φέρει ἐνοικοῦσαν ἐν ἑαυτῇ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. β) Διὰ τὴν ἁγιότητα τῶν μελῶν αὐτῆς, κατὰ τὸ μέτρον τῆς κοινωνίας αὐτῶν ἐν τοῖς ὀργάνοις τοῦ ἁγιασμοῦ καὶ τῆς πνευματικῆς προκοπῆς. Τοιαῦτα δὲ μέλη ἀείποτε ὑπῆρξαν ἐν τῇ Ἐκκλησίᾳ, καίτοι μὴ πολλάκις τοῖς πᾶσιν ὁρατά. Εἰ δὲ καὶ ἐν τῇ Ἐκκλησίᾳ ἀσθενῆ μέλη οἱ ἁμαρτωλοί εἰσιν, ἀλλ' οὗτοι οὐδόλως μολύνουσι τὴν ἁγιότητα τῆς ὅλης Ἐκκλησίας, ἀλλ' ἀνέχεται τούτους αὕτη, ἀναμένουσα τὴν ἐπιστροφὴν αὐτῶν καὶ ἀνάῤῥωσιν. Τοῦτο δὲ συμφωνεῖ ὅλως. α) τῷ σκοπῷ τῆς Ἐκκλησίας τοῦ ἁγιάζειν καὶ τελειοῦν οὐκ ἄλλους, εἰμὴ τοὺς ἀτελεῖς βεβαίως. β) Τῇ διδασκαλίᾳ τῆς ἁγίας Γραφῆς, ἐν ᾗ ὁ Ἰησοῦς Χριστὸς παρεικάζει τὴν ἰδίαν Ἐκκλησίαν ἀγρῷ, ἐν ᾧ καὶ ζιζάνια μετὰ τοῦ σίτου φύονται μέχρι καιροῦ, καὶ *σαγήνῃ* ἐκ παντὸς γένους συναγαγούσῃ (ἰχθύας) (Ματθ. 13, 24. 30. 47). Πρὸς τοῦτο δὲ καί ἐστιν ἐν τῇ Ἐκκλησίᾳ τὸ μυστήριον τῆς Μετανοίας. Καὶ ὁ Ἀπόστολος Παῦ-

λος διδάσκει ὅτι ἐν τῇ μεγάλῃ Οἰκίᾳ τοῦ Θεοῦ, ἐν τῇ Ἐκκλησίᾳ, εἰσὶ σκεύη, α ἅ μεν εἰς τιμὴν ἅ δὲ εἰς ἀτιμίαν· Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, καὶ εὔχρηστον τῷ Δεσπότῃ (2 Τιμ. 2, 20. 21)· γ) Τῷ διηνεκεῖ ἔθει τῆς Οἰκουμενικῆς Ἐκκλησίας, ἥτις οὐδέποτε ἀπεδίωξε τῶν κόλπων αὐτῆς τοὺς ἁμαρτωλούς, πλὴν τῶν βαρέως νοησάντων καὶ μὴ μετανοησάντων, ἀλλ' ἐν ἀπονοίᾳ διατελούντων· ὑπέβαλλε δ' αὐτοὺς προσκαίροις Ἐπιτιμίοις, ἀναμένουσα τὴν μετάνοιαν αὐτῶν. Πάντοτε δὲ ἀπέβαλλε τὰς γνώμας τῶν θελόντων τὴν Ἐκκλησίαν ἐκ μόνων τελείων συνίστασθαι, ἐν μὲν τῷ 3ῳ αἰῶνι τῶν Μοντανιστῶν καὶ Νοβατιανῶν, ἐν δὲ τῷ 4ῳ τὸν Δονατιστῶν, ἐν δὲ τῷ 5ῳ τῶν Πελαγιανῶν, κατὰ δὲ τοὺς ἡμετέρους χρόνους τῶν Καλβινιστῶν, τῶν τὴν Ἐκκλησίαν κοινωνίαν προωρισμένων καὶ ἐκλεκτῶν λεγόντων.

§ 259. *Καθολική.*

Ἡ Ἐκκλησία ἐστὶ καὶ λέγεται καθολικὴ, διότι αἱ, ὡς ἐξ ἀρχῆς, κατὰ τὴν ἐντολὴν τοῦ Ἰησοῦ Χριστοῦ (Ματθ, 28, 19. Μαρ. 16, 15, Πραξ, 1, 8), οὐκ ἐξ ἑνὸς, ἀλλ' ἐκ πάντων ἐθνῶν καὶ φυλῶν συναπηρτίσθη (Ἀποκαλ. 5, 9. 7, 9), οὕτω καὶ νῦν οὐ περιορίζεται ἐν μιᾷ χώρᾳ καὶ ἔθνει ἀλλὰ περιλαμβάνει ἐν τοῖς κόλποις αὐτῆς πάντας τοὺς εἰς Χριστὸν ἀληθῶς πιστεύοντας, πάσης χώρας καὶ τόπου (Κολοσ. 3, 11). 6) Διότι περιέχει διδασκαλίαν καὶ διαταγὰς. ἅμα μὲν πλήρεις καὶ περιεκτικωτάτας πάντων τῶν πρὸς σωτηρίαν ἀναγκαίων τοῖς ἀνθρώποις, ἅμα δὲ καὶ κεκανονισμένας καὶ κεκυρωμένας καὶ τηρουμένας συμφώνως ὑπὸ πάντων τῶν ἁπανταχοῦ ἀληθῶν χριστιανῶν, οὐχὶ δὲ ὑπὸ ἐνίων μόνων ἀνθρώπων τε καὶ κοινωνιῶν. «Καθολικὴ μὲν οὖν καλεῖται, διὰ τὸ κατὰ πάσης εἶναι τῆς Οἰκουμένης, ἀπὸ περάτων γῆς ἕως περάτων καὶ διὰ τὸ διδάσκειν, καθολικῶς καὶ ἀνελλειπῶς, ἅπαντα τὰ εἰς γνῶ-

σιν ἀνθρώπων ἐλθεῖν ὀφείλοντα δόγματα, καὶ διὰ τὸ πᾶν γένος ἀνθρώπων εἰς εὐσέβειαν ὑποτάσσειν, καὶ διὰ τὸ καθολικῶς ἰατρεύειν μὲν καὶ θεραπεύειν ἅπαν τὸ τῶν ἁμαρτιῶν εἶδος, καὶ κεκτῆσθαι ἐν αὐτῇ πᾶσαν ἰδέαν ἀρετῆς» (1).

§ 260. Ἀποστολική.

Ἡ Ἐκκλησία λέγεται Ἀποστολική· α) διὰ τὴν ἑαυτῆς ἀρχὴν ἀπὸ τῶν Ἀποστόλων τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην καθιδρυσάντων καὶ ἐμπεδωσάντων αὐτήν, ἐποικοδομηθεῖσαν κατὰ τὸν Ἀπόστολον, «ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ (Ἐφ. 2, 20)· διὰ τοῦτο καὶ ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος εἶδεν, ὅτι ἡ οὐρανία Ἱερουσαλὴμ ἔχει θεμελίους δώδεκα καὶ ἐν αὐτοῖς ὀνόματα τῶν δώδεκα Ἀποστόλων τοῦ Ἀρνίου (Ἀποκαλ. 21, 14) β) Διὰ τὴν ἐν αὐτῇ διακόσμησιν· διότι πᾶν τὸ ἐν αὐτῇ, ὡς ἐξ ὑπαρχῆς, οὕτω καὶ νῦν τὸ πᾶν ἀποστολικόν· ἀποστολικὴ ἡ νιδασκαλία, ἀποστολικὰ τὰ μυστήρια, ἀποστολικοὶ οἱ θεμελιώδεις κανόνες καὶ διαταγαὶ καὶ τάξις, ἀποστολικὴ ἡ χειροτονία, δι' ἧς ἀδιάλειπτος καὶ ἄῤῥηκτος ἡ σειρὰ τῶν διαδόχων καὶ Ποιμένων καθίσταται. Ὅπου δὲ διαῤῥάγη ὁ συνεκτικὸς οὗτος δεσμὸς καὶ καινοτομία εἰσεχώρησε, ἐκεῖ οὐδεμία καὶ Ἐκκλησία.

§ 261. Ἀκέραιος.

Οὕτω καλεῖται ἡ Ἐκκλησία· διότι οὐδέποτε ἐπαύσατο ὑπάρχουσα καὶ μέχρι συντελείας τοῦ Αἰῶνος ὑπάρξει, καὶ πολλάκις ἐσμικρύνθησαν τὰ ὅρια αὐτῆς. Ἔστι δὲ τοιαύτη· α) διότι ἀνεξάντλητος ἡ χάρις τοῦ Θεοῦ ἡ πηγὴ τῆς ζωῆς ἐν τῇ Ἐκκλη-

(1) Κυριλ. Ἱερος. Κατηχ. 18.

σία. β) Διότι οὐδέποτε παύσεται ἡ ἐν αὐτῇ ἀληθὴς διδασκαλία τῆς πίστεως ἀκέραιος τηρουμένη, οὐδὲ ἡ ἱεροτελεστία τῶν Μυστηρίων. Μάλιστα δὲ γ) διότι οὐδέποτε διαῤῥαγήσεται ἡ ἀδιάλειπτος σειρὰ τῆς Ἱεραρχίας ἡ ἀπὸ τῶν Ἀποστόλων τὴν ἀρχὴν ἔχουσα καὶ ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ τῆς αἰωνίας Κεφαλῆς τῆς Ἐκκλησίας ἐρειδομένη. Ὅτι δὲ οὐδέποτε ἐκλείψει ὄντως ἡ Ἐκκλησία μέχρι συντελείας τοῦ αἰῶνος ἀποκαλύπτεται τοῦτο. α) ἐκ τῶν τῆς Παλαιᾶς Διαθήκης Προφητειῶν· καὶ δὴ τῷ Δαβὶδ ἐπηγγείλατο ὁ Θεὸς, ὅτι ὁ Θρόνος τῶν ἀπογόνων ἔσται *ἀνωρθωμένος εἰς τὸν αἰῶνα* (2 Βασιλ. 7, 13—16). Καὶ τῷ Προφήτῃ Δανιὴλ ἀπεκαλύφθη, ὅτι ἡ Βασιλεία τοῦ Μεσσίου οὐ διαφθαρήσεται εἰς τὸν αἰῶνα (Δαν. 2, 44)· β) Ἐκ τῆς Κ. Διαθήκης Ἐνταῦτῃ ἐπαναλαμβάνει ὁ Ἀρχάγγελος τῇ ὑπεραγίᾳ Παρθένῳ Μαρίᾳ τὴν ἐπαγγελίαν ταύτην (Λουκ. 1, 33), καὶ αὐτὸς ὁ Κύριος ἐπηγγείλατο «οἰκοδομήσω μοι τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς (Ματθ. 16, 18) «ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος (Ματθ. 28, 20)· ὁ δὲ Ἀπόστολος Παῦλος λέγει. «Αὐτῷ ἡ δόξα ἐν τῇ Ἐκκλησίᾳ ἐν Χριστῷ· Ἰησοῦ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων (Ἐφ 3, 21). Τῷ δὶ Ἰωάννῃ, τῷ Θεολόγῳ ἀποκαλύπτεται, ὅτι ἡ Ἐκκλησία τοῦ Χριστοῦ, εἰ καὶ δι' αἰώνων πολλοὺς μέλλει ὑφίστασθαι καὶ δεινοὺς διωγμοὺς καὶ θλίψεις, μάλιστα δὲ ἐπ ἐσχάτων τῶν χρόνων, ἀλλὰ διατελέσει μέχρι συντελείας τοῦ αἰῶνος ἀήττητος καὶ θριαμβεύσει καὶ δοξασθήσεται. γ) Ἐκ τῆς διηνεκοῦς διδασκαλίας τῶν Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας. »Ἡ Βασιλεία τῆς Ἐκκλησίας μένει εἰς τὸν αἰῶνα, λέγει ὁ ἅγιος Ἀμβρόσιος (1). Οὐκ ἐπὶ βραχὺν χρόνον ἀλλὰ μέχρι συντελείας αἰῶνος διαμενεῖ ἡ Ἐκκλησία, διδάσκει ὁ μακάριος Αὐγουστῖνος, «οὐχ ἡττηθήσεται, οὐκ ἐκριζω-

(1) Εἰς Εὐαγγιλ. Λουκ. 7, ἀρ. 91·

θήσεται, οὐ δὲ πειρασμῶν ἥττων ἔσται, μέχρις οὗ ἐπέλθῃ συντέλεια Κόσμου (1). Πρὸς τούτοις ἡ ἀλήθεια αὕτη ἐστερεώθη καὶ ὑπὸ τοπικῶν Συνόδων ἐν Καρχηδόνι κατὰ τῶν Δονατιστῶν, διδασκόντων, ὅτι ἤδη ἐπ' αὐτῶν ἐξηντλήθη ἡ Ἐκκλησία, διὸ καὶ ἀπεσπάσθησαν ταύτης (2).

§ 262. *Ἀλάνθαστος.*

Ἡ Ἐκκλησία ἐστὶν ἀλάνθαστος, διότι ἀδύνατον αὐτὴν ἅπασαν ἐκπεσεῖν τῆς ἀληθείας εἰς πλάνην, ἀλλὰ μόνον μέλη αὐτῆς ἐκκόπτονται καὶ πλάνῃ περιπίπτουσιν. Τοῦτο δὲ καταφαίνεται α) ἐκ τούτου, ὅτι πᾶσα πλάνη ἐν οἱῳδήποτε δόγματι εἶχεν ἂν παρακολουθοῦσαν τὴν κένωσιν τῆς Ἐκκλησίας καὶ ἀπώλειαν· β) ἐκ τῶν σαφῶν ἐπαγγελιῶν τοῦ Ἰησοῦ Χριστοῦ, ὅτι ἔσται μετὰ τῆς Ἐκκλησίας πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ Αἰῶνος (Ματθ 28, 20), καὶ καταπέμψει τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα μένῃ μετὰ τῆς Ἐκκλησίας εἰς τὸν αἰῶνα, καὶ διδάσκῃ πάντα (Ἰωαν. 14, 16. 26). Πρὸς τούτοις καὶ ἐκ τοῦ Ἀποστόλου καλοῦντος τὴν Ἐκκλησίαν στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας (1 Τιμ. 3, 15). γ) τὸ ἀλάνθαστον τῆς Ἐκκλησίας ἀείποτε ὡμολόγουν καὶ ἐκήρυττον οἱ Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας. Καὶ δὴ ὁ Ἅγιος Εἰρηναῖος λέγει ὅτι οὐδαμοῦ ἀλλαχοῦ, εἰμὴ ἐν τῇ Ἐκκλησίᾳ ὀφείλομεν ζητεῖν τὴν ἀλήθειαν. Διότι ἐν ταύτῃ, ὡς ἐν πλουσίῳ θησαυροφυλακίῳ, κατάθεντο οἱ Ἀπόστολοι πᾶν τὸ ἀληθές (3). Ὁ δὲ ἅγιος Κυπριανὸς «γράφει τὸ ἀληθὲς καὶ σωτήριον καὶ ἅγιον νᾶμα τῆς Ἐκκλησίας (ἡ διδασκαλία) οὐ δύναται βλάβην καὶ ἀλλοίωσιν ὑφίστασθαι, ἅτε δὴ καὶ τῆς

---

(1) Εἰς ψαλ. 60. ον καὶ 77 ον.

(2) Αἱ Σύνοδοι αὗται ἐγένοντο κατὰ τὰ 403, 404 καὶ 411 ἔτη.

(3) Κατὰ Αἱρ. *I*, 3, 1.

Ἐκκλησίας ἀβλαβοῦς καθαρᾶς καὶ σώφρονος οὔσης » (1) «οὐκ ἐκκλινεῖ εἰς αἰῶνας αἰώνων ἡ Ἐκκλησία, λέγει ὁ μακάριος Αὐγουστῖνος, ἔστι γὰρ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας» (2).

§ 263. *Ἡ ἐσωτερικὴ σύστασις τῆς Ἐκκλησίας.*

Τελέσας τὴν σωτηρίαν τοῦ ἀνθρωπίνου γένους διὰ τῆς τριπλῆς διακονίας, τῆς διδασκαλικῆς, ἀρχιερατικῆς, καὶ βασιλικῆς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, διατελεῖ καὶ νῦν τελῶν τὸ αὐτὸ ἐν τῇ Ἐκκλησίᾳ, καταστήσας ἐν αὐτῇ ἅπαξ καὶ διὰ παντὸς α) τὴν διδασκαλίαν τῆς Πίστεως καὶ εὐσεβείας, πρὸς φωτισμὸν τῶν ἀνθρώπων, β) τὰς Ἱεροτελεστίας τῶν ἁγίων Μυστηρίων καὶ λοιπῶν πρὸς ἁγιασμὸν, γ) τὴν ποιμαντορίαν, εἴτε τὴν ἐξουσίαν τοῦ ἐφορᾶν νομοθετεῖν καὶ δικάζειν πρὸς χειραγωγίαν καὶ ἐπίδοσιν ἐν τῷ πνευματικῷ βίῳ.

§ 264. *Τὸ ἀναγκαῖον καὶ ἡ ὕπαρξις τῆς διδασκαλίας ἐν τῇ Ἐκκλησίᾳ.*

Ὅπως ἡ χριστιανικὴ πίστις καὶ εὐσέβεια τηρῶνται καὶ αὔξωσι παρὰ τοῖς ἀνθρώποις, καὶ φυτεύηται καὶ κρατύνηται παρ' αὐτοῖς ἡ ἐπίγνωσις τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀναγκαῖον πάντως ἐν τῇ Ἐκκλησίᾳ τὸ διηνεκὲς κήρυγμα τοῦ Εὐαγγελίου εἴτε ἡ διδασκαλία. Καὶ ὄντως κατέστησεν ὁ Ἰησοῦς Χριστὸς διδασκαλίαν ἐν τῇ Ἐκκλησίᾳ, ὡς τοῦτο δείκνυσιν ἡ Ἱστορία ἥτε εὐαγγελικὴ καὶ ἡ Ἀποστολική. Διότι καὶ αὐτὸς ἐδίδαξε καὶ τοῖς Ἀποστόλοις ἐνετείλατο πορευθῆναι εἰς τὸν Κόσμον ἅπαντα, καὶ κηρύξαι τὸ

(1) Epist. 93.

(2) εἰς Τιμ. Α΄, 3, 14.

Εὐαγγέλιον πάσῃ τῇ Κτίσει (Μαρκ. 16, 16), καὶ διδάσκειν αὐτοὺς τηρεῖν πάνθ' ὅσα ἐνετείλατο τοῖς Ἀποστόλοις (Ματθ. 28, 19). Τὴν ἐντολὴν δὲ ταύτην ἐξεπλήρωσαν ἀκριβῶς οἱ Ἀπόστολοι, πρῶτον αὐτῶν χρέος ἡγούμενοι εὐαγγελίζεσθαι τὸν λόγον τῆς ἀληθείας (Πραξ. 6,2—4). Λέγει δὲ ὁ Ἀπόστολος Παῦλος. «Ἐὰν γὰρ εὐαγγελίζωμαι οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται οὐαὶ δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι (1 Κορ. 9, 16). Πρὸς τούτοις πανταχοῦ κατεστήσαντο διαδόχους τῆς διακονίας ταύτης, ἐντελλόμενοι πρὸ παντὸς ἄλλου κηρύττειν. «Διαμαρτύρομαι ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς, κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον· παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ (2 Τιμ. 4, 12). Ἡ οὕτω δὲ τῇ ἐντολῇ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων καθιδρυθεῖσα διδασκαλία τῆς πίστεως καὶ εὐσεβείας ἀείποτε ὑπῆρξεν ἐν τῇ Ἐκκλησίᾳ καὶ μέχρι συντελείας αἰῶνος ὑπάρξει.

§ 265. *Αἱ Ἐκκλησιαστικαὶ Ἱεροτελεστίαι καὶ ἡ ἀρχὴ αὐτων ἀπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ.*

Πλὴν τῆς διδασκαλίας, εἰσὶν ἱεροτελεστίαι ἐν τῇ Ἐκκλησίᾳ, ὡς ὁρατὰ σημεῖα, ἀναγκαῖα εἰς σωτηρίαν διά τε τὸ εἶναι τὴν Ἐκκλησίαν ὁρατὴν κοινωνίαν, ἐκ πνευματικῶν τε καὶ αἰσθητῶν μελῶν συγκειμένην, καὶ διὰ τὸ σκοπεῖν τὴν ἑνότητα τὴν ἐν τῇ πίστει καὶ ἐπιγνώσει τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὸν ἁγιασμὸν ἐν Ἁγίῳ Πνεύματι καὶ ἐπίδοσιν ἐν τῇ εὐσεβείᾳ· ταῦτα δὲ πάντων μάλιστα δι' ὁρατῶν καὶ δημοσίων ἱεροτελεστῶν κατορθοῦνται. Διὰ τοῦτο, ὡς ἐν τῇ Ἐκκλησίᾳ τῆς Π. Διαθήκης ἦσαν ἱεροτελεστίαι, ἃς αὐτὸς ὁ Θεὸς διέταξεν ὁρίσας ἀκριβῶς καὶ λεπτομερῶς πάντα, μάλιστα δὲ τὰ τὰς θυσίας ἀφορῶντα καὶ ἐντειλάμενος αὐστηρῶς ἀκριβῆ τήρησιν

τοῦ τελετουργικοῦ νόμου, οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ τῆς Κ. Διαθήκης αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ καινῶν ἱεροτελεστιῶν ἀντικατέστησε τὰς παλαιὰς, ἅτε δὴ πρὸς καιρὸν, καὶ τύπους οὔσας. Καὶ δὴ αὐτὸς κατέστησε τὸ Μυστήριον τοῦ ἰδίου σώματος καὶ αἵματος, ἐντειλάμενος τοῖς Ἀποστόλοις τελεῖν αὐτὸ διὰ παντὸς εἰς ἀνάμνησιν αὐτοῦ (Λουκ. 22, 19)· ἐνετείλατο παραλαμβάνειν ἐν τῇ Ἐκκλησίᾳ διὰ τοῦ βαπτίσματος (Ματθ· 28, 20). ἐπηγγείλατο παρεῖναι, ὅπου ἂν ὦσι δύω ἢ τρεῖς συνηγμένοι εἰς τὸ ὄνομα αὐτοῦ (Ματθ. 18, 20), καὶ ἐν γένει παρέδωκε τοῖς Ἀποστόλοις πάντα τὰ πρὸς καταρτισμὸν τῆς Ἐκκλησίας ἀναγκαῖα, ὅτε μετὰ τὴν ἀνάστασιν αὐτοῦ «δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος ἔλεγε τὰ περὶ τῆς Βασιλείας τοῦ Θεοῦ (Πραξ. 1,3). Οἱ δὲ Ἀπόστολοι ἐξεπλήρωσαν πάντα ταῦτα ἀκριβῶς βαπτίζοντες αὐτοὶ, καὶ χεῖρας ἐπιτιθέντες,, καὶ συνερχόμενοι ἐπὶ τὸ αὐτὸ πρὸς κοινωνίαν καὶ κοινὴν προσευχὴν, καὶ ἐντειλάμενοι τοῖς διαδόχοις αὐτῶν τὰ αὐτὰ ποιεῖν, κανόνας καὶ ὑπογραμμὸν αὐτοῖς δόντες πρὸς τήρησιν τῆς τάξεως καὶ τέλεσιν τῶν ἱεροτελεστιῶν (1 Κορ. 14, 40). Οὕτω δὲ παρέδωκαν τῇ Ἐκκλησίᾳ τὰ ἑπτὰ ἅγια Μυστήρια. Μετὰ δὲ τοὺς Ἀποστόλους ἡ Ἐκκλησία πλήρης πνεύματος Ἁγίου οὐ μόνον ἁγίας ἐτήρησε τῆς ἱεροτελεστίας, ἀλλὰ καὶ κατὰ τὸ μέτρον τῆς αὐξήσεως καὶ εἰρήνης τῆς ἐν αὐτῇ, προέβη εἰς παραιτέρω διακόσμησιν τῆς ἐν αὐτῇ τάξεως, καὶ διέταξε κατὰ τὸ πνεῦμα καὶ ἐπὶ τῇ βάσει τῶν Ἀποστόλων τὰς λοιπὰς ἱεροτελεστίας, δοῦσα κανόνας σταθεροὺς καὶ ὁμοιομόρφους εἰς τὴν τέλεσιν αὐτῶν. Οὕτω δὲ κατὰ μικρὸν προῆλθε σειρὰ ἀκολουθιῶν, αἵτινες διὰ τοῦτο ἔχουσι παρ' ἑκάστῳ τῶν μελῶν τῆς Ἐκκλησίας ἀναντίῤῥητον κῦρος.

§ 266. Ἡ ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ ἀρχὴ τῆς Ἐκκλησιαστικῆς ἐξουσίας καὶ ἡ ἀξία αὐτῆς

Ἐπειδὴ σκοπὸν ἔχει ἡ Ἐκκλησία τὴν τελείωσιν τῶν ἁγίων καὶ τὴν ἠθικὴν ἀνάπλασιν καὶ ὁδηγίαν τῶν Χριστιανῶν εἰς σωτηρίαν, καταφαίνεται ἄρα, ὅτι ἀναγκαία ἐν αὐτῇ ἡ ποιμαντικὴ ἐξουσία τοῦ νομοθετεῖν, δικάζειν, καὶ ἐπιτιμᾷν. Καὶ ὄντως ὁ Ἰησοῦς Χριστὸς, αὐτὸς ὢν ἀόρατος Κεφαλὴ τῆς Ἐκκλησίας, ὁρατῶς τὴν ἐξουσίαν ἐνεχείρισε τῇ Ἐκκλησίᾳ, εἰπὼν τοῖς Ἀποστόλοις «ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει (Λουκ. 10, 16) «ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ Οὐρανῷ, καὶ ὅσα ἐὰν λύπητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ οὐρανῷ (Ματθ. 18, 18)· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, καγὼ πέμπω ὑμᾶς· ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται (Ἰωαν. 20, 21. 23). Οἱ δὲ Ἀπόστολοι ἐχρήσαντο τῇ ἐξουσίᾳ ταύτῃ. Καὶ δὴ ἐν τῇ ἐν Ἱερουσαλὴμ Συνόδῳ ἔθεντο νόμον ἀπαγορεύοντα τὰ εἰδωλόθυτα, καὶ αἴροντα τὸ βάρος τοῦ Μωσαϊκοῦ τελετουργικοῦ νόμου καὶ τὴν τούτου τήρησιν (Πραξ. 15, 23 καὶ 16, 4), ἐπετήρουν αὐστηρῶς τὰ ἤθη τῶν χριστιανῶν καὶ ἐπετίμων καὶ ἐπαίδευον τοὺς παραβάτας, ὡς τὸν Ἀνανίαν καὶ τὴν Σαπφείραν ὁ Πετρος, Ὑμέναιον καὶ Ἀλέξανδρον ὁ Παῦλος καὶ τὸν Κορίνθιον αἱμομίκτην (Πραξ. 5, 1 Τιμ. 1, 20. 1 Κορ. 5,)· γράφει δὲ καὶ τοῖς Κορινθίοις, ὅτι ἔχει ἐν ἑτοίμῳ ἐκδικῆσαι πᾶσαν παρακοὴν, καὶ ὅτι οὐκ αἰσχύνεται καυχήσασθαι περὶ τῆς ἐξουσίας, ἧς ἔδωκεν ὁ Κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν (2 Κορ. 10, 6. 8). Τὰ αὐτὰ δ' ἐνετείλαντο τοῖς διαδόχοις· καὶ ὁ μὲν Ἀπόστολος Πέτρος παραινεῖ τοῖς πρεσβυτέροις ποιμαίνειν τὸ ποίμνιον τοῦ Θεοῦ (1 Πετρ. 5, 2. 3), ὁ δὲ Ἀπόστολος Παῦλος παραινεῖ τοῖς πρεσβυτέροις τῆς Ἐκκλησίας τῆς ἐν ἐφέσῳ ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ (Πραξ. 20. 28), καὶ τῷ Τιμοθέῳ γράφει

τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε· ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι (1 Τιμ. 5, 20), οὕτω καὶ τῷ Τίτῳ «ἔλεγχε ἀποτόμως μετὰ πάσης ἐπιταγῆς ἵνα ὑγειαίνωσιν ἐν τῇ πίστει (1, 13. 2, 15) «αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ (3, 10). Καὶ μετὰ τοὺς Ἀποστόλους πάντοτε ἐχρῆτο τῇ ἐξουσίᾳ ταύτῃ καὶ οἱ πιστοὶ πάντοτε ὑπεῖκον τῇ Ἐκκλησίᾳ ὡς αὐτῷ τῷ Κυρίῳ. Δῆλον δὲ ὅτι ἡ ἐκκλησιαστικὴ ἐξουσία φέρει τὸν χαρακτῆρα τοῦ σκοποῦ αὐτῆς τὸν καθαρῶς πνευματικὸν, καὶ ἠθικὸν, οὐδένα δὲ σωματικὸν καὶ πολιτικόν. Ἡ ἀξία δὲ τῆς τοιαύτης ἐξουσίας καταφαίνεται α) ἐκ τῶν χαρακτήρων τῆς Ἐκκλησίας, ἥτις ἁγία, καθολικὴ, καὶ Ἀποστολικὴ, καὶ ἀναμάρτητος, ἄρα καὶ ἡ ἐξουσία ἡ ἐν αὐτῇ ἱερὰ καὶ ἀναντίῤῥητος· β) Ἐκ τῶν σαφῶν τοῦ Ἰησοῦ Χριστοῦ λόγων «ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ Τελώνης (Ματθ. 18, 17).

§ 267. *Ἡ ἐξωτερικὴ τῆς Ἐκκλησίας μορφή.*

Ἡ Ἐκκλησία, ὡς καὶ πᾶσα καλῶς διακεκοσμημένη Κοινωνία, συνίσταται οὐχὶ ἐξ ἴσων μελῶν, ἀλλ' ἐξ ὑπηκόων καὶ χειραγωγουμένων, ἡγουμένων καὶ χειραγωγῶν· καὶ οἱ μὲν ποίμνη, οἱ δὲ ποιμένες καλοῦνται, καὶ Ἐκκλησιαστικὴ ἱεραρχία ἡ τούτων ἀρχή.

§ 268. *Ἡ θεόθεν ἀρχὴ καὶ ἐξακολούθησις τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας.*

Ὡς ἐν τῇ Ἐκκλησίᾳ τῆς Π. Διαθήκης ὑπ' αὐτοῦ τοῦ Θεοῦ καθιδρύεται ἱεραρχία εἰς διακονίαν ἐν τῷ Ναῷ καὶ ἱερουργίαν, καὶ πρὸς τοῦτο μία μόνον φυλὴ ἡ Λευϊτικὴ ἐκλέγεται καὶ καθιεροῦται δι' ἰδιαιτέρας τελετῆς, οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ τῆς Κ. Δια-

θήκης εὐθὺς ἐξ ἀρχῆς καθίδρυσεν ἱεραρχίαν αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, καὶ μετὰ ταῦτα διηνεκῶς διατελεῖ αὐτὸ τοῦτο πράττων. Τοῦτο δὲ α) καταφαίνεται ἀριδήλως ἐκ τούτου, ὅτι, καίπερ Αὐτὸς ὢν αἰώνιος Ἀρχιερεὺς καὶ Ἀρχιποιμὴν ἐν τῇ ἰδίᾳ Ἐκκλησίᾳ, ηὐδόκησεν ὅμως, ὅπως ἐκ τῶν πιστευόντων εἰς Αὐτὸν εἰς διακονίαν ἑαυτῷ ἐκλέξηται Ἀποστόλους (Λουκ. 6, 13. Ματθ. 10,), καὶ αὐτοῖς ενεχείρισε τὴν τριμερῆ ἐξουσίαν τῆς Ἐκκλησίας τοῦ διδάσκειν, ἱερουργεῖν, καὶ ποιμαίνειν, οὐχὶ δὲ παντὶ τῷ πιστεύοντι (Ματθ. 28, 19. 18, 18. Λουκ. 22, 19). Ἔλεγε δ' αὐτοῖς· « καθὼς ἀπέσταλκέμε ὁ Πατὴρ, κἀγὼ πέμψω ὑμᾶς» (Ἰωαν. 20, 21). « ἐγὼ ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς. ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ » (Ἰωαν. 15, 16). Πρὸς δὲ τούτῳ ἐπηγγείλατο εἶναι μετὰ τῶν Ἀποστόλων « πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος », καὶ διὰ τοῦτο σαφῶς ἐδήλωσε τὸ θέλημα αὐτοῦ, ὅπως ἡ Ἀποστολικὴ διακονία καὶ μετὰ τοὺς Ἀποστόλους μεταβαίνῃ διηνεκῶς καὶ κατὰ διαδοχήν. Διὰ τοῦτο β) ὁ Ἀπόστολος Παῦλος ῥητῶς εἰς Αὐτὸν τὸν Ἰησοῦν Χριστὸν ἀνάγει τὴν τῶν ποιμένων ἀρχὴν οὐ μόνον δὲ τὸ κατ' ἀρχὰς, ἀλλὰ καὶ μετὰ ταῦτα· τὸν δὲ σκοπὸν τῆς Ἐκκλησίας καὶ τὰ δι' οὗ κατορθοῦται οὗτος συγκεντροῖ ἐν αὐτοῖς. « καὶ Αὐτὸς ἔδωκε τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ Προφήτας, τοὺς δὲ Εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ », καὶ τοῦτο καθ' ἅπαντα τὸν χρόνον. « μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ » (Ἐφ. 4, 11—23. 1 Κορ. 12, 28. 29). Καὶ ἐν ἑτέρῳ χωρίῳ λέγει. « οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών » (Ἑβρ. 5, 4). Μαρτυροῦσι δὲ καὶ αἱ πράξεις τῶν Ἀποστόλων, ὅτι οἱ Ἀπόστολοι

ἦσαν ὄντως οἱ πρῶτοι Ἱεράρχαι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ καὶ κατὰ πρῶτον αὐτοὶ μόνοι καὶ ἐκήρυττον τὸν λόγον τοῦ Θεοῦ, καὶ ἐτέλουν τὰ Μυστήρια, καὶ ἑτοιμάζοντες τοὺς πιστεύοντας, οἵτινες ἐπείθοντο αὐτοῖς, ὡς αὐτῷ τῷ Κυρίῳ. Μετὰ δὲ ταῦτα ἐξεπλήρωσαν τὸ θέλημα τοῦ Ἰησοῦ Χριστοῦ, καθιστάντες ἐν πολλαῖς πόλεσι διαδόχους, πρεσβυτέρους καὶ ἐπισκόπους, μεταδιδόντες αὐτοῖς τὴν χάριν διὰ χειροθεσίας (Πραξ. 14, 23), καὶ παραδιδόντες αὐτοῖς ἰδίας ὁδηγίας (Πραξ, 20, 28. 1 Πετρ. 5, 2. 3. 2Τιμ. 4, 2. 5. Τιτ. 1, 5). Οὗτοι δὲ μετεδίδοσαν τὰ ἴδια δικαιώματα τοῖς διαδόχοις, καὶ οὗτοι τοῖς ἑαυτῶν, καὶ οὕτω δι' ἀῤῥήκτου σειρᾶς διαδόχων ἡ χειροτονία ἐξίκετο μέχρις ἡμῶν, καὶ διατελέσει μέχρι συντελείας αἰῶνος ὑπάρχουσα.

§ 299. *Ἡ Ἀξία ταύτης.*

Ἐπειδὴ ἡ Ἱεραρχία θεῖον καθίδρυμα ἐν τῇ Ἐκκλησίᾳ καὶ ὁ σκοπὸς τῆς Ἐκκλησίας κατορθοῦται μόνον διὰ τῆς Ἱεραρχίας, καὶ ἐν ταῖς χερσὶ ταύτης ἡ ἐξουσία τοῦ διδάσκειν, ἱερουργεῖν καὶ κυβερνᾶν, διὰ τοῦτο δῆλον ἤδη, ὅτι ἄνευ Ἱεραρχίας οὐ δύναται ὑπάρχειν Ἐκκλησία, καὶ διαῤῥαγνυμένης τῆς Ἱεραρχίας, παύεται ἡ Ἐκκλησία ὑπάρχουσα, καὶ ἀπόλλυσι τὸν κύριον αὐτῆς χαρακτῆρα τῆς μιᾶς, ἁγίας, ἀποστολικῆς, ἀναμαρτήτου, ἀκενώτου. Διὰ τοῦτο καὶ λέγει ὁ Ἰησοῦς Χριστὸς τοῖς Ἀποστόλοις, « ὁ ὑμῶν ἀκούων, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ » (Λουκ. 10, 16)· Ὁ δὲ Ἀπόστολος Παῦλος κελεύει « πείθεσθε τοῖς ἡγουμένοις καὶ ὑπείκετε αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες » (Ἑβρ. 13, 17). « καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκ περισσοῦ ἐν ἀγάπῃ » (1 Θεσσαλ. 5, 12. 13). Ὁ Ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος λέγει « χωρὶς τούτων (τοῦ ἐπισκόπου πρεσβυτέρων καὶ διακόνων) ἐκκλησία οὐ καλεῖται » (1). ὅτι οὐκ ἐξόν ἐστιν

(1) Πρὸς Τραλ. 3.

χωρὶς Ἐπισκόπου οὔτε βαπτίζειν, οὔτε ἀγάπην ποιεῖν » (1). Ὁ δὲ ἅγιος Κυπριανὸς γράφει· « γίνωσκε ὅτι ὁ Ἐπίσκοπος ἐν τῇ Ἐκκλησίᾳ καὶ ἡ Ἐκκλησία ἐν τῷ Ἐπισκόπῳ· εἰδέ τις οὐκ ἐν τῷ Ἐπισκόπῳ οὐδ' ἐν τῇ Ἐκκλησίᾳ » (2). Τέλος οἱ Συνοδικοὶ κανόνες ἀναθέματι παραδιδόασι τὰς κοινωνίας καὶ χριστιανοὺς τοὺς τελοῦντος τὰ τοῖς ποιμέσι μόνοις προσήκοντα « εἴτις, λέγει ὁ 6ος κανὼν τῆς ἐν Γάγγρᾳ Συνόδου, παρὰ τὴν Ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοι, καὶ καταφρονῶν τῆς Ἐκκλησίας, τὰ τῆς Ἐκκλησίας ἐθέλοι πράττειν, μὴ συνόντος τοῦ Πρεσβυτέρου, κατὰ γνώμην τοῦ Ἐπισκόπου, ἀνάθεμα ἔστω. »

§ 270. *Οἱ βαθμοὶ τῆς Ἱεραρχίας.*

Οἱ βαθμοί, ὡς τούτους κατεστήσατο ὁ Χριστὸς καὶ οἱ Ἀπόστολοι, εἰσὶ τρεῖς· καὶ πρῶτος μὲν ὁ τῶν Ἐπισκόπων, δεύτερος ὁ τῶν πρεσβυτέρων, καὶ τρίτος ὁ τῶν διακόνων. Τούτῳ δὲ μαρτυρεῖ ἥτε Ἁγία Γραφὴ καὶ ἡ ἱερὰ Παράδοσις.

α) Ἐν τῇ Ἁγίᾳ Γραφῇ· 1) ὀνομάζονται ῥητῶς καὶ κατ' ὄνομα οἱ βαθμοὶ οὗτοι. Οὕτω συνεχῶς ἀπαντᾶται παρὰ τῷ Ἀποστόλῳ τὸ ὄνομα *τοῦ Ἐπισκόπου* (Πραξ. 20, 28. 1 Τιμ. 3, 1. 1 Τιτ. 1, 7. Φιλιπ. 1, 1). *τοῦ Πρεσβυτέρου* διακρινομένου τοῦ Ἐπισκόπου (Πραξ. 14, 23. 20, 17. Τίτ. 1, 5. 1 Τιμ. 5, 1. 17. 19. Ἰακ. 5. 14)· *τοῦ Διακόνου* διακρινομένου καὶ τούτου τῶν Ἐπισκόπων καὶ Πρεσβυτέρων (Πραξ. 6, 1 . . . 1 Τιμ. 3, 8. Φιλιπ. 1, 1. 2). 2) Διακρίνονται τὰ ἀξιώματα αὐτῶν καὶ σαφῶς ἀποδίδονται ἡ ὑπεροχὴ τῷ Ἐπισκόπῳ καὶ τὸ δικαίωμα τοῦ χειροτονεῖν πρεσβυτέρους (Τίτ. 1, 5. 1 Τιμ. 5, 22), δικάζειν αὐτοὺς (1 Τιμ. 5, 19), ἀμείβειν (αὐτόθι 15 στίχ). Τὸ δὲ καθῆκον τῶν πρεσβυτέρων δείκνυται παρὰ τῷ

(1) Πρὸς Σμυρν. 8.
(2) de unit Eccl.

Ἀποστόλῳ Ἰακώβῳ (5, 14) καὶ Παύλῳ (Τίτ. 1, 9. 1 (Τιμ. 5, 17. 19). τὸ δὲ τῶν διακόνων ἐν ταῖς Πράξεσι (6, 7. 8). 3) Δείκνυται, ὅτι ἐν ἑκάστῃ μερικῇ Ἐκκλησίᾳ οὐ πλείους, ἀλλ' εἷς μόνον Ἐπίσκοπος ὀφείλει εἶναι ὁ κύριος κυβερνήτης τῆς Ἐκκλησίας καὶ πάντων τῶν πρεσβυτέρων καὶ διακόνων, οἵτινες δύνανται εἶναι πολλοί. Οὕτω δὲ μόνος ὁ Τιμόθεος προΐσταται τῆς ἐν Ἐφέσῳ Ἐκκλησίας, ὁ Τίτος τῆς ἐν Κρήτῃ, καὶ τούτοις παραγγέλλεται καθιστάναι πολλοὺς πρεσβυτέρους (Τίτ. 1, 5. 1 Τιμ. 5, 17. Ἀποκ. 1, 2. 3).

6) Ὅτι δὲ οἱ τρεῖς οὗτοι βαθμοὶ τῆς Ἱεραρχίας καὶ μετὰ τοὺς Ἀποστόλους πάντοτε ὑπῆρχον ἐν τῇ Ἐκκλησίᾳ ὡς Θεοσύστατοι, καὶ καθαρῶς διεκρίνοντο ἀλλήλων, περὶ τούτου μαρτυρεῖ τρανῶς ἡ Ἱστορία τῆς Ἐκκλησίας καὶ οἱ Πατέρες καὶ διδάσκαλοι Αὐτῆς. Καὶ δὴ ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος γράφει τοῖς Τραλλιανοῖς. « Πάντες ἐντρεπέσθωσαν τοὺς διακόνους, ὡς ἐντολὴν Ἰησοῦ Χριστοῦ, καὶ τὸν Ἐπίσκοπον ὡς Ἰησοῦν Χριστὸν, ὄντα Υἱὸν τοῦ Πατρὸς, τοὺς δὲ πρεσβυτέρους, ὡς συνέδριον Θεοῦ, καὶ ὡς σύνδεσμον Ἀποστόλων. » Ὁ δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τοῖς τρισὶ βαθμοῖς τῆς Ἱερωσύνης εὑρίσκει εἰκόνα τῶν Ἀγγελικῶν ταγμάτων (1). Ὑπὸ δὲ τῶν κανόνων τῶν Συνόδων τῶν τε Οἰκουμενικῶν καὶ τῶν τοπικῶν ὁρίζονται εὐκρινῶς καὶ τὰ καθήκοντα καὶ ἡ ἀμοιβαία σχέσις τῶν τριῶν βαθμῶν. Ὅ,τι δ' ἀφορᾷ τὴν κυβέρνησιν πολλῶν μερικῶν Ἐκκλησιῶν, ὧν προΐστανται Ἐπίσκοποι, ἔκπαλαι ἡ Ἐκκλησία, κατὰ παράδοσιν βεβαίως Ἀποστολικὴν, εἶχε τοιαύτην τάξιν, ὥστε τινὲς ἐπισκοπικοὶ Θρόνοι ἀμέσως ὑπὸ τῶν Ἀποστόλων καθιδρυθέντες καὶ ἐν ταῖς ἐπιφανεστάταις τῶν πόλεων ταῖς πρώταις ἐν ταῖς Διοικήσεσι, εἶχον τὰ πρεσβεῖα, δι' ὃ οἱ τοῖς αὐτῆς Διοικήσεως Ἐπίσκοποι ὑπέκειντο τῷ τῆς πρω-

(1) Στρωμ. 6, 13.

τευούσης πόλεως. Ἐντεῦθεν δὲ προῆλθον οἱ Πατριάρχαι, Μητροπολῖται καὶ Ἀρχιεπίσκοποι, οἵτινες οὐκ εἰσὶ τέταρτος βαθμὸς Ἱερωσύνης, ἀλλ' ἔχουσι μόνον πρεσβεῖα τιμῆς καὶ δικαιωμάτων. Κέντρον δ' ἁπασῶν τῶν Ἐκκλησιῶν καὶ ἀνώτατος βαθμὸς Ἱερωσύνης οὐκ ἔξεστι, οὐδὲ δύναται εἶναι ἕν τι πρόσωπον, ὡς τις ὁρατὴ κεφαλὴ τῆς Ἐκκλησίας. Διότι τοῦτο α) ἀντιβαίνει τῇ περὶ Ἐκκλησίας ἐννοίᾳ, ἥτις ἐστὶ σῶμα Χριστοῦ, καὶ ἔχει μίαν αἰώνιον καὶ ἀπαράίτητον Κεφαλὴν αὐτὸν τὸν Ἰησοῦν Χριστόν. β) Οὐ στηρίζεται ἐπὶ τῆς Ἁγίας Γραφῆς· διότι ἐν ταύτῃ οὐδὲν χωρίον, ὅπερ εἴτε κατὰ γράμμα, εἴτε κατὰ πνεῦμα στηρίζει ἱκανῶς τοιοῦτο τι· ἄλλως, εἰ τοῦτο ἀναγκαῖον ἦν, πάντες καὶ ὁ Ἰησοῦς Χριστὸς καὶ οἱ Ἀπόστολοι ἐδήλωσαν ἂν σαφῶς τὸ ἑαυτῶν θέλημα περὶ τοσοῦτον σπουδαίου δόγματος τῆς Χριστιανικῆς πίστεως. γ) Οὐ στηρίζεται οὔτε ἐπὶ τῆς παραδόσεως τῆς ἀποστολικῆς καὶ τοῦ παραδείγματος τῆς Ἐκκλησίας τῆς τε Ἀποστολικῆς καὶ τῆς Οἰκουμενικῆς. Διότι καθ' ἅπαντας τοὺς ὀκτὼ αἰῶνας οὐδαμοῦ, οὔτε ἐν τῇ πράξει τῆς Ἐκκλησίας, οὔτε ἐν τοῖς ὅροις τῶν Οἰκουμενικῶν Συνόδων, οὔτε ἐν τοῖς συγγράμμασι τῶν ἁγίων Πατέρων εὑρίσκομεν ἴχνος τι περὶ ὁρατῆς Κεφαλῆς ἐν τῇ Ἐκκλησίᾳ· ἀλλ' ἐστὶ καινοτομία καὶ ἀξίωσις μόνης τῆς Δύσεως. Ἀντὶ τούτου κέντρον καὶ ἀνώτατος βαθμὸς Ἱερωσύνης ὀφείλουσιν εἶναι αἱ *Οἰκουμενικαὶ Σύνοδοι*. Ἐν Συνόδοις οἱ Ἀπόστολοι ὥρισαν τὴν κατάστασιν τῶν διακόνων καὶ κατάργησιν τοῦ τελετουργικοῦ Νόμου. Ἐν Συνόδοις καὶ ἡ ἀρχαία Ἐκκλησία, ἑπομένη τοῖς Ἀποστόλοις (1), ὥρισε τὰ τὴν Οἰκουμενικὴν Ἐκκλησίαν ἀφορῶντα, ἤτοι τὰ δόγματα καὶ τὰ τῆς κοινῆς εὐταξίας.

---

(1) Ἀποστ. Καν. 37ος.

§ 271. *Τὸ ἀξίωμα τῶν Οἰκουμενικῶν Συνόδων.*

Ἐντεῦθεν συνάγεται τὸ ἀξίωμα τῶν Συνόδων ἐν τῇ Ἐκκλησίᾳ πρὸς στερέωσιν τῶν δογμάτων, καὶ διάταξιν τῶν κανόνων, ὡμολογημένων παρ' ἁπάσῃ τῇ Ἐκκλησίᾳ ὡς ἀναντιῤῥήτων καὶ νομίμων. Αἱ Σύνοδοι εἰσὶν ἡμῖν ὁ ἀναντίῤῥητος κανὼν τῆς πίστεως καὶ τοῦ βίου, καὶ ἀπαραίτητον ἡ ὑπακοὴ ταύταις. Διότι α) παριστᾶσιν ἡμῖν τὴν Οἰκουμενικὴν Ἐκκλησίαν τὴν ἁγίαν, ἀποστολικὴν καὶ ἀναμάρτητον, καὶ οἱ ὅροι αὐτῶν εἰσιν ἡ φωνὴ τῆς Καθόλου Ἐκκλησίας. β) Εἰσὶ θεοσύστατον καθίδρυμα κεκυρωμένον τῷ θελήματι τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων· διὸ καὶ εἰς ταύτας ἀναφέρονται αἱ ἐπαγγελίαι τοῦ Ἰησοῦ Χριστοῦ τοῦ εἶναι μετὰ τῆς Ἐκκλησίας μέχρι συντελείας αἰῶνος (Ματθ. 28, 19), εἶναι ἐν τῷ μέσῳ τῶν πιστευόντων, ὅπου ἂν ὦσι δύω ἢ τρεῖς συνηγμένοι εἰς τὸ ὄνομα Αὐτοῦ (Ματθ. 18, 20), καὶ δωρήσασθαι αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα μένῃ μετ' αὐτῶν εἰς τὸν αἰῶνα (Ἰωαν. 14, 16). γ) Οὕτως ἐθεώρουν τὰς Συνόδους καὶ αὐτοὶ οἱ Ἀπόστολοι, διὸ καὶ ἄρχονται τοῦ ὅρου διὰ τῶν λέξεων *ἔδοξε τῷ Πνεύματι τῷ Ἁγίῳ καὶ ἡμῖν* (Πραξ. 15, 28). Οὕτω δὲ καὶ οἱ Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας ἐθεώρησαν τὰς Συνόδους· ὁ λόγος τοῦ Θεοῦ διὰ τῆς ἐν Νικαίᾳ Οἰκουμενικῆς Συνόδου, λέγει ὁ ἅγιος Ἀθανάσιος, μένει εἰς τὸν αἰῶνα (1). Ἡ δὲ ἐσχάτη Οἰκουμενικὴ Σύνοδος εἶπε περὶ τῶν πρὸ Αὐτῆς· « ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀτάλευτον κρατύνομεν... ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα » (2.) Διὰ τοῦτο ἀφορίζονται ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ οἱ

(1) Πρὸς Ἀφρικ.
(2) Κανν. 1οι.

ἀπορρίπτοντες τὰς Συνόδους τῶν ἁγίων Πατέρων καὶ τὰς παραδόσεις αὐτῶν τὰς συνῳδοὺς τῇ θείᾳ Ἀποκαλύψει, καὶ εὐσεβῶς ὑπὸ τῆς Ὀρθοδόξου Ἐκκλησίας τηρουμένας (1).

§ 272. *Αἱ Σύνοδοι αἱ ἐν τῇ Ἐκκλησίᾳ ὡς ἀσφαλὴς κανὼν τῆς Πίστεως καὶ εὐσεβείας.*

Αἱ Σύνοδοι αἱ παραδεδεγμέναι ἐν τῇ Ἐκκλησίᾳ, ὡς κανόνες ἀσφαλεῖς τῆς Πίστεως καὶ εὐσεβείας εἰσὶν αἱ ἀκόλουθοι.

Οἰκουμενικαὶ 1) Ἡ ἐν Νικαίᾳ πρώτη κατὰ τὸ 325ον ἔτος ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου, παρόντων 318 Πατέρων, κατὰ Ἀρείου.

2) Ἡ ἐν Κωνσταντινουπόλει πρώτη κατὰ τὸ 381 ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου, προεδρεύοντος μὲν Νεκταρίου Κωνσταντινουπόλεως, παρόντων δὲ 150 Πατέρων, κατὰ Μακεδονίου.

3) Ἡ ἐν Ἐφέσῳ κατὰ τὸ 431 ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ, προεδρεύοντος μὲν Κυρίλλου Ἀλεξανδρείας, παρόντων δὲ 200 Πατέρων, κατὰ Νεστορίου.

4) Ἡ ἐν Χαλκιδόνι κατὰ τὸ 451 ἐπὶ Μαρκιανοῦ Αὐτοκράτορος, προεδρεύοντος μὲν Ἀνατολίου Κωνσταντινουπόλεως παρόντων δὲ 630 Πατέρων, κατὰ Εὐτυχοῦς καὶ Μονοφυσιτῶν.

5) Ἡ ἐν Κωνσταντινουπόλει δευτέρα κατὰ τὸ 553 ἐπὶ Ἰουστινιανοῦ τοῦ Μεγάλου, προεδρεύοντος μὲν Εὐτυχίου Κωνσταντινουπόλεως, παρόντων δὲ 165 Πατέρων, κατὰ τῶν τριῶν κεφαλαίων, ἤτοι τῶν συγγραμάτων Θεοδώρου Μοψουεστίας, Θεοδωρήτου, καὶ ἐπιστολῆς Ἴβα πρὸς Μάρην τὸν Πέρσην.

6) Ἡ ἐν Κωνσταντινουπόλει τρίτη, κατὰ τὸ 680 ἐπὶ Κωνσταντίνου Πωγωνάτου, παρόντων 170 Πατέρων, κατὰ τῶν

(3) Ἀκολ. ἐν τῇ Κυρ. τῆς Ὀρθ.

Μονοθελητῶν. Μετὰ ταύτης ἑνοῦται ἡ ἐν Τρούλλῳ Σύνοδος (ἡ καὶ Πενθέκτη) κατὰ τὸ 691 ἐπὶ Ἰουστινιανοῦ τοῦ Βου, ἐκδοῦσα κανόνας πρὸς διακόσμησιν τῆς Ἐκκλησίας.

7) Ἡ ἐν Νικαίᾳ δευτέρα κατὰ τὸ 788 ἐπὶ Εἰρήνης καὶ Κωνσταντίνου, προεδρεύοντος μὲν Ταρασίου, παρόντων δὲ 369 πατέρων, κατὰ τῶν Εἰκονομάχων.

Τοπικαί. Αὗται κατὰ τὴν ἐν Τρούλλῳ Σύνοδον εἰσίν. Ἡ ἐν Ἀγκύρᾳ, ἡ ἐν Νεοκαισαρείᾳ, ἡ ἐν Γάγγρᾳ, ἡ ἐν Ἀντιοχείᾳ, ἡ ἐν Σαρδικῇ, ἡ ἐν Λαοδικείᾳ, ἡ ἐν Καρχιδόνι, ἡ ἐν Κωνσταντινουπόλει. Ταύταις προσετέθη κατὰ τὸν 9ον αἰῶνα καὶ ἡ δευτέρα ἐν Κωνσταντινουπόλει ἐπὶ Φωτίου, ἡ πρώτη καὶ δευτέρα λεγομένη.

§ 273. *Ἀναγκαῖον πρὸς σωτηρίαν διαμένειν ἐν τῇ Ἐκκλησίᾳ.*

Ἐπειδὴ ἡ σωτηρία μόνον διὰ Χριστὸν Ἰησοῦν καὶ διὰ τὴν ἀξιομισθίαν αὐτοῦ δυνατὴ, ἐν μόνῃ δὲ τῇ Ἐκκλησίᾳ τὰ πρὸς οἰκείωσιν τῆς ἀξιομισθίας ὄργανα τῆς χάριτος (διότι ἐν αὐτῇ ἡ ἀληθὴς διδασκαλία τῆς πίστεως, ἐν αὐτῇ τὰ Μυστήρια, δι' ὧν ἀναγεννᾶται ὁ ἄνθρωπος καὶ ἁγιάζεται καὶ τελειοῦται, ἐν αὐτῇ ἡ ἀληθὴς χειραγωγία), διὰ τοῦτο δῆλον, ὅτι δυνατὴ ἡ σωτηρία μόνον ἐν τοῖς κόλποις τῆς Ἐκκλησίας, ἐκτὸς δ' αὐτῆς *οὐδεμία σωτηρία*. Λέγει δὲ τοῦτο αὐτὸς ὁ Ἰησοῦς Χριστός. «Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται (Μαρκ. 16, 16). «Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς» (Ἰωαν. 6, 53). «Ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστωσοι ὡς περ ὁ ἐθνικὸς καὶ ὁ τελώνης (Ματθ. 18, 17). Οἱ δὲ ἅγιοι Πατέρες παρεικάζουσι τὴν Ἐκκλησίαν τῇ Κιβωτῷ τοῦ Νῶε, ἐν ᾗ μόνῃ ἡ σωτηρία ἀπὸ τοῦ

Κατακλυσμοῦ ἦν. Ὁ δὲ ἅγιος Κυπριανὸς καλῶς πάνυ λέγει *Θεὸν Πατέρα οὐκ ἔχει, ὁ μὴ ἔχων μητέρα τὴν Ἐκκλησίαν* (1) Πρὸς τούτους, ἐπειδὴ ἡ Ἀποστολικὴ καὶ Καθολικὴ Ἐκκλησία ἐστὶ μία καὶ ὁρατή· δῆλον ἄρα, ὅτι ἐκτὸς τῆς μιᾶς καὶ ὁρατῆς Ἐκκλησίας οὐδεμία σωτηρία, μὴ ὑπαρχόντων ἀλλαχοῦ μήτε ἀληθοῦς καὶ σωτηρίου διδασκαλίας, μήτε τοιούτων ὀργάνων ἁγιασμοῦ καὶ τελειώσεως, ἅμα δὲ καὶ χειραγωγίας. Τοῦτο δὲ βεβαιοῖ ὁ Ἀπόστολος Παῦλος, ὅστις ἀποκλείει τῆς σωτηρίας οὐ μόνον τοὺς ἀπίστους ἀλλὰ καὶ τοὺς κακῶς πιστεύοντας. « Εἴτις ὑμᾶς εὐαγγελίζεται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω » (Γαλ. 1, 8. 9). παρακαλεῖ δὲ τοὺς μαθητὰς « σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν, ἣν αὐτοὶ ἔμαθον, ποιοῦντας, καὶ ἐκκλίνειν ἀπ' αὐτῶν Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ » (Ῥωμ. 16, 17. 18). Ἐντεῦθεν δ' ἕπεται, ὅτι ἀδύνατον, ἄνευ ζημίας ἐν τῇ σωτηρίᾳ, ψυχρῶς ἔχειν καὶ ἀδιαφορεῖν περὶ τὴν πίστιν τὴν ἀληθῆ, καὶ τὴν ἀληθῆ Ἐκκλησίαν.

§ 274. *Ἡ περὶ Ὀρθοδοξίας καὶ ἑτεροδοξίας ἔννοια.*

Ἡ ἀληθὴς καὶ μόνη Ἐκκλησία τοῦ Χριστοῦ καλεῖται ὀρθόδοξος, καὶ ὁ χριστιανὸς ὁ μέλος ὢν ταύτης, ἤτοι ἀκριβῶς κατὰ τὴν διδασκαλίαν αὐτῆς ὁμολογῶν τὴν χριστιανικὴν πίστιν καὶ κοινωνῶν τῶν Μυστηρίων τῆς Ἐκκλησίας, καὶ τηρῶν καὶ ἐκπληρῶν πάσας τὰς διατάξεις αὐτῆς, καὶ πειθόμενος τῇ Ἱεραρχίᾳ, οὗτος καλεῖται ὀρθόδοξος. Αἱ δὲ λοιπαὶ ὁμολογίαι τῆς πίστεως, αἱ μᾶλλον ἢ ἧττον ἀπομακρυνόμενοι τῆς καθαρότητος τῆς ἀληθοῦς πίστεως, καλοῦνται ἑτερόδοξοι ὡς καὶ ἑτε-

(1) Non potest habere deum patrem, qui non habet Ecclesiam matrem, De unit. Eccles.

ρόδοξος ὁ τοιοῦτος χριστιανός. Ὀνομάζονται δὲ οὗτοι ἢ αἱρετικοί, ὅταν ἐκτρέπωνται τῆς ἑνότητος τῆς Ἐκκλησίας, διότι νοσοῦσι περί τι δόγμα τῆς Ἐκκλησίας, ἢ σχισματικοί, ὅταν μὴ πείθωνται τῇ μιᾷ νομίμῳ Ἐκκλησιαστικῇ ἐξουσίᾳ. Καὶ τοὺς μὲν πρώτους ἀφορίζει τῆς Ἐκκλησίας ὁ Ἀπόστολος· «αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ εἰδὼς ὅτι ἐξέστραπται, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος (Τιτ. 3, 10. 11)· οἱ δὲ δεύτεροι ἀφορίζουσιν αὐτοὶ ἑαυτοὺς παρὰ τὴν παραίνεσιν τοῦ Ἀποστόλου «ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ἕν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν (Ἐφ. 4, 2—6.).

§ 275. *Ἡ Ὀρθοδοξία τῆς ἀνατολικῆς Ἐκκλησίας.*

Ἡ ἀληθὴς καὶ ὀρθόδοξος Ἐκκλησία τοῦ Χριστοῦ ἐστὶν ἡ Ἀνατολική. Τοῦτο καταφαίνεται ἐκ τούτου, ὅτι

α) Αὕτη ἀναντιῤῥήτως ἔχει τὴν ἀρχὴν ἀπὸ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων, οἵτινες ἦσαν θεμελιωταὶ αὐτῆς οὐ μόνον ἐν γένει ἀλλὰ καὶ ἰδίᾳ. Οὕτως ἐν Ἱεροσολύμοις, Ἀντιοχείᾳ, Ἀλεξανδρείᾳ, Βυζαντίῳ, καὶ λοιπαῖς χώραις ὑπ' αὐτῶν τῶν Ἀποστόλων καθιδρύθησαν αἱ ἐπισκοπικαὶ Καθέδραι, καὶ ἕκτοτε ἀδιαῤῥήκως μέχρι τοῦδε διήκουσι, μὴ κατισχυσασῶν τῶν πυλῶν τοῦ ᾅδου, τοῦ ἐγείραντος κατ' αὐτῶν καθ' ἅπαντας τοὺς χρόνους μέχρις ἡμῶν ἀναριθμήτους διωγμοὺς καὶ δεινά.

β) Διακεκόσμηται κατὰ τὸ θέλημα τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων· διότι μίαν κεφαλὴν ἔχει ἀόρατον τὸν

Ἰησοῦν Χριστον, ὁρατοὺς δὲ ποιμένας τοὺς κατ' ἄῤῥηκτον διαδοχὴν μέχρις Ἀποστόλων τὴν ἀρχὴν ἀνάγοντας· διαιρεῖται δὲ ἡ ἱερωσύνη παρ' αὐτῇ εἰς τρεῖς βαθμούς, καὶ ἑκάστη τοπικὴ Ἐκκλησία ἔχει τὸν ἴδιον ἐπίσκοπον, οἵτινες πάντες ὁμοῦ ὁμολογοῦσι καὶ πείθονται τῇ ἀνωτάτῃ ἐξουσίᾳ τῶν Οἰκουμενικῶν Συνόδων.

γ) Ἔχει ἀδιάλειπτον διδασκαλίαν τῆς πίστεως καὶ εὐσεβείας, ἔχει πλήρη καὶ τελείαν τάξιν τῆς Ἀκολουθίας καὶ τῆς Μυσταγωγίας, κυβερνᾷ κατὰ κανόνας ἐκπαλαι τεθειμένους.

δ) Φέρει τὸν χαρακτῆρα τῆς ἀληθοῦς Ἐκκλησίας· διότι 1) ἐστὶν ἁγία ἐν τῇ διδασκαλίᾳ συναδούσῃ τῷ λόγῳ τῷ Θεοῦ καὶ τῇ ἀρχαιοτάτῃ καθαρᾷ καὶ ἀλωβήτῳ παραδόσει τῶν Πατέρων, καὶ οὐδὲν ἐν αὐτῇ ἀπᾴδον τούτοις, οὐδεμία καινοτομία, οὐδὲν ἐπινόημα κενοτόφου Νοὸς ἐστὶν ἐν αὐτῇ. Πρὸς δὲ τούτοις ἱκανὰ τὰ ἐν αὐτῇ τρέφειν καὶ αὔξειν ἐν τοῖς πιστοῖς πάντα τὰ πρὸς σωτήριον πίστιν καὶ εὐσέβειαν· ἐστὶν ἁγία ἐν τοῖς Μυστηρίοις καὶ τελετουργίαις, ἅτινα κατά τε πνεῦμα καὶ σύστασιν ὅλως εὐπρεπῆ καὶ ἄξια τοῦ σκοποῦ, καὶ ἱκανὰ, ὅπως παρέχωσι τοῖς ἀνθρώποις τὸν ἁγιασμὸν τῆς χάριτος, καὶ τρέφωσιν ἐν αὐτοῖς τὴν εὐσεβειαν ἀναρπάζοντα τὴν ψυχὴν εἰς Οὐρανὸν· οὐδὲν δ' ἐν αὐτοῖς ἀπρεπὲς, μάταιον, παχυλὸν, κοσμικόν. Ἔστιν ἁγία ἐν τῇ Ποιμαντορίᾳ, τῇ θεμελιουμένῃ ἐπὶ ἀρχαίων κανόνων καὶ διαταγῶν καὶ καθαρῶς πνευματικῇ οὔσῃ, καὶ ἀποτροπιαζομένῃ πᾶν τὸ πρὸς κοσμικὴν καὶ πολιτικὴν ἐξουσίαν ἄγον· ἔστιν ἁγία τέλος διὰ τὸ ἀνάριθμητον πλῆθος τῶν ὑπ' αὐτῆς παιδαγωγηθέντων ἤδη εἰς τὸ Βασίλειον τῆς δόξης καθ' ἅπαντας τοὺς χρόνους· οὗτοι δ' εἰσὶ τὸ τοσοῦτον νέφος τῶν μαρτύρων, ἱεραρχῶν, ὁσίων, ὁμολογητῶν καὶ λοιπῶν δικαίων, οὓς ἐθαυμάστωσεν ὁ Θεὸς ἐν μεγάλοις θαύμασι, τοῖς ἔτι καὶ νῦν οὐκ ἐκλιποῦσιν. 2) Ἔστιν ὄντως *Καθολική*· διότι, καί περ ἐκ

πλλῶν καὶ παντοίων λαῶν καὶ φυλῶν συγκειμένη, τηρεῖ ἀκριβῶς πᾶν ἔκπαλαι πανταχοῦ καὶ πάντοτε τηρούμενον, τὸ ὑπὸ τῶν Οἰκουμενικῶν συνόδων ὁρισθὲν καὶ κυρωθέν· τηρεῖ ἅμα ἀκριβὲς τὸ Σύμβολον τῆς πίστεως. 3) Ἔστιν ἀληθῶς *Ἀποστολική*· τοῦτο δὲ καταφαίνεται καὶ ἐκ τῆς προειρημένης διαδοχῆς ἀπὸ τῶν Ἀποστόλων, καὶ διότι ἔχει Ἱεραρχίαν καὶ διδασκαλίαν καὶ διαταγὰς ἀποστολικὰ, καὶ διότι διατελεῖ συνδεομένη τοῖς Ἀποστόλοις, διά τε ἐπικλήσεως καὶ τιμῆς καὶ μιμήσεως τοῦ πνεύματος αὐτῶν· διότι, ὡς αὐτοί, ἀδιαλείπτως διάγει ἐν κόπῳ καὶ μόχθῳ καὶ ἐν πάσῃ ὑπομονῇ (2 Κορ. 11, 27. 12, 12). 4) Ἔστι μία· διότι οὐ φέρεται παντὶ πνεύματι διδασκαλίας, ἀλλὰ καί τοι γλῶσσαι πολλαὶ ἐν αὐτῇ εἰσιν, ὅμως μία πίστις, τὰ αὐτὰ Μυστήρια καὶ Ἀκολουθίαι, οἱ αὐτοὶ κανόνες, μία Ἱεραρχία ἔχουσα μίαν ἀόρατον κεφαλὴν τὸν Ἰησοῦν Χριστὸν καὶ τοὺς ποιμένας συνδεομένους ἀλλήλοις τῷ συνδέσμῳ τῆς κοινωνίας καὶ ἀγάπης, δι' ἣν μακρὰν τοῦ πνεύματος τῆς ἔχθρας οὖσα εὔχεται διηνεκῶς ὑπὲρ τῆς ἑνώσεως πάντων, καὶ ἐνεργοῦσα ἕνωσιν οὐ χρῆται βίᾳ καὶ διωγμοῖς καὶ δολίᾳ Προπαγάνδῃ, ἀλλὰ λόγῳ καὶ πειθοῖ καὶ πραότητι.

§ 276. *Ἡ Ὀρθοδοξία τῆς Ῥωσσικῆς Ἐκκλησίας.*

Ὡς μέρος τῆς ἀληθοῦς, ἀνατολικῆς καὶ καθολικῆς Ἐκκλησίας καὶ ἡ Ῥωσσικὴ Ἐκκλησία ἐστὶν ἀντιῤῥήτως Ὀρθόδοξος. Διότι τηρεῖ τὴν ἑνότητα μετ' αὐτῆς ἐν τῷ αὐτῷ Πνεύματι, μία διδασκαλία κηρύττεται πανταχοῦ, τὰ αὐτὰ Μυστήρια καὶ ἐν ταύτῃ εἰσὶν, μία Ἱεραρχία, ἧς οἱ ποιμένες συνδέονται τῇ κεφαλῇ τῷ Ἰησοῦ Χριστῷ καὶ ἀλλήλοις τῷ πνεύματι τῷ ἑνὶ τῆς κοινωνίας καὶ ἀγάπης, ἄρα φέρει τὸν χαρακτῆρα τῆς ἑνότητος· ἔστιν ἁγία διὰ τὴν ἁγιότητα καὶ καθαρότητα, οὐ μόνον παντὸς τοῦ ἐν αὐτῇ, τουτέστι τῆς διδασκαλίας, τῆς Ἱερατελεστίας, τῆς ἀκολουθίας, τῆς

διοικήσεως, ἀλλὰ καὶ τοῦ μεγάλου ἀριθμοῦ τῶν ἐν αὐτῇ τελειωθέντων καὶ ἁγιασθέντων εἰς τὴν Βασιλείαν τῆς δόξης, καὶ οὓς ἤδη ὁρατῶς ὁ Θεὸς ἐθαυμάστωσε θαυματουργίᾳ ἀδιαλείπτῳ ἔτι καὶ νῦν. Οὐδέποτε δ' ἐξέπεσε ἡ ἀφ' ἑαυτῆς συνεστήθη, ἀλλ' ἔστιν ἀληθὴς θυγάτηρ τῆς Ἀνατολικῆς καὶ Καθολικῆς Ἐκκλησίας, παρ' ἧς καὶ τὴν Ἱεραρχίαν ἔλαβε, καὶ τὴν διδασκαλίαν τῆς πίστεως, καὶ τοὺς κανόνας τοὺς κυρωθέντας ἐν τοῖς οἰκουμενικαῖς Συνόδοις, καὶ πάντα ταῦτα τηρεῖ ἀκριβῶς. Ἔστιν Ἀποστολικὴ διότι διὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀνάγει τὴν ἰδίαν ἀρχὴν εἰς τοὺς Ἀποστόλους καὶ τούτων τὴν διδασκαλίαν καὶ διαταγὰς τηρεῖ. Φέρει τὸν πνευματικὸν χαρακτῆρα, ἀπεχομένη πάντοτε παντὸς κοσμικοῦ καὶ οὐδέποτε βίᾳ χρησαμένη πρὸς αὔξησιν τῶν ἰδίων μελῶν, ἢ τήρησιν τῆς ἐν αὐτῇ εἰρήνης. Οὐδέποτε μέχρι τοῦδε ἥμαρτε περί τε τὴν διδασκαλίαν καὶ τὴν τάξιν, ὡς τοῦτο διδάσκει ἡ Ἱστορία καὶ ἡ ἀκριβὴς συμφωνία παντὸς τοῦ ἐν αὐτῇ τοῖς ἀρχαίοις συμβόλοις, κανόσι καὶ τάξει τῆς Ἀνατολικῆς Ἐκκλησίας. Ἐν αὐτῇ οὐκ ἐξέλιπεν ἡ χάρις· διότι καὶ νόμιμον Ἱεραρχίαν ἔχει, καὶ ἀληθῆ διδασκαλίαν τῆς πίστεως καὶ εὐσεβείας, καὶ ἱεροτελεστίαν τῶν μυστηρίων καὶ διοίκησιν.

6) Περὶ τῶν Ὀργάνων τῆς χάριτος τοῦ Θεοῦ ἤτοι περὶ τῶν Μυστηρίων.

§ 277. *Ἡ περὶ τῶν Μυστηρίων ἔννοια.*

Οἰκοδομήσας τὴν Ἐκκλησίαν ἐπὶ τῆς γῆς ὁ Ἰησοῦς Χριστὸς, διατελεῖ, κατὰ τὴν ἐπαγγελίαν (Ματθ. 28, 20), διαμένων ἐν αὐτῇ, καὶ τελῶν ἅμα τὸ μέγα ἔργον τῆς σωτηρίας τῶν ἀνθρώπων τῇ χάριτι τοῦ Ἁγίου Πνεύματος. Ὄργανα δὲ δι' ὧν κατορθοῦται τοῦτο εἰσὶ τὰ Μυστήρια. Μυστήρια δὲ καλοῦνται ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ αἱ θεοσύστατοι

Ἱεροτελεστίαι, ἐν αἷς δι' ὁρατῶν ἢ αἰσθητῶν σημείων μεταδίδοται τοῖς ἀνθρώποις ἡ σωτήριος δύναμις τοῦ Θεοῦ, εἴτε ἡ χάρις τοῦ ἁγίου Πνεύματος.

§ 278. *Τὰ ἀναγκαῖα συστατικὰ πάντων τῶν Μυστηρίων ἐν γένει.*

Ἐκ τῆς περὶ τῶν Μυστηρίων ἐννοίας καταφαίνεται, ὅτι ἀναγκαῖα συστατικὰ τῶν Μυστηρίων εἰσίν.

1) Ἡ *θεόθεν σύστασις*· διότι ὡς ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡ ἁγιάζουσα καὶ σώζουσα τοὺς ἀνθρώπους, χορηγεῖται ἡμῖν ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ, οὕτω καὶ ἀπ' αὐτοῦ ὀφείλουσιν ἔχειν τὴν ἰδίαν ἀρχὴν καὶ αἱ ἱεροτελεστίαι, δι' ὧν μεταδίδοται ἡ χάρις. Διὰ τοῦτο καὶ ὁ Ἀπ. Παῦλος καλεῖ αὐτὰς Μυστήρια Θεοῦ (1 Κορ. 4, 1), οἱ δὲ Πατέρες τῆς Ἐκκλησίας καλοῦσι θεῖα, Χριστοῦ, οὐράνια κτλ.

2) Ὁρατὸν ἢ *αἰσθητὸν σημεῖον*· διότι εἰ καὶ μυστικῶς μεταδίδοται ἡ χάρις ἐν τοῖς Μυστηρίοις, ἀλλὰ δι' ὁρατῆς ἐνεργείας. Τοῦτο δὲ α) διότι ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος συνίσταται, ἄπερ ἀμφότερα χρήζουσι τοῦ ἁγιασμοῦ τῆς χάριτος. « Εἰ μὲν γὰρ ἀσώματος ἦς, λέγει ὁ ἅγιος Χρυσόστομος, γυμνὰ ἂν σοι τὰ ἀσώματα παρέδωκε δῶρα· ἐπειδὴ δὲ σώματι συμπέπλεκται ἡ ψυχή, ἐν αἰσθητοῖς παραδίδωσιν (1). β) Ἵνα τὰ ὁρατὰ σημεῖα στηρίζωσι τὴν ἡμετέραν πίστιν εἰς ἀδιστακτον μετάδοσιν ἡμῖν τῆς χάριτος, καὶ ἐγείρωσιν ἅμα ἐν ἡμῖν ζωηρὰν εὐγνωμοσύνην τῷ Δοτῆρι Θεῷ. γ) Ὅπως διὰ τῶν ὁρατῶν σημείων καταφανέστερον σφραγίζωνται τὰ μέλη τῆς ὁρατῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ στενώτερον συνδέωνται ἀλλήλοις εἰς ἓν σῶμα Χριστοῦ. Τὰ δὲ γενικὰ πάντων τῶν Μυσ-

---

(1) Χρυσ. ὁμολ. 83. εἰς Ματθ.

τηρίων ὁρατὰ σημεῖα ἐστὶν ἡ ἐπίκλησις τοῦ ὀνόματος τοῦ Θεοῦ καὶ τὸ σημεῖον τοῦ σταυροῦ.

3) *Ἡ θεία ἐπαγγελία* τῆς χάριτος, δι' ἣν οἱ μεταλαμβάνοντες τὸ Μυστήριον πιστεύουσιν, ὅτι ταύτῃ ἢ ἐκείνῃ τῇ ἱεροτελεστίᾳ συνδέεται ὄντως αὕτη ἢ ἐκείνη δωρεὰ τοῦ Θεοῦ, καὶ ὅτι τὸ Μυστήριον οὐκ ἔστι μόνον ἀναμνηστικὸν τῆς χάριτος σημεῖον, ἀλλ' ἀληθῶς μεταδοτικὸν ταύτης.

§ 279. *Οἱ Ὅροι.*

Ὡς ἡ χάρις τοῦ Ἁγίου Πνεύματος δίδοται παρὰ Θεοῦ δωρεάν, καὶ οὐχὶ διὰ τὴν ἡμετέραν ἀξιομισθίαν, ἀλλὰ διὰ τὴν τοῦ Χριστοῦ· οὕτω καὶ ἡ τέλεσις τῶν Μυστηρίων, δι' ὧν μεταδίδοται ἡ χάρις, οὐκ ἐξαρτᾶται ἐκ τῆς ἀρετῆς καὶ ἀξιομισθίας τῶν ἐπιτελούντων αὐτὰ καὶ μεταλαμβανόντων. Διότι καὶ ὁ ἀνάξιος τελεστὴς οὐκ ἐλαττοῖ τὴν δύναμιν τῆς χάριτος, καὶ ὁ ἀναξίως μεταλαμβάνων οὐκ αἴρει τὴν δύναμιν ταύτην· Πρὸς ταύτην ἱκανόν ἐστι τὸ ὀρθῶς καὶ ὑπὸ κανονικοῦ τελεῖσθαι. «Τίς ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς, ἀλλ' ἢ διάκονοι, δι' ὧν ἐπιστεύσατε; ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν· ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεὸς (1 Κορ. 3, 5—8). «Ἡ προσφορά, λέγει ὁ Ἅγιος Χρυσόστομος περὶ τοῦ Μυστηρίου τῆς εὐχαριστίας, ἡ αὐτή ἐστι κἂν ὁ τυχὼν προσενέγκῃ.. ὅτι καὶ ταύτην οὐκ ἄνθρωποι ἁγιάζουσιν, ἀλλ αὐτὸς ὁ καὶ ἐκείνην ἁγιάζων (1). «Ὡς τὸ φῶς τοῦ Ἡλίου, διδάσκει ὁ μακ. Αὐγουστῖνος, οὐκ ἀπόλλυσι τὴν ἑαυτοῦ καθαρότητα καὶ ἐν πηλῷ καὶ ἐν ἀκαθαρσίᾳ αὐγάζων, οὕτω καὶ τὸ μυστήριον οὐκ ἀπόλλυσι τὴν ἑαυτοῦ σωτήριον δύναμιν, καὶ ὑπ' ἀναξίων ποιμέ-

(1) Ὁμιλ. 2, ἀρ. 4. εἰς Β' Τιμ. ἴδε καὶ εἰς Ματθ. ὁμιλ. 81 πν.
(2) Tract. 5 in Johan.

νων τελούμενον (2). Διὰ τοῦτο καὶ ὑπὸ τῶν κανόνων ἀπαγορεύεται τὸ ἐπαναλαμβάνειν τὸ Βάπτισμα καὶ αὐτὸ τὸ ὑπὸ αἱρετικῶν τελεσθὲν, εἰ τοῦτο ὀρθῶς ἐτελέσθη (1). Ὅτι ὅμως ἀφορᾷ τὴν σωτήριον ἐνέργειαν τοῦ Μυστηρίου, ἀπαιτεῖ καὶ παρὰ τοῦ τελοῦντος πίστιν, εὐλάβειαν, καὶ συνείδησιν τοῦ τελουμένου, καὶ παρὰ τοῦ κοινωνοῦντος πίστιν καὶ τὴν προσήκουσαν προπαρασκευὴν καὶ ἀξίαν εἰς παραδοχὴν τῆς ἐν τοῖς Μυστηρίοις χάριτος· ἄλλως κατάκριμα ἀμφοτέροις ἐστὶ τὸ Μυστήριον.

§ 280. *Ἀριθμός.*

Μυστήρια ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἔχει ἑπτά· εἰσὶ δὲ Βάπτισμα, Χρίσμα, Μετάληψις, Μετάνοια, Ἱερωσύνη, Γάμος, Εὐχέλαιον. Ταῦτα δὲ α) ἔχουσι πάντα τὰ τῶν Μυστηρίων, ἤτοι θείαν ἀρχὴν, ὁρατὸν σημεῖον καὶ ἐπαγγελίαν τῆς ἀοράτου χάριτος. β) Τὸν ἀριθμὸν τοῦτον τηρεῖ καὶ πάντοτε ἐτήρει ἀπ' αὐτῶν τῶν πρώτων χρόνων ἡ καθόλου Ἐκκλησία. γ) Στηρίζεται καὶ ἐπὶ τῶν μαρτυριῶν τῆς ἁγ. Γραφῆς, ὧν ἡ ἔννοια ἡρμηνεύθη καὶ ὡρίσθη ὑπὸ τῆς παραδόσεως καὶ τῆς φωνῆς τῆς Ἐκκλησίας. δ) Ἐπαρκεῖ πάσαις ταῖς ἀνάγκαις τῆς Ἐκκλησίας ἐν γένει καὶ τῶν μελῶν αὐτῆς ἰδίᾳ. Καὶ δὴ διὰ μὲν τοῦ Βαπτίσματος ἀναγεννᾶται εἰς Χριστὸν ὁ ἄνθρωπος καὶ εἰσέρχεται εἰς τὴν Ἐκκλησίαν αὐτοῦ· διὰ τοῦ χρίσματος τοῦ Μύρου λαμβάνει δύναμιν αὔξουσαν καὶ στηρίζουσαν τὸν πνευματικὸν βίον· διὰ τῆς Μεταλήψεως μεταλαμβάνει ἀθάνατον βρῶσιν καὶ πόσιν· διὰ τῆς Μετανοίας ἴασιν ἀπὸ τῶν πνευματικῶν νοσημάτων· διὰ τοῦ εὐχελαίου ἴασιν ἀπὸ τῶν σωματικῶν· ὁ γάμος ἐστὶν ὄργανον δι' οὗ τηρεῖται καὶ αὐξάνει τὸ Βασίλειον τῆς

---

(1) 7 ος κανων. τῆς Β ας Οἰκ. Συν. Τοῦτο δὲ σημαίνει, ὅτι τὸ μυστήριον ὡς λέγουσί τινες, ex opere operato.

χάριτος τοῦ Χριστοῦ, διὰ δὲ τῆς Ἱερωσύνης κατορθοῦται ἡ οἰκονομία τῶν μυστηρίων τοῦ Θεοῦ ἐν τῇ Ἐκκλησίᾳ, ἡ κυβέρνησις αὐτῆς καὶ παιδαγωγία τῶν τέκνων αὐτῆς πρὸς αἰωνίαν σωτηρίαν.

§ 281. *Διαίρεσις.*

Τὰ Μυστήρια διαιροῦνται α) εἰς μὴ ἐπαναλαμβανόμενα, οἷα τὸ Βάπτισμα, τὸ Χρίσμα, ἡ Ἱερωσύνη· καὶ εἰς ἐπαναλαμβανόμενα, οἷα τὰ λοιπά. β) Εἰς κοινὰ τοῖς πᾶσιν, οἷα τὸ Βάπτισμα, τὸ Χρίσμα, ἡ Μετάληψις, Μετάνοια, Εὐχέλαιον, καὶ ἀναγκαῖα μόνον τισί, κατὰ τὰς ἀνάγκας τὰς Ἐκκλησίας, διὸ καὶ οὐ πάντες μετέχουσιν, οἷα ὁ Γάμος καὶ Ἱερωσύνη.

1) Βάπτισμα.

§ 282. *Ἔννοια.*

Τὸ Βάπτισμα ἐστὶ Μυστήριον, ἐν ᾧ διὰ τριττῆς καταδύσεως εἰς ὕδωρ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, ἀναγεννᾶται ὁ ἄνθρωπος τῇ χάριτι τοῦ Θεοῦ εἰς νέον πνευματικὸν βίον, καὶ καθίσταται μέλος τοῦ Βασιλείου τῆς χάριτος τοῦ Χριστοῦ.

§ 283. *Σύστασις.*

Τὸ Μυστήριον τοῦτο, τὸ προπαρασκευασθὲν διὰ τοῦ βαπτίσματος τοῦ Ἰωάννου, ἡγίασε διὰ τοῦ ἰδίου παραδείγματος, καὶ καθίδρυσε διὰ σαφεστάτων λέξεων αὐτὸς ὁ Ἰησοῦς Χριστός. Καὶ δὴ καὶ πρότερον ἤδη ἐν τῇ πρὸς Νικόδημον ὁμιλίᾳ προανήγγειλε τὸ Μυστήριον τοῦτο « ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ » (Ἰωαν 3, 5)· μετὰ δὲ ταῦτα ἐνετείλατο τοῖς μαθη-

ταῖς αὐτοῦ βαπτίζειν τοὺς πιστεύοντας εἰς Αὐτὸν, διαμένων ἔτι ἐπὶ τῆς γῆς· τέλος πρὸ τῆς ἀναλήψεως εἰς Οὐρανὸν ἐνετείλατο· « πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος » (Ματθ. 28, 19), ὅπερ οἱ Ἀπόστολοι ἀκριβῶς ἐξεπλήρωσαν, οὐκ ἄλλως παραλαβόντες τοὺς πιστεύοντας, εἰμὴ διὰ τοῦ Βαπτίσματος (Πράξ. 2, 38. 41. 8, 12. 10, 48). Ἦν δ' ἅμα ὁρατὴ σφραγὶς, δι' ἧς διεκρίνοντο οἱ πιστοὶ τῶν ἀπίστων. Οὕτω δὲ ἐγίνετο καὶ μετὰ ταῦτα καὶ διὰ παντός.

§ 284. *Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα.*

Ὁρατὰ ἢ αἰσθητὰ σημεῖα εἰσί.

α) *Ἡ ὕλη*, ἥτις ἐστὶν ἁπλοῦν καθαρὸν, ἁγιαζόμενον δι' ἰδιαιτέρας ἱεροτελεστίας ὕδωρ, ὡς ἄμεσον σύμβολον τῆς χάριτος τοῦ Πνεύματος τοῦ Ἁγίου τῆς καθαιρούσης τὸν ῥύπον τῆς ἁμαρτίας. Τοῦτο δὲ ὡς μόνην ὕλην τοῦ Βαπτίσματος, ὑπέδειξεν αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, λέγων· « ἐὰν μήτις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος » (Ἰωαν 3, 5)· ἐν ὕδατι ἐβαπτίσθη αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ὕδωρ μετεχειρίζοντο οἱ Ἀπόστολοι καὶ ἡ Ἐκκλησία πάντοτε ἀπεδοκίμαζε πάντα τὰ ἄλλα εἴδη τοῦ Βαπτίσματος τὰ παρὰ τοῖς αἱρετικοῖς ἐν χρήσει (1).

β) Οἱ λόγοι· « βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος »· Ταῦτα ὑπέδειξεν αὐτὸς ὁ Σωτὴρ ἐν τῇ ἐντολῇ (Ματθ. 28, 19). Διὰ τοῦτο οἱ κανόνες τῆς Ἐκκλησίας καθαιροῦσι τοὺς μὴ τελοῦντας τὸ Βάπτισμα « κατὰ τὴν διάταξιν τοῦ Κυρίου εἰς τὸ ὄνομα

---

(1) Π. Χ. τὸ Βάπτισμα τῶν Μανιχαίων, χριόντων ἐλαίῳ τὴν κεφαλήν· τὸ Βάπτισμα τῶν Ἰακωβιτῶν πεπυρακτωμένῳ σιδήρῳ χαρατόντων τὸ μέτωπον· τὸ Βάπτισμα τῶν μαστιγούντων μέχρις αἵματος.

τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος (1). Ὅ,τι δ' ἀφορᾷ τὰ χωρία τῶν Πράξεων, ἔνθα λέγεται, ὅτι οἱ Ἀπόστολοι ἐβάπτιζον εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ (2, 38. 8 16. 19, 5), ἐν τούτοις οὐ περὶ τῶν ἐπὶ τοῦ Βαπτίσματος λέξεων ὁ λόγος, ἀλλὰ περὶ τοῦ Αἰτίου τοῦ Μυστηρίου, καὶ πρὸς διάκρισιν λέγεται τοῦ βαπτίσματος τοῦ Ἰωάννου.

γ) Ἡ ὁρατὴ πρᾶξις· ἔστι δὲ ἡ τριττὴ κατάδυσις εἰς τὸ ὄνομα τὸς Ὑπεραγίας Τριάδος. Ἡ δὲ κατάδυσις μᾶλλον ἁρμόζει τῷ Μυστηρίῳ τοῦ Βαπτίσματος· διότι 1) τοῦτο σημαίνει ἡ λέξις *βαπτίζειν*· 2) οὕτω καὶ ὑπὸ Ἰωάννου ἐβαπτίζετο ὁ λαὸς καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς (Μκρ. 1, 10), οὕτω δὲ καὶ οἱ Ἀπόστολοι ἐβάπτιζον (Πράξ. 8, 36. 39), ἐξαιρουμένων ἴσως ὀλίγων τινῶν χωρίων καὶ τούτων ἀσαφῶν, οἷον τὸ ὑπὸ Παύλου καὶ Σίλα βάπτισμα τοῦ δεσμοφύλακος (Πραξ. 16, 33) 3). Γνωστὸν πρὸς τούτοις, ὅτι ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ διὰ καταδύσεως ἐτελεῖτο τὸ Βάπτισμα, ὡς τοῦτο μαρτυροῦσι τὰ ἐν τοῖς Ναοῖς Βαπτιστήρια, καὶ ὁ 50 ἀποστολικὸς κανὼν ὑποδεικνὺς τριττὴν κατάδυσιν. 4) Τοῦτο τέλος μᾶλλον συνάδει τῇ ἰδέᾳ τοῦ Βαπτίσματος, ὅπερ ὁ Ἀπόστολος καλεῖ *συνθάπτεσθαι Χριστῷ* (Ῥωμ. 6, 4. Κολ. 2, 12). Ὅ,τι δὲ ἀφορᾷ τὴν *περίχυσιν* καὶ *ῥαντισμὸν* τὰ ἐπικρατοῦντα ἐν τῇ Δύσει, συνεχωροῦντο μὲν ταῦτα ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ, καὶ νῦν ἔτι συγχωροῦνται ἐν ἀνάγκῃ μόνον διὰ βαρεῖαν νόσον τοῦ βαπτιζομένου, δι' ἔλλειψιν ἱκανοῦ ὕδατος, καὶ διὰ κατεπείγουσαν ἀνάγκην.

§ 285. *Ἡ χάρις ἡ ἐν τῷ Βαπτίσματι*

Ἡ χάρις ἡ μεταδιδομένη ἐν τῷ Βαπτίσματι ἐστίν·

α) Ἡ δικαίωσις ἀπὸ τοῦ προπατορικοῦ ἁμαρτήματος, καίτοι

(1) Ἀποστολ. Καν. 49. καὶ 50.

μὴ αἰρομένων ἐξ ὁλοκλήρου πάντων τῶν ἐπακολουθημάτων αὐτοῦ, ἅμα δὲ καὶ ἡ ἄφεσις τῶν ἑκουσίων ἁμαρτημάτων τῶν πρὸ τοῦ Βαπτίσματος. « καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν » (Πράξ. 2, 38). « ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν » (1 Κορ. 6, 11).

β) Ἀναγέννησις εἰς νέαν, πνευματικὴν, καὶ Χριστιανικὴν ζωήν. *Ἀναγέννησιν δ' ἄνωθεν* ἐκάλεσε τὸ Βάπτισμα αὐτὸς ὁ Ἰησοῦς Χριστὸς (Ἰωαν. 3, 3). καὶ ὁ Ἀπόστολος λέγει. « κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας » (Τίτ. 3, 5)· « ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε » (Γαλ. 3, 27). Οὕτω δὲ

γ) Ἡ Εἴσοδος εἰς τὴν Καινὴν Διαθήκην τοῦ Θεοῦ, υἱοθεσία, καὶ συγκαταρίθμησις ἐν τῷ χορῷ τῶν σωζομένων ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ· ὁ *πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται* (Μαρκ. 16, 16)· *ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν* (1 Κορ. 12, 13). Διὰ τοῦτο οἱ Πατέρες τῆς Ἐκκλησίας ἀποκαλοῦσι τὸ Βάπτισμα *Πύλην* ἄγουσαν εἰς τὴν Βασιλείαν τῆς χάριτος τοῦ Χριστοῦ, ἧς ἐν τοῖς κόλποις μόνον ἡ σωτηρία (1).

§ 286. *Τὰ βαπτίζοντα πρόσωπα.*

Τὰ πρόσωπα, τὰ ἔχοντα κυρίως τὸ δικαίωμα τοῦ βαπτίζειν, εἰσὶν οἱ διάδοχοι τῆς Ἀποστολικῆς διακονίας, ἤτοι οἱ ἐπίσκοποι καὶ πρεσβύτεροι· διότι τούτοις ἰδίως ἡ ἐντολὴ τοῦ βαπτίζειν ἐδόθη, καὶ τούτους ἀποκαλεῖ ὁ Ἀπόστολος *Οἰκονόμους μυστηρίων Θεοῦ* (1 Κορ. 4, 1). Ἀλλ' ὅμως, ὡς ἐν τῇ Ἀποστολικῇ Ἐκκλησίᾳ ἦσαν παραδείγματα διακόνων βαπτιζόντων

(1) Ἀμβρ. de Abraham. 11, 11. 79.

(Πράξ. 6, 5. 8, 12), οὕτω καὶ μετὰ ταῦτα οἱ κανόνες συνεχώρουν καὶ συγχωροῦσιν, ὡς ἐξαίρεσιν, ὅταν κατεπείγουσα ἀνάγκη ᾖ, παντὶ τῷ πιστεύοντι καὶ ταῖς γυναιξὶν αὐταῖς βαπτίζειν, ἴσην δύναμιν ἀποδιδόντες τῷ ὑπὸ τῶν ἱερέων τελουμένῳ (1).

§ 287. *Τὰ βαπτιζόμενα πρόσωπα*

Ἐπειδὴ ἄνευ βαπτίσματος οὐκ ἔστι σωτηρία· « ἐὰν μήτις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ » (Ἰωαν. 3, 5)· ἕπεται ἄρα, ὅτι ἀναγκαῖον τοῖς πᾶσιν ἀνεξαιρέτως τοῦτο, ἄρα καὶ τοῖς νηπίοις· διότι καὶ ταῦτα, καίτοι μὴ ἔχοντα ἑκούσια ἁμαρτήματα, ἀλλὰ γεννῶνται μετὰ τοῦ προπατορικοῦ ἁμαρτήματος. Οὐχ ἧττον ὅμως οἱ πρὸς τὸ Βάπτισμα ἐρχόμενοι ὀφείλουσι πρότερον δηλῶσαι τὴν ἰδίαν ἐπιθυμίαν καὶ συγκατάθεσιν, μαθεῖν τὰς θεμελιώδεις ἀληθείας τῆς πίστεως, καὶ ὁμολογῆσαι τὴν ἰδίαν πίστιν, μετανοῆσαι, ἀποτάξασθαι τῷ σατανᾷ καὶ πάσοις τοῖς ἔργοις αὐτοῦ, ὑποσχέσθαι, ὅτι συντάσσονται Χριστῷ καὶ βιώσουσι κατὰ τὴν διδασκαλίαν Αὐτοῦ. Τοῦτο δὲ διδάσκει αὐτὸς ὁ Ἰησοῦς Χριστός, λέγων· *ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται* (Μαρκ. 16, 16). διὰ τοῦτο καὶ οἱ *Ἀπόστολοι* οὐ πρότερον ἐβάπτιζον τοὺς ἀνθρώπους, πρὶν ἢ διδάξωσιν αὐτοὺς τὴν πίστιν, καὶ κινήσωσιν εἰς μετάνοιαν εἰλικρινῆ· *εἰ πιστεύεις ἐξ ὅλης καρδίας, ἔξεστιν* (Πράξ. 8, 37)· « μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ » (Πράξ. 2, 38). Ὅ,τι δ' ἀφορᾷ τὰ νήπια· ταῦτα καί τοι μὴ δυνάμενα ἐκπληροῦν τοὺς ὅρους τούτους, ἀλλ' οὐχ ἧττον ἱκανά εἰσι πρὸς τὸ Βάπτισμα. Διότι α) αὐτὸς ὁ Ἰησοῦς Χριστὸς κρίνει αὐτὰ ἱκανὰ εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ. « τῶν γὰρ τοι-

(7) Ὀρθοδ. ὁμολ. Μερ. Α'. ἀπεκρ. 102. Ἐπιστ. ἀνατολ. Πατρ. ἄρθρ. 10 καὶ Εὐχολ. ἐν τῇ τάξει τοῦ Βαπτίσματος.

οὑτων ἐστὶν ἡ βασιλεία τῶν Οὐρανῶν (Ματθ, 19, 14). εἰ δὲ ἱκανὰ εἰς τοῦτο, ἄρα καὶ πρὸς τὸ Βάπτισμα, ὅπερ πύλη τις εἰς τὴν Βασιλείαν ταύτην ἐστίν. 6) Τὴν δὲ πίστιν καὶ συγκατάθεσιν αὐτῶν ἀντικαθίστησιν ἡ πίστις καὶ συγκατάθεσις τῶν γονέων καὶ ἀναδόχων, οἵτινες ἐγγυῶνται ὑπὲρ αὐτῶν, ὅτι ἐν ὥρᾳ γενόμενοι καὶ γνόντες τὸ ἐκ τῆς πίστεως ἀγαθὸν, συναινέσουσι, καὶ γνώσονται, ὅπερ πρότερον οὐκ ἤδεσαν (Ἰωαν. 13, 7). γ) Οἱ Ἀπόστολοι πολλάκις ἐβάπτιζον ὁλοκλήρους οἰκογενείας, ἐν αἷς βεβαίως ὑπῆρχον καὶ νήπια (Πράξ. 16, 14. 15· 30—29). δ) Ἅπασα ἡ ἀρχαία Ἐκκλησία, οὐδέποτε ἀπέβαλε τοὺς παῖδας τοῦ Βαπτίσματος. Λέγει δὲ ὁ ἅγιος Εἰρηναῖος. « Χριστὸς ἦλθε σώσων πάντας, τοὺς δι' Αὐτοῦ ἀναγεννωμένους εἰς Θεόν· νήπια, καὶ παῖδας, καὶ νέους, καὶ γέροντας » (1) Ὁ Ὠριγένης τὸν νηπιοβαπτισμὸν ἀποκαλεῖ *ἀποστολικὴν παράδοσιν* (2). Ἐπὶ δὲ τῆς ἐν Καρχιδόνι τοπικῆς Συνόδου ἀναθεματίζονται οἱ ἀρνούμενοι τὸ Βάπτισμα τοῖς μικροῖς καὶ νεογεννήτοις (3).

§ 283. *Τὸ Βάπτισμα οὐκ ἐπαναλαμβάνεται.*

Τοῦτο δὲ α) διότι ἐστὶ γέννησις εἰς νέαν ζωὴν, γεννᾶται δέ τις ἅπαξ· ἢ ἐστὶ, κατὰ τὸν Ἀπόστολον κοινωνία τοῦ θανάτου καὶ τῆς ταφῆς τοῦ Ἰησοῦ Χριστοῦ· ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν αὐτῷ διὰ τοῦ Βαπτίσματος εἰς τὸν θάνατον (Ῥωμ. 6, 3. 4). ἀπέθανε δὲ καὶ ἐτάφη ὁ Χριστὸς ἅπαξ. 6) Διότι ὁ Ἀπόστολος ῥητῶς λέγει τὸ Βάπτισμα ἕν, ὡς εἷς ὁ Θεὸς, μία δὲ καὶ ἡ πίστις (Ἐφ. 4, 6)· διὸ καὶ ἡ καθόλου Ἐκκλησία ὥρισεν ἐν τῷ Συμβόλῳ ἓν Βάπτισμα ὁμολογεῖν, καὶ πάντοτε

(1) Κατὰ αἱρ. βιβλ. 2 κεφ. 22, 4.
(2). Εἰς τὴν πρὸς Ῥωμ. Ἐπιστ.
(3) Καν; 121ος ἢ 115ος,

τοῦτο ἐδίδασκε κατὰ τῶν αἱρετικῶν, ἀποδεχομένη τὸ Βάπτισμα εἰς τὸ ὄνομα τῆς Ἁγίας Τριάδος καὶ τὸ ὑπὸ ἑτεροδόξων τελεσθέν. Οὕτω διὰ τοῦ κανόνος τῆς Β' Οἰκουμενικῆς Συνόδου ὥρισται, ὅπως τοὺς μὲν πλείστους τῶν αἱρετικῶν παραλαμβάνῃ ἡ Ἐκκλησία σφραγιζομένους διὰ τοῦ Ἁγίου Μύρου, τοὺς δὲ μὴ βαπτισθέντας εἰς τὸ ὄνομα τῆς Ἁγίας Τριάδος, ἢ εἰς μίαν κατάδυσιν ἀναβαπτίζειν. Ὅταν δὲ τελεσθῇ τὸ Βάπτισμα ἐσπευσμένον καὶ οὐχὶ ὑπὸ ἱερέως, ὁρίζουσιν οἱ κανόνες, ὅπως ἀναπληρῶνται τὰ παραλειφθέντα, μὴ ἐπαναλαμβανομένης τῆς καταδύσεως (1). Τυχούσης δ' ἀμφιβολίας βαπτίζεται κατὰ τὸν ἀκόλουθον τύπον· «βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ, εἰμὴ οὐκ ἐβαπτίσθη» (2).

2) Τὸ χρίσμα τοῦ Μύρου.

§ 289. Τὸ χρίσμα τοῦ Μύρου ἐστι μυστήριον ἐν ᾧ χριομένων τινῶν μελῶν τοῦ σώματος, καὶ ἐπιλεγομένων τῶν «σφραγὶς δωρεᾶς πνεύματος Ἁγίου,» μεταδίδοται τῷ χριστιανῷ ἡ χάρις ἡ ἁγιάζουσα καὶ στηρίζουσα ἐν τῷ πνευματικῷ βίῳ.

§ 290. *Σύστασις.*

Τὸ Μυστήριον τοῦτο, ὅπερ προανήγγειλεν ἤδη ὁ προφήτης Ἰωήλ· «καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα (Ἰωήλ. 2, 28), σαφῶς καθίδρυσεν ὁ Ἰησοῦς Χριστὸς λέγων «ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· καὶ σημειοῖ ὁ Εὐαγγελιστὴς, τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτὸν (Ἰωαν. 7, 38. 39). Μετὰ δὲ ταῦτα, πρὸ τῆς Ἀναλήψεως ἐπηγγείλατο τοῖς

---

(1) Ἴδε Εὐχολ. ἐν τῇ τάξει τοῦ βαπτίσμ.

(2) Καν. 80 ος ἢ 76 ος τῆς ἐν Καρθ. Συν.

Ἀποστόλοις «ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους (Λουκ. 24, 49). Καὶ ὄντως ἐνεδύσαντο τὴν δύναμιν ταύτην, κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς, κατελθόντος ἐπ' αὐτῶν τοῦ Πνεύματος τοῦ Ἁγίου ἐν εἴδει πυρίνων γλωσσῶν. Οὐ μὴν ἀλλὰ καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας καὶ βαπτιζομένους κατέρχεσθαι ἐποίουν τὸ Πνεῦμα τὸ ἅγιον, δι' ἄλλης παρὰ τὴν τοῦ Βαπτίσματος ἱεροτελεστίαν, ἤτοι δι' ἐπιθέσεως τῶν χειρῶν. Διὰ τοῦτο καὶ περὶ τῶν Σαμαρειτῶν τῶν βαπτισθέντων ὑπὸ Φιλίππου ἀλλὰ μὴ λαβόντων ἔτι ἐπι τούτου τὸ Πνεῦμα τὸ Ἅγιον λέγεται· « τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον Πνεῦμα Ἅγιον, » (Πραξ. 8, 14—17. 19, 2—6). Τὴν ἐπίθεσιν δὲ τῶν χειρῶν μετ' οὐ πολὺ ἀντικατέστησε τὸ χρίσμα, καθ' ὅσον καὶ τὰ ἐν τῷ Μυστηρίῳ τούτῳ μεταδιδόμενα δῶρα τοῦ πνεύματος συνεχῶς ἐν τῇ γραφῇ καλοῦνται τῷ ὀνόματι τούτῳ «καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ Ἁγίου, καὶ οἴδατε πάντα (Ἰωαν. 2, 20. 27) «ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, καὶ χρίσας ἡμᾶς Θεός» (2 Κορ. 1, 21). Ἡ ἀρχὴ δὲ ἀπὸ τῶν Ἀποστόλων τοῦ χρίσματος ἀντὶ τῆς ἐπιθέσεως τῶν χειρῶν, στηρίζεται ἐπὶ τῶν μαρτυριῶν περὶ τούτου Κλήμεντος τοῦ Ἀλεξανδρέως (1), Τερτυλλιανοῦ (2), Κυπριανοῦ (3), καὶ ἔτι πρότερον ὑπὸ Διονυσίου τοῦ Ἀρεοπαγίτου, μαθητοῦ τοῦ Ἀποστόλου Παύλου (4)· « ἔστιν ἑτέρα τελεσιουργία, λέγει, Μύρου . . λετὴν αὐτὴν οἱ καθηγεμόνες (οἱ Ἀπόστολοι) ἡμῶν ὀνομάζουσιν . . διὸ καὶ τῆς ἱερᾶς θεογενεσίας ἡ τελεσιουργὸς δωρεὰ καὶ χάρις ἐν ταῖς τοῦ Μύρου τελεῖται θειοτάταις τελειώσεσιν· » «ἐξελθόντες τῆς κολυμ-

(1 Στρωμ. 2, 3.
(2) de baptis. c. VII.
(3) Epist. LXX ad Januarium.
(4) Ἐκκλ. Ἱεραρ. Κφ, 4. ἀρ. 1. καὶ ἀρ. 3. § 11.

φησας, μαρτυρεῖ ὁ Τερτυλλιανὸς περὶ τῶν κατ' αὐτὸν χρόνων, χριόμεθα εὐλογημένῳ χρίσματι, κατ' ἀρχαίαν τάξιν.» Ἀναγκαῖον, γράφει ὁ ἅγιος Κυπριανὸς, ὅπως χρισθῇ ὁ βαπτισθεὶς, ἵνα λαβὼν τὸ χρίσμα δύνηται εἶναι χριστὸς τοῦ Θεοῦ καὶ ἔχειν ἐν ἑαυτῷ τὴν χάριν τοῦ Χριστοῦ.

§ 291. *Τὸ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα.*

α) Ἡ ὕλη, ἥτις ἐστὶ τὸ μύρον, κατεσκευασμένον ἐξ ἐλαίου, οἴνου, βαλσάμου καὶ πολλῶν ἄλλων ἀρωμάτων, ἐξεικονιζόντων τὴν ἡδύτητα καὶ ποικιλίαν τῶν πνευματικῶν δώρων, καὶ τελούμενον κατὰ διατεταγμένους τύπους ὑπὸ ἐπισκόπων (1).

β) Αἱ λέξεις, αἱ ἀπαγγελλόμεναι, χριομένων μελῶν τινων τοῦ σώματος. *σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου Ἀμήν.*

γ) Ἡ ἐξωτερικὴ πρᾶξις, ἥτις ἐστὶν ἡ σταυροειδῶς χρίσις τοῦ μετώπου, τῶν ὀφθαλμῶν, τῶν μυκτήρων, τῶν ὤτων, τῶν χειλέων, τοῦ στήθους, τῶν χειρῶν καὶ ποδῶν τοῦ βαπτισθέντος, ὡς ἐξωτερικῶν ὀργάνων πασῶν τῶν ἐσωτερικῶν δυνάμεων τῆς ψυχῆς.

§ 292. *Ἡ χάρις ἡ μεταδιδομένη ἐν τῷ χρίσματι τοῦ Μύρου.*

Ἡ χάρις, ἡ ἐπηγγελμένη καὶ μεταδιδομένη ἐν τῷ μυστηρίῳ τούτῳ ἐστίν.

α) Ὁ ἁγιασμὸς, ὅπερ ἐστὶν ἡ ἐπισφράγισις καὶ καθιέρωσις τῷ Θεῷ ἁπάσης τῆς τε πνευματικῆς καὶ σωματικῆς φύ-

---

(1) Ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ τὸ μύρον ἁγιάζεται ἐν δύω μόναις Καθέδραις τῇ τοῦ Κιέβου καὶ τοῦ τῆς Μόσχας. Ἐντεῦθεν δ' ἀποστέλλεται καθ' ἅπασαν τὴν Ῥωσσίαν. Προπαρασκευάζεται δὲ συνήθως κατὰ τὴν μεγάλην ἑβδομάδα. Καὶ τὰς μὲν τρεῖς πρώτας ἡμέρας, ἀναγινωσκομένου ἀκαταπαύστως τοῦ εὐαγγελίου, ὁράζεται ἐπὶ ἐπίτηδες ἐν τῇ Ἐκκλησίᾳ μέρους, τὴν δὲ μεγάλην Πέμπτην ἁγιάζεται ἐπὶ τῆς λειτουργίας.

τεως τοῦ ἀνθρώπου. Καὶ δή, χριομένου μὲν τοῦ μετώπου ἁγιάζονται αἱ ἔννοιαι καὶ τὸ τούτων ὄργανον· χριομένων δὲ τῶν κόλπων, ἁγιάζονται αἱ ἐπιθυμίαι καὶ τὰ τούτων ὄργανα· χριομένων δὲ τῶν ὀφθαλμῶν τῶν μυκτήρων, τῶν ὤτων καὶ τῶν χειλέων, ἁγιάζονται αἱ αἰσθήσεις καὶ τὰ αἰσθήματα οἱ λόγοι καὶ ἡ γλῶσσα· χριομένων δὲ τῶν χειρῶν καὶ ποδῶν ἡ ἐξωτερικὴ διαγωγὴ ἁγιάζεται.

6) Ἡ ἐμπέδωσις καὶ παγίωσις ἐν τῷ πνευματικῷ βίῳ, καὶ πάντα τὰ τῆς θείας δυνάμεως τὰ ἀναγκαῖα τῷ χριστιανῷ πρὸς ζωὴν καὶ εὐσέβειαν (2 Πέτρ. 1, 3). « Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, καὶ χρίσας ἡμᾶς, Θεὸς· ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν» (2 Κορ. 1, 21 22). «Ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ Ἁγίου, καὶ οἴδατε πάντα (Ι Ἰωαν 2, 20).

§ 293. *Τὰ τελοῦντα πρόσωπα.*

Τὸ δικαίωμα τοῦ τελεῖν τὸ μυστήριον τοῦ Μύρου ἔχουσι μόνον οἱ ποιμένες τῆς Ἐκκλησίας, ὡς διάδοχοι ὄντες τῶν Ἀποστόλων, καὶ μάλιστα ἁγιάζουσι μόνοι τὸ μύρον οἱ Ἐπίσκοποι, διότι καὶ ἐν τῇ ἀποστολικῇ Ἐκκλησίᾳ κατεβίβαζον τὸ Πνεῦμα τὸ Ἅγιον δι' ἐπιθέσεως τῶν χειρῶν οὐχὶ πάντες ἀλλὰ μόνον οἱ πρῶτοι τῶν Ἀποστόλων. Διὸ καὶ ἐπιστρέφει μὲν εἰς τὴν πίστιν καὶ βαπτίζει τοὺς Σαμαρείτας ὁ Φίλιππος, εἷς τῶν ἑπτὰ διακόνων, ἀλλ' ἀποστέλλονται ὁ Πέτρος καὶ Ἰωάννης, μεταδώσοντες τὸ Πνεῦμα τὸ Ἅγιον (Πραξ. 8, 14). Χρίειν δὲ μύρῳ τῷ ὑπὸ ἐπισκόπων ἡγιασμένῳ δύναται καὶ πᾶς Ἱερεύς.

§ 294. *Τὰ λαμβάνοντα πρόσωπα.*

Τὸ Μυστήριον τοῦ χρίσματος τοῦ Μύρου τελεῖται ἐπὶ τῶν βαπτισθέντων μόνον, διότι καὶ οἱ Ἀπόστολοι χεῖρας ἐπε-

τίθεσαν ἐπὶ τῶν πιστευόντων πρὸς μετάδοσιν αὐτοῖς τῶν δώρων τοῦ Ἁγίου Πνεύματος μόνον μετὰ τὸ Βάπτισμα· ἐπειδὴ δὲ τὸ Μυστήριον τοῦ Βαπτίσματος, εἰσάγων εἰς τὴν Ἐκκλησίαν τὸν ἄνθρωπον, δίδωσιν ἅμα πάντα τὰ δικαιώματα, καὶ ὑποχρεοῖ καὶ καθίστησιν αὐτὸν ἱκανὸν ἀπολαύειν πάντων τῶν ἀγαθῶν τῶν τοῖς μέλεσιν αὐτῆς προσηκόντων· διὰ τοῦτο καὶ τὰ νήπια τὰ βαπτισθέντα, δεῖ χρίειν Μύρῳ, καὶ δὴ εὐθὺς μετὰ τὸ βάπτισμα. Διότι καὶ οἱ Ἀπόστολοι κατεβίβαζον το Πνεῦμα τὸ Ἅγιον δι' ἐπιθέσεως χειρῶν συνήθως εὐθὺς μετὰ τὸ Βάπτισμα (Πραξ. 19, 5. 6), καὶ οἱ ἀρχαιότατοι πατέρες καὶ διδάσκαλοι, καὶ οἱ κανόνες τῶν Συνόδων μαρτυροῦσιν, ὅτι οὕτω πάντοτε ἐτελεῖτο τὸ Μυστήριον τοῦτο ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ (1).

§ 295. *Τὸ χρίσμα οὐκ ἐπαναλαμβάνεται.*

Τὸ Μυστήριον τοῦ χρίσματος ἅπαξ τελεσθὲν ἐπὶ τοῦ πιστοῦ ἐπεκτείνει τὴν ἐνέργειαν αὐτοῦ καθ' ἅπαντα τὸν βίον.

Σημ. Ὅ,τι δ' ἀφορᾷ τὸ χρίσμα τῶν εὐσεβεστάτων Βασιλέων ἐπὶ τῆς στέψεως αὐτῶν εἰς βασιλεῖς, ἡ Ἐκκλησία, κατὰ τὸ παράδειγμα τῆς χρίσεως τῶν Βασιλέων ἐν τῇ Π. Διαθήκῃ, τελεῖ τοῦτο, ὅπως ἐξαιτήσηται ὑπὲρ τῶν βασιλευόντων ἰδιαιτέρας δωρεᾶς τῆς χάριτος πρὸς τὴν ὑψυλὴν αὐτῶν διακονίαν.

3) Μετάληψις εἴτε Εὐχαριστία.

§ 296. *Ἔννοια.*

Ἡ μετάληψις εἴτε εὐχαριστία ἐστὶ μυστήριον, ἐν ᾧ οἱ

(1) Ἴδε § 290 καὶ τῆς ἐν Λαοδικ. Συν. καν. 48.

πιστεύοντες ὑπὸ τὸ εἶδος τοῦ ἄρτου καὶ οἴνου μεταλαμβάνοντες τὸ ἀληθὲς σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συνδέονται μετ' αὐτοῦ, καὶ λαμβάνουσι τὸν ἀρραβῶνα τῆς αἰωνίου ζωῆς.

§ 297. *Σύστασις.*

Περὶ τῆς ὑπὸ Ἰησοῦ Χριστοῦ συστάσεως τοῦ Μυστηρίου τούτου μαρτυροῦσι πάντες οἱ τέσσαρες εὐαγγελισταί, ἅμα δὲ καὶ ὁ Ἀπόστολος Παῦλος. Καὶ ὁ μὲν Εὐαγγελιστὴς Ἰωάννης παρατίθησιν ἡμῖν τὴν προηγηθεῖσαν περὶ τούτου διδασκαλίαν τοῦ Χριστοῦ Σωτῆρος ἐν Καπερναούμ· «ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ Οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ Κόσμου ζωῆς... ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμα μου ἀληθῶς ἐστι πόσις» (Ἰωαν. 6, 48—63). Οἱ δὲ λοιποὶ εὐαγγελισταὶ διηγοῦνται περὶ αὐτῆς ἤδη τῆς συστάσεως τοῦ μυστηρίου κατὰ τὴν τελευταίαν ἑσπέραν τοῦ Κυρίου μετὰ τῶν μαθητῶν· «ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐλογήσας, ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· λάβετε φάγετε τοῦτό ἐστι τὸ σῶμα μου· καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων. Πίετε ἐξ αὐτοῦ πάντες τοῦτο γάρ ἐστι τὸ αἷμα μου, τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν» (Ματθ. 26, 26—28. Μάρ. 14, 22—24) Ὁ δὲ Εὐαγγελιστὴς Λουκᾶς προστίθησιν, ὅτι ἐνετείλατο ὁ Κύριος τελεῖν τὸ μυστήριον τοῦτο εἰς ἀνάμνησιν αὐτοῦ (Λουκ. 22, 19). Ὡσαύτως δὲ καὶ ὁ Ἀπόστολος Παῦλος γράφει τοῖς Κορινθίοις τελεῖν τοῦτο εἰς ἀνάμνησιν τοῦ θανάτου τοῦ Κυρίου ἄχρις οὗ ἂν ἔλθῃ «Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ (1 Κορ. 11, 23—26).

§ 298. *Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα.*

Τοιαῦτα ἐπὶ τοῦ μυστηρίου τῆς Εὐχαριστίας εἰσίν.

α) Ἡ *ὕλη*· αὕτη δ' ἐστὶν εἷς, πρὸς τοῦτο παρεσκευασμένος, *ἔνζυμος ἐκ σίτου ἄρτος*, διότι ἐπὶ τοιούτου ἐτέλεσε τὸ μυστήριον καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς καὶ οἱ Ἀπόστολοι. Τοῦτο δὲ σημαίνει καὶ ἡ λεξις ἄρτος (ἐκ τοῦ αἴρω), καὶ περὶ τούτου μαρτυρεῖ ἡ ἀρχαία Ἐκκλησία χρωμένη πάντοτε ἐνζύμῳ ἄρτῳ. Ἑτέρα ὕλη ἐστὶν *οἶνος ἐξ ἀμπέλου*, ᾧ ἐχοῆτο πάντοτε ἡ ἀρχαία Ἐκκλησία, καὶ διὰ τὴν πρὸς τὸ αἷμα ὁμοιότητα *ἐρυθροῦς*, συγκεραννύμενος ὕδατι, πρὸς ἀνάμνησιν τῶν λογίων· « εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ» (Ἰωαν. 19, 34) ἐχρῆτο δὲ τοιούτῳ κατὰ τὸ παράδειγμα τοῦ Ἰησοῦ Χριστοῦ ἐκ παραδόσεως, στηριζομένης ἐπὶ τῆς μαρτυρίας τῶν ἀρχαιοτάτων Πατέρων τοῦ Ἰουστίνου (1), Εἰρηναίου (2), Κυπριανοῦ (3) καὶ τοῦ 32 κανν. τῆς 6ης Οἰκουμενικῆς Συνόδου.

β) Ἡ ἐπιλεγομένη ὑπὸ τοῦ ἱερουργοῦντος μετὰ τὰς λέξεις τῆς συστάσεως τοῦ Μυστηρίου (λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν) καὶ τὴν ἐπίκλησιν τοῦ Ἁγίου Πνεύματος παρὰ τοῦ Πατρὸς, *εὐλογία* μετὰ τοῦ σημείου τοῦ σταυροῦ τῶν προτεθέντων δώρων. « καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου. Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον Αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ».

---

(1) Ἀπολ. Α, 66.
(2) Κατὰ Αἱρ. 5, 2.
(3) Epist ad Caecil

γ) Αἱ ὁραταὶ πράξεις· τοιαῦται δέ εἰσιν ἅπασα ἡ λειτουργία, ἧς ἄνευ οὐδόλως δυνατὴ ἡ τέλεσις τοῦ μυστηρίου τῆς Εὐχαριστίας κατ' ἄλλον τινὰ τρόπον. Ὅπως τελεσθῇ δὲ ἡ Λειτουργία, ἀναγκαῖον ὅπως, ὁ τόπος ἐν ᾧ, ἔχῃ ἡγιασμένην νομίμως Τράπεζαν καὶ *Ἀντιμίνσιον* ἱεροτελεσθὲν ὑπὸ Ἐπισκόπου.

§ 299. *Ἡ ἐσωτερικὴ δύναμις*

Ἡ οὐσία τοῦ ἁγιωτάτου μυστηρίου τῆς Εὐχαριστίας, κατὰ τὴν ἐπαγγελίαν τοῦ Ἰησοῦ Χριστοῦ, συνίσταται ἐν τούτῳ, ὅτι ἐν τῷ μυστηρίῳ τούτῳ πάρεστιν Αὐτὸς ὁ Χριστός, καὶ μάλιστα οὐχὶ κατὰ τὸν συνήθη τρόπον τῆς ἁπανταχοῦ παρουσίας οὐχὶ κατά τινα δαψίλειαν χάριτος, ἢ συμβολικῶς καὶ τυπικῶς, κατὰ τὸ μέτρον τῆς πίστεως τῶν τελούντων καὶ μεταλαμβανόντων, οὐχὶ κατὰ ἐπιφοίτησιν μόνην καὶ περιχώρησιν τοῦ ἄρτου καὶ οἴνου (impanatio), ἀλλ' ἀληθῶς, ἔργῳ καὶ κατ' οὐσίαν, διὰ μετουσιώσεως ἢ μεταβολῆς τοῦ μὲν ἄρτου εἰς αὐτὸ τὸ ἀληθὲς σῶμα τοῦ Κυρίου, ἐν ᾧ ἐβίωσεν, ἔπαθεν ἐπὶ τοῦ σταυροῦ, ἀνέστη καὶ ἀνελήφθη· τοῦ δὲ οἴνου εἰς αὐτὸ τὸ ἀληθὲς αἷμα τοῦ Κυρίου τὸ ἐκχυθὲν κατὰ τὸ πάθος Αὐτοῦ ὑπὲρ ζωῆς τοῦ Κόσμου. Τοῦτο δὲ ἀριδήλως καταφαίνεται α) ἐξ αὐτῶν τῶν λόγων τοῦ Σωτῆρος, διδάξαντος ἐν τῇ προηγουμένῃ ὁμιλίᾳ ῥητῶς. « ὁ ἄρτος ὃν ἐγὼ δώσω ἡ σάρξ μου ἐστι ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. Νοησάντων δέ τινων κατὰ γράμμα καὶ διακογιζομένων· πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; » ὁ Ἰησοῦς Χριστὸς οὐ μόνον οὐ κατακρίνει, ἀλλ' ἔτι ἐντονώτερον ἐπιφέρει « Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς » (Ἰωαν. 6, 51—58). Καὶ ἐπὶ τοῦ Μυστικοῦ Δείπνου ῥητῶς λέγει περὶ τοῦ ἄρτου, *τοῦτό ἐστι τὸ σῶμά μου*, καὶ περὶ τοῦ οἴνου, *τοῦτό ἐστι τὸ αἷμα μου* β) Ἐκ τῶν λόγων τοῦ

Ἀποστόλου Παύλου. « ὁ ἐσθίων καὶ πίνων ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου » (1 Κορ. 11, 29). Ἦν δ' ἂν ἄτοπος ἡ ἀπειλή, εἰ ὁ ἄρτος καὶ οἶνος ἁτλᾶ σύμβολα καὶ οὐχὶ αὐτὸ τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου ἦταν γ)Ἅπασα ἡ ἀρχαία Ἐκκλησία, καὶ πάντες οἱ διδάσκαλοι Αὐτῆς οὐδέποτε ἄλλοτι ἐπρέσβευον περὶ τοῦ μυστηρίου τῆς Εὐχαριστίας « Ἄρτον τοῦ Θεοῦ θέλω, γράφει ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅ ἐστι σὰρξ Ἰησοῦ τοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ . . . καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος καὶ ἀένναος ζωὴ » (1). « Μὴ πρόσεχε ὡς ψιλοῖς ἄρτῳ καὶ οἴνῳ σῶμα γὰρ καὶ αἷμα Χριστοῦ κατὰ τὴν δεσποτικὴν τυγχάνει ἀπόφασιν » (2)· Καὶ ἐν τῇ τάξει τῆς θείας λειτουργίας Βασιλείου τοῦ Μεγάλου καὶ Χρυσοστόμου, ὡς καὶ τῶν ἀρχαιοτάτων λειτουργιῶν, ἐξ ὧν αὕτη ἐλήφθη, πανταχοῦ ἐκφράζεται τὸ δόγμα τοῦτο. Τέλος ἡ 7η Οἰκουμενικὴ Σύνοδος ἐξήλεγχε τοὺς εἰκονομάχους καὶ διὰ τὴν αἵρεσιν, ὅτι τὸν ἄρτον καὶ οἶνον ἐν τῇ Εὐχαριστίᾳ εἰκόνα μόνον ἐνόμιζον τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ. « Οὔτε ὁ Κύριος, οὔτε οἱ Ἀπόστολοι, ἢ Πατέρες εἰκόνα εἶπον τὴν ἀναίμακτον θυσίαν, ἀλλ' αὐτὸ σῶμα καὶ αὐτὸ αἷμα . . . Μετὰ δὲ τὸν ἁγιασμὸν σῶμα κυρίως καὶ αἷμα Χριστοῦ λέγονται καὶ εἰσὶ καὶ πιστεύονται » (3).

§ 300. *Πορίσματα.*

Ἐκ τοῦ δόγματος περὶ μετουσιώσεως ἐν τῇ Εὐχαριστίᾳ τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς σῶμα καὶ αἷμα Χριστοῦ ἀπορρέουσιν αἱ ἀκόλουθοι ἀλήθειαι.

---

(1) Πρὸς Ῥωμ. 7.

(2) Κυρίλ. Ἱεροσ. Μυσταγ. Δ'.

(3) Πράξ. 6η Μετὰ ταῦτα τὴν αἵρεσιν ταύτην ἀνενέωσεν ὁ Βερεγγάριος κατὰ κατὰ τὸν 11ον αἰῶνα, καὶ μετὰ ταῦτα οἱ Ἀναρρυθμισταί.

α) Μετὰ τὸν ἁγιασμὸν τῶν τιμίων Δώρων μόνη ἡ μορφὴ τοῦ ἄρτου καὶ τοῦ οἴνου μένει, ἡ δὲ οὐσία αὐτῶν μεταβάλλεται εἰς σῶμα καὶ αἷμα Χριστοῦ.

β) Εἰ καὶ τὸ σῶμα καὶ αἷμα Χριστοῦ μελίζεται καὶ διαμερίζεται, ἀλλὰ τοῦτο μόνον ἐπὶ τοῦ ἄρτου καὶ τοῦ οἴνου συμβαίνει, ἐν οἷς ὑποκρύπτονται, οὐχὶ δὲ ἐπ' αὐτῶν τούτων, ἅτινα καθ' ἑαυτὰ εἰσὶν ἀκέραια καὶ ἀμέριστα. Διὰ τοῦτο ἑκάστῳ τῶν μερῶν μέχρι καὶ τῶν ἐλαχίστων τοῦ ἡγιασμένου ἄρτου καὶ οἴνου ἔνεστιν οὐχὶ μερίς τις τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, ἀλλ' ἅπαν τὸ σῶμα σῶον καὶ ὅλον. Ἐπίσης εἰ καὶ κατὰ τὸν αὐτὸν χρόνον πολλαὶ ἱεροτελεστίαι καθ' ἅπασαν τὴν ὑφήλιον τελοῦνται, ἀλλ' οὐ πολλὰ σώματα Χριστοῦ, ἀλλ' ἓν σῶμα καὶ ἓν αἷμα ἐν ταῖς ἁπανταχοῦ Ἐκκλησίαις. Τοῦτο δὲ συμβαίνει, οὐχὶ καταβαίνοντος τρόπον τινὰ ἐπὶ τοῦ θυσιαστηρίου τοῦ ἐν Οὐρανοῖς σώματος τοῦ Κυρίου, ἀλλὰ τοῦ ἄρτου τῆς προθέσεως ἁπανταχοῦ ἐν ταῖς Ἐκκλησίαις μετὰ τὸν ἁγιασμὸν μετουσιουμένου, καὶ τῆς αὐτῆς φύσεως τῷ ἐν Οὐρανοῖς καθισταμένου.

γ) Τὸ σῶμα καὶ αἷμα Χριστοῦ καὶ μετὰ τὸν ἁγιασμὸν εὐθὺς, καὶ ἐν τῇ μεταλήψει αὐτῇ, καὶ μετὰ ταῦτα τηρούμενα ἢ εἰς ἐφόδιον τοῖς τελευτῶσι τὸν βίον ἢ εἰς τὴν λειτουργίαν τῶν Προηγιασμένων Δώρων, ἀεί ποτέ εἰσι ἀληθὲς σῶμα καὶ αἷμα Χριστοῦ, μηδεμίαν διαφορὰν τοῦ χρόνου ποιοῦντος.

δ) Τῷ σώματι καὶ αἵματι Χριστοῦ ἐν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας ἡ αὐτὴ προσήκει ἀδιαίρετος θεία τιμὴ καὶ προσκύνησις, οἷα καὶ τῷ Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ (1).

§ 301. *Τὰ τελοῦντα πρόσωπα.*

Δικαίωμα τοῦ ἐπιτελεῖν τὸ μυστήριον τ[illegible] Εὐχαριστίας ἔ-

(1) Ἐπιστ. Ὀρθ. Πατριαρ. ἄρθ, 17.

χουσι μόνοι οἱ Ἐπίσκοποι καὶ Πρεσβύτεροι οὐδεὶς δ' ἕτερος μὴ ἔχων ἱερωσύνην. Διότι, ὡς αὐτὸς ὁ Κύριος μόνοις τοῖς Ἀποστόλοις ἔδωκε τὸ δικαίωμα τοῦ ποιεῖν αὐτὸ εἰς τὴν ἐκείνου ἀνάμνησιν, καὶ μόνων αὐτῶν παρόντων συνεστήσατο, οὕτω καὶ οἱ Ἀπόστολοι κατὰ τὰς πράξεις τῶν Ἀποστόλων αὐτοὶ *ἔκλων κατ' οἶκον τὸν ἄρτον* (2, 46), καὶ τὸ δικαίωμα τοῦτο μόνοις τοῖς διαδόχοις αὐτῶν τοῖς Ἐπισκόποις καὶ Πρεσβυτέροις μετέδωκαν, ὡς μαρτυρεῖ τὸ παράδειγμα τῆς ἀρχαίας Ἐκκλησίας.

§ 302. *Τὰ μεταλαμβάνοντα πρόσωπα.*

Κοινωνεῖν τῶν ἀχράντων Μυστηρίων δύνανται καὶ ὀφείλουσι πάντες οἱ πιστεύοντες, οἱ βεβαπτισμένοι καὶ κεχρισμένοι· Ἄρα καὶ τὰ νήπια, κατὰ τὸ παράδειγμα τῆς ἀρχαίας Ἐκκλησίας, οὐδεὶς ὀφείλει στερεῖν τῶν ἀχράντων Μυστηρίων. Μεταλαμβάνειν δὲ ὀφείλουσι πάντες ἱερεῖς τε καὶ λαϊκοὶ ἀμφότερα ἄρτον καὶ οἶνον· Διότι, ὡς αὐτὸς ὁ Ἰησοῦς Χριστὸς τοῖς πᾶσι παρέσχε τὸ ποτήριον, εἰπὼν *πίετε ἐξ αὐτοῦ πάντες*, οὕτω καὶ ἡ Καθόλου Ἐκκλησία πάντοτε ἐποίει. Ἡ δὲ ὑπὸ ἓν εἶδος τοῦ ἄρτου μετάληψις ἐστὶ καινοτομία τῆς Δύσεως, μόλις περὶ τὴν 15ην ἑκατοντατηρίδα ὑπὸ τῆς ἐν Κωνσταντίᾳ Συνόδου διαῦ ταχθεῖσα.

§ 303. *Καρποί.*

Καρποὶ τοῦ ἁγιωτάτου Μυστηρίου τῆς Εὐχαριστίας τοῖς μεταλαμβάνουσιν εἰσίν.

α) Ἡ ἁρμοδιωτέρα ἀνάμνησις τῶν σωτηρίων παθῶν καὶ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἡ ζῶσα κοινωνία ἐν τῇ Καινῇ Διαθήκῃ, ἧς σφραγίς ἐστι τὸ τίμιον αἷμα Αὐτοῦ. « Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ » (1 Κορ. 11, 26). « Πίετε ἐξ αὐτοῦ πάντες, εἶπεν ὁ Ἰησοῦς

Χριστὸς, δοὺς τὸ ποτήριον τοῖς Ἀποστόλοις, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς Καινῆς Διαθήκης » (Ματθ. 26, 28). καὶ « τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν (Λουκ. 22, 19).

β) Ἡ οἰκείωσις τῆς χάριτος τῆς ἁγιαζούσης τὸν χριστιανὸν καὶ συνεργούσης εἰς ἐξακολούθησιν, τήρησιν καὶ αὔξησιν ἐν αὐτῷ τοῦ πνευματικοῦ βίου, τοῦ ἔχοντος τοσαύτην ἀνάγκην τοῦ Μυστηρίου τούτου, ὅσον ἀναγκαία πρὸς ζωὴν ἡ τροφὴ τῷ σώματι· « ὁ τρώγων με, λέγει ὁ Σωτὴρ, κἀκεῖνος ζήσεται δι' ἐμὲ » (Ἰωαν. 6, 57).

γ) Στενώτατος σύνδεσμος τῆς ὅλης οὐσίας ἡμῶν μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, ἅμα δὲ ὁ τῶν πιστευόντων πρὸς ἀλλήλους « Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ » (Ἰωαν. 6, 56). « Ἕν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν» (Ι Κορ. 10, 17).

δ) Ὁ ἀῤῥαβὼν τῆς ἀθανασίας καὶ τῆς ἀναστάσεως εἰς ζωὴν αἰώνιον μετὰ τοῦ Ἰησοῦ Χριστοῦ· « ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ» (Ἰωαν. 6, 54). Διὰ ταύτας τὰς τοσαύτας καὶ τηλικαύτας ἀγαθοεργοὺς καὶ σωτηρίους δωρεὰς τοῦ ἁγιωτάτου τούτου μυστηρίου ὀφείλομεν ὅ,τι μάκιστα συνεχῶς μεταλαμβάνειν, ὡς τοῦτο καὶ τὸ πάλαι ἐν τῇ πρώτῃ Ἐκκλησίᾳ ἐγίνετο.

§ 304. *Ἡ ἀνάγκη τῆς προπαρασκευῆς.*

Ἐν τούτοις, εἰς μετάληψιν τῶν σωτηρίων τούτων δωρεῶν ἐκ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, ἀναγκαία ἱερουργοῦσι τε καὶ μεταλαμβάνουσιν ἡ πρέπουσα προπαρασκευή. «Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ

Κυρίου» (1 Κορ. 11, 28—29). Ἡ προετοιμασία δ'αὐτη συνίσταται ἐν τῇ εἰλικρινεῖ ἐξομολογήσει τῶν ἁμαρτιῶν, ἐν τῇ νηστείᾳ, ἐν τῇ κατανύξει καὶ συντριβῇ, ἐν τῇ τελείᾳ διαλλαγῇ πρὸς πάντας καὶ ἐν τῇ προσευχῇ, ὡς διέταξεν ἡ Ἐκκλησία.

§ 305. *Ἡ εὐχαριστία ὡς θυσία.*

Τὸ ἁγιώτατον Μυστήριον τῆς εὐχαριστίας, οὐ μόνον παρέχει τοσοῦτον σωτηρίους καρποὺς τοῖς μεταλαμβάνουσιν, ἀλλὰ καὶ σπουδαιοτάτη ἱεροταλευτία ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ διὰ τοῦτο, διότι ἐστὶν ἡ ἀληθὴς, ἡ μόνη καὶ διηνεκὴς τῆς Κ. Διαθήκης τῷ Θεῷ Πατρὶ θυσία, ἡ ἀντικαταστήσασα πάσας τὰς τῆς Π. Διαθήκης, ἐστὶν ἡ καθαρὰ ἐκείνη θυσία ἣν προανήγγειλεν ὁ Προφήτης Μαλαχίας. « Ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται ἐπὶ τῷ ὀνόματί μου καὶ θυσία καθαρά.» (Μαλ. 1, 10. 11). Διότι ἀληθὴς, παγκόσμιος καὶ λυτρωτικὴ θυσία ὑπὲρ τοῦ ἀνθρωπίνου γένους ἦν προεικόνιζον καὶ ἐξ ἧς ἐλάμβανον τὴν ἑαυτῶν δύναμιν αἱ τῆς Π. Διαθήκης θυσίαι, ἣν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐκχέας τὸ ἴδιον αἷμα καὶ ἀποθανὼν ἐπὶ τοῦ σταυροῦ· ἐν δὲ τῇ εὐχαριστίᾳ παρατίθεται αὐτὸ τὸ ἀληθὲς σῶμα τοῦ Κυρίου, τὸ ὑπὲρ ἡμῶν κλώμενον, καὶ αὐτὸ τὸ ἀληθὲς αἷμα αὐτοῦ τὸ ὑπὲρ ἡμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Διὸ καὶ ὁ Ἀπόστολος Παῦλος ἀποκαλεῖ τὸν τόπον, ἐφ' οὗ τελεῖται θυσιαστήριον (Ἑβρ. 13, 10), λειτουργία δὲ καλεῖται ἡ πρᾶξις (Πραξ. 13, 2). Καὶ ἡ καθόλου Ἐκκλησία πάντοτε ὡμολόγει τὴν ἀλήθειαν ταύτην. Οὕτως ἐν ταῖς εὐχαῖς πασῶν τῶν γνωστῶν λειτουργιῶν σαφῶς ἐκφράζεται, ὅτι ἡ εὐχαριστία ἀληθὴς ἐστιν ἀναίμακτος θυσία εὐχαριστήριός τε καὶ ἱλαστήριος, προφερομένη τῷ Θεῷ καὶ Πατρὶ ὑπὲρ πάντων καὶ διὰ πάντα. « Πάντας οὖν λέγει ὁ ἅγιος Ἰουστῖνος, οἱ διὰ τοῦ ὁ-

νόματος τούτου θυσίας, ἃς παρέδωκεν Ἰησοῦς Χριστὸς γίνεσθαι. τουτέστιν ἐπὶ τῇ εὐχαριστίᾳ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου καὶ ἐν παντὶ τόπῳ τῆς γῆς γινομένας ὑπὸ τῶν χριστιανῶν προλαβὼν ὁ Θεὸς μαρτυρεῖ εὐαρέστους ὑπάρχειν αὐτῷ » (1). Ὁ Ἰησοῦς Χριστὸς, γράφει ὁ ἅγιος Εἰρηναῖος, ἐδίδαξεν ἡμᾶς νέαν προσφορὰν τῆς Κ. Διαθήκης, ἣν ἡ Ἐκκλησία παραλαβοῦσα παρὰ τῶν Ἀποστόλων, καθ' ἅπαντα τὸν κόσμον προσφέρει τῷ Θεῷ » (2). Ἐπειδὴ δὲ ἡ εὐχαριστία θυσία ἐστὶν, διὰ τοῦτο σωτήριον οὐ μόνον μεταλαμβάνειν, ἀλλὰ καὶ ἁπλῶς παρεῖναι καὶ προσεύχεσθαι, τελουμένης ταύτης, καὶ μνημονεύειν, ἐπὶ τῆς προσφορᾶς τῶν τιμίων δώρων, ζώντων τε καὶ τεθνεώτων, καὶ ἐξαιτεῖσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, διὰ τὸ αἷμα τοῦ Σωτῆρος Χριστοῦ, πᾶν τὸ καλὸν καὶ εὐάρεστον.

4) Μετάνοια.

§ 306. *Ἔννοια.*

Ἡ Μετάνοιά ἐστι Μυστήριον, ἐν ᾧ ὁ πιστεύων, ἐξομολογούμενος ἐνώπιον τοῦ Ἱερέως τὰς ἰδίας ἁμαρτίας τὰς μετὰ τὸ Βάπτισμα, λαμβάνει διὰ τοῦ Ἱερέως συγχώρησιν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν παρ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ.

§ 307. Ἡ θεόθεν σύστασις.

Καὶ τὸ μυστήριον τοῦτο ἔλαβε παρὰ Θεοῦ τὴν ἰδίαν ἀρχὴν, ὡς καὶ τὰ λοιπά· διότι ἐν τῇ Π. Διαθήκῃ ἤδη ὑπαγορεύεται τοῦτο (Ἀριθ. 5, 7. Λευιτ. 5, 5). Καὶ ὁ Ἰωάννης ὁ Πρόδρομος ὁ προπαρασκευάσας τὸ Βάπτισμα, προπαρασκεύασε καὶ τὸ Μυστήριον τοῦτο, ἀποδεχόμενος τὴν ἐξομολόγησιν τῶν εἰς τὸ βάπτισμα πρὸς αὐτὸν ἐρχομένων. Τέλος αὐτὸς ὁ Ἰησοῦς

(1) Διάλ. πρὸς Τρύφ. 117.
(2) Κατὰ Αἱρ. βιβλ. Δ'. 17. 5.

Χριστὸς, ᾧτινι ὁ Θεὸς καὶ Πατὴρ ἔδωκε πᾶσαν ἐξουσίαν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς (Ματθ. 28, 18), καὶ πᾶσαν τὴν κρίσιν (Ἰωαν. 5, 22), μετέδωκε καὶ τοῖς Ἀποστόλοις τὴν ἐξουσίαν ταύτην τὴν ἔξοχον· « ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ (Ματθ. 18, 18). « Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς· καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς, Λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται » (Ἰωαν. 20, 21—23). Τῇ ἐξουσίᾳ δὲ ταύτῃ ἐχρήσαντο ἔργῳ οἱ Ἀπόστολοι ἐν τῷ Μυστηρίῳ τῆς Μετανοίας. Οὕτως ἐν τῇ βίβλῳ τῶν Πράξεων λέγεται, ὅτι « πολλοὶ τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλοντες τὰς πράξεις αὐτῶν (19, 18). Ὁ δὲ Ἀπόστολος Ἰωάννης λέγει· « ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας » (1 Ἰωαν. 1, 9). Μετὰ δὲ τοὺς Ἀποστόλους, κατὰ τὴν παράδοσιν αὐτῶν, ὑπῆρχε πάντοτε ἐν τῇ Ἐκκλησίᾳ ἡ Μετάνοια ὡς Μυστήριον· γίνετε δὲ μνεία τούτου ἐν τοῖς Ἀποστολικοῖς Κανόσι καὶ διαταγαῖς (1), ἔνθα παραγγέλλεται τοῖς ποιμέσι τῆς Ἐκκλησίας, πῶς δεῖ χρῆσθαι τούτῳ, ὁμοίως δὲ καὶ παρὰ πολλοῖς τῶν Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας τῶν ἀρχαιοτάτων χρόνων· οἷον παρὰ Κλήμεντι Ῥώμης (2), Εἰρηναίῳ (3), Τερτυλλιανῷ (4), Ὠριγένει (5), Κυπριανῷ (6). Τούτων δὲ ὁ μὲν Τερτυλλιανὸς

---

(1) Καν. Ἀποσ. 52.
(2) Ἐπιστ. πρὸς Κορινθ.
(3) Κατὰ Αἱρ. 7, 6 3.
(4) De braescr. aqv. haer. C. 15. 16.
(5) Hom. in P. 5. 37. Hom 2 in Levit.
(9) Lip. qe labsis.

ἀριθμεῖ αὐτὸ ἐν τοῖς Μυστηρίοις (Sacramenta) τῶν ἱεροτελεστιῶν· ὁ δὲ Κυπριανὸς γράφει « ἐξομολογώμεθα πάντες, δέομαι ὑμῶν, ἕκαστος τὸ ἴδιον ἁμάρτημα, ἐφ' ὅσον ἡ ἐξιλέωσις καὶ ἄφεσις, αἱ διὰ τοῦ ἱερέως δεκταὶ ἔτι εἰσὶ τῷ Θεῷ. » Ὅτι δὲ ἀναγκαῖον τὸ Μυστήριον τοῦτο τοσοῦτον δῆλον, ὅσον καὶ ὅτι οὐδεὶς ἀναμάρτητος εἰμὴ ὁ Θεὸς, καὶ ὅτι οἱ πάντες χρῄζουσι διαλλαγῆς πρὸς τὸν Θεὸν καὶ ἀφέσεως ἁμαρτιῶν, ὅπερ οὐδεὶς πάλιν δύναται κατορθοῦν, εἰμὴ αὐτὸς ὁ Θεός.

§ 308. *Τὰ ὁρατὰ καὶ αἰσθητὰ σημεῖα.*

Τοιαῦτα δέ εἰσιν

α) Προφορικὴ καὶ λεπτομερὴς ἐξομολόγησις πασῶν τῶν ἁμαρτιῶν· Διότι, ἔνθεν μὲν ὁ ἱερεὺς ἔχει ἐξουσίαν οὐ μόνον τοῦ λύειν, ἀλλὰ καὶ δεσμεῖν· ἄρα ἵνα λύσῃ ὀφείλει γινώσκειν ἐκ τίνος λύει, ἄλλως εἰς οὐδὲν τὸ δικαίωμα αὐτοῦ· ἔνθεν δὲ, ἐπειδὴ τὸ Μυστήριον τῆς Μετανοίας κρίσις ἐστὶ πνευματικὴ καὶ θεραπεία, πῶς δύναταί τις κρίνειν περὶ ἀγνώστων καὶ θεραπεύειν ἄγνωστον νόσον; Γνωστὸν δ' ὅτι κατὰ τοὺς Ἀποστολικοὺς χρόνους, οἱ μετανοοῦντες ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν, ὅπερ σαφῶς ἀποδείκνυσι λεπτομερῆ καὶ ἀπὸ στόματος ἐξαγόρευσιν, οὐχὶ δὲ ἁπλῆν ὁμολογίαν περὶ ἑαυτοῦ ὡς ἁμαρτωλοῦ ἐν γένει. Τούτῳ δὲ μαρτυρεῖ καὶ ἡ διηνεκὴς πρᾶξις τῆς Ἐκκλησίας, καὶ οἱ Πατέρες καὶ διδάσκαλοι αὐτῆς. Ἀνάγκη δὲ γίνεσθαι τὴν ἐξομολόγησιν μετὰ συντετριμμένης καρδίας, φόβου Θεοῦ, ἅμα δὲ καὶ ἐλπίδος ἐπὶ τῇ εὐσπλαχνίᾳ τοῦ Θεοῦ καὶ τῇ ἀξιομισθίᾳ τοῦ Σωτῆρος Χριστοῦ, καὶ ἔχειν παρακολουθοῦσαν γνώμην σταθερὰν καὶ ὑπόσχεσιν διορθώσεως· ἄλλως ἡ μετάνοια ἔσται οὐχὶ κάθαρσις, ἀλλ' ἴσως προσθήκη ἁμαρτίας.

β) Αἱ συγχωρητικαὶ λέξεις αἱ ἀπαγγελλόμεναι ὑπὸ τοῦ ἱερέως μετὰ τὴν ἐξομολόγησιν. « Ὁ Κύριος καὶ Θεὸς ἡμῶν

Ἰησοῦς Χριστὸς, χάριτι καὶ οἰκτιρμοῖς τῆς Αὐτοῦ φιλανθρωπίας, στγχωρήσαι σοι, τέκνον, πάσας τὰς ἁμαρτίας σου καὶ ἐγὼ ὁ ἀνάξιος ἱερεὺς τῇ ἐξουσίᾳ Αὐτοῦ, τῇ δοθείσῃ μοι, συγχωρῶ καὶ ἀπολύω σε ἀπὸ πάσης ἁμαρτίας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, Ἀμήν. »

§ 309. *Ἡ χάρις ἡ μεταδιδομένη ἐν τῷ Μυστηρίῳ τῆς Μετανοίας.*

Ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἡ ἐν τῷ μυστηρίῳ τῆς Μετανοίας ἐστὶν α) ἡ ἄφεσις τῶν ἁμαρτιῶν καὶ ἐπάνοδος εἰς τὴν ἀθωότητα ἣν ἐν τῷ βαπτίσματι περιεποιησάμεθα, ἀλλ' ἀπωλέσαμεν ἐν ταῖς ἁμαρτίαις ἡμῶν ταῖς μετὰ ταῦτα. Διὸ καὶ οἱ διδάσκαλοι τῆς Ἐκκλησίας ἀποκαλοῦσι τὸ μυστήριον τοῦτο δεύτερόν τι βάπτισμα, καὶ παραβάλλουσιν αὐτὸ πρὸς σανίδα, ἐφ' ἧς σώζεται ὁ ναυαγήσας (1). β) Ἡ διαλλαγὴ τοῦ ἁμαρτωλοῦ πρὸς τὸν Θεὸν, τὴν Ἐκκλησίαν, καὶ τὴν ἰδίαν συνείδησιν, μεθ' ὃ ἐπανέρχεται τὸ τε πρότερον υἱϊκὸν θάρρος πρὸς τὸν ἐπουράνιον Πατέρα, καὶ ἡ ἐσωτερικὴ γαλήνη τῆς συνειδήσεως.

§ 310. *Ἐπιτιμία.*

Εἰς τὸ μυστήριον τῆς Μετανοίας ἀνάγεται καὶ ἡ ἐπιτιμία, ἥτις ἔστι πνευματικὴ ποινὴ καὶ ἀμοιβὴ τῶν ἁμαρτιῶν, καὶ ἐπιτιθεμένη ἐνίοτε ὑπὸ τοῦ Πνευματικοῦ, κατὰ τὴν ἀξίαν τῶν ἁμαρτιῶν, καὶ τὴν κατάστασιν τῆς συνειδήσεως τῶν μετανοούντων. Ἔχουσι δὲ τὸ δικαίωμα τοῦτο ἀναντιῤῥήτως οἱ πνευματικοὶ πατέρες. Διότι α) ὁ Ἰησοῦς Χριστὸς καθιδρύων τὸ μυστήριον τῆς μετανοίας, ἔδωκε τοῖς Ἀποστόλοις ἐξουσίαν

(1) Τερτυλ. de Poenit. 4.

οὐ μόνον λύειν, ἀλλὰ καὶ δεσμεῖν, οὐ μόνον ἀφιέναι, ἀλλὰ καὶ κρατεῖν τὰς ἁμαρτίας. β) Παραδείγματα δὲ ἐπιτιμιῶν ἔχομεν ἤδη ἐν τῇ Ἀποστολικῇ Ἐκκλησίᾳ· οὕτω παρέδωκεν ὁ Ἀπόστολος Παῦλος τὸν ἐν Κορίνθῳ αἱμομίκτην τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ Πνεῦμα σωθῇ (1 Κορ. 5, 5)· καὶ μετὰ ταῦτα ἦν ἐν χρήσει παρὰ τῇ Ἐκκλησίᾳ. Καὶ δὴ τέσσαρες τάξεις τὸ πάλαι ἦσαν μετανοούντων ἡ τῶν χειμαζομένων ἢ προσκλαιόντων (ἔξω τῆς Ἐκκλησίας) ἡ τῶν ἀκροωμένων ἐν τῷ Νάρθηκι μετὰ τῶν κατηχουμένων· ἡ τῶν γόνυ κλινόντων παρὰ τῇ Πύλῃ· ἡ τῶν συνισταμένων τοῖς πιστοῖς καθ' ἅπασαν τὴν λειτουργίαν, ἀλλὰ μὴ κοινωνούντων. γ) Ἀναγκαῖαι εἰσὶν αἱ ἐπιτιμίαι εἰς ἀνάπαυσιν τῆς συνειδήσεως τοῦ μετανοοῦντος πλήρη· πρὸς δὲ τούτοις ἀπαιτεῖ ταύτας καὶ ἡ εὐγνώμων καὶ συντετριμμένη καρδία, καὶ ἡ διόρθωσις τοῦ ἁμαρτωλοῦ. Πρὸς δὲ ταῖς ὑπὸ τῶν ἐκκλησαστικῶν κανόνων ὁριζομέναις ἐπιτιμίαις εἰσὶ καὶ ἕτεραι ὑπὸ τῶν Πνευματικῶν κατὰ τὴν ἀνάγκην ἐπιτιθεμέναι, οἷον προσευχὴ, νηστεία, ἐπίσκεψις ἁγίων τόπων, γονυκλισίαι καὶ λοιπὰ (1). Ὅτι δὲ ταῦτα σπουδαῖα καταφαίνεται ἐκ τῶν λογίων τοῦ Σωτῆρος « ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ Οὐρανῷ (Ματθ. 18, 18).

§ 311. Τὰ ἐπιτιμῶντα πρόσωπα

Τὸ δικαίωμα τοῦ ἐπιτελεῖν τὸ μυστήριον τῆς μετανοίας, καὶ ἀφιέναι ἁμαρτίας ἔχουσι μόνοι οἱ τῆς ἀποστολικῆς διακονίας διάδοχοι ἐπίσκοποι καὶ πρεσβύτεροι. Διότι μόνοις τούτοις διὰ τῶν Ἀποστόλων ἐνεχείρισεν ὁ Χριστὸς τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρανῶν καὶ τὸ δικαίωμα τοῦ δεσμεῖν καὶ λύειν.

---

(1) Ὀρθ. Ὁμολ. Πέτρου Μογίλα ἐρώτ. 113.

Διὸ καὶ ἐν τῇ ἀποστολικῇ Ἐκκλησίᾳ οἱ Ἀπόστολοι ἐπετίμων καὶ ἀπέλυον μόνοι. Πλὴν τούτων καὶ οἱ Πατέρες τῆς Ἐκκλησίας σαφῶς μαρτυροῦσιν, ὅτι τὸ δικαίωμα τοῦτο μόνοι οἱ ἱερεῖς εἶχον καί ὀφείλουσιν ἔχειν. Καὶ δὴ ὁ ἅγιος Ἀμβρόσιος λέγει «τί δε ἡμῖν; ἀφίησιν ὁ ἱερεὺς ἐν τῷ βαπτίσματι ἢ τῇ μετανοίᾳ ἁμαρτίας; ἐκεῖ καὶ ἐνταῦ θα ἡ αὐτὴ χάρις (1). ὁ δὲ ἅγιος Χρισόστομος λέγει· « Πᾶσαν τὴν κρίσιν ἔδωκεν ὁ Πατὴρ τῷ Υἱῷ· ὁρῶ δὲ πᾶσαν αὐτὴν τούτ ους (τοὺς ἱερεῖς) ἐγχειρισθέντας» (2).

§ 312. *Τὰ μετανοοῦντα πρόσωπα.*

Ἀνάγκην μετανοίας ἔχουσι πάντες, πλὴν τῶν νηπίων, διότι πάντες ἁμαρτωλοί « ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν» (1 Ιωαν. 1, 8). Ὀφείλουσι δὲ οἱ προσερχόμενοι τῷ μυστηρίῳ τούτῳ ἐν προσευχῇ καὶ νηστείᾳ διάγειν κατὰ τὴν τάξιν τῆς Ορθοδόξου Ἐκκλησίας. Κατὰ δὲ τὴν κατάστασιν καὶ ἀνάγκην τῆς συνειδήσεως τελεῖται τὸ μυστήριον τῆς μετανοίας ἐν παντὶ καιρῷ.

5) Ἱερωσύνη.

§ 313. *Ἔννοια*

Ἡ Ἱερωσύνη ἐστὶ μυστήριον, ἐν ᾧ, δι' ἐπιθέσεως τῶν τοῦ Αρχιερέως χειρῶν μετ' εὐχῆς, κατέρχεται ἐπὶ τοῦ ὑποψηφίου ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, δωρουμένη τὴν ποιμαντικὴν ἐξουσίαν, τουτέστι τὴν ἐξουσίαν τοῦ διδάσκειν, ἱερουργεῖν καὶ ποιμαίνειν τὴν ποίμνην τοῦ Χριστοῦ.

---

(1) de poenit. lib. 1. c. 8.

(2) Περὶ Ἱερωσ. βιβλ. 3.

§ 314. *Σύστασις,*

Τὸ μυστήριον τῆς ἱερωσύνης ἔχει ἀναντιρρήτως τὴν ἰδίαν αὐτοῦ ἀρχὴν ἐξ αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ. Διότι ἐκλεξάμενος προηγουμένως εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου καὶ τὴν οἰκονομίαν τῶν μυστηρίων τοὺς Ἀποστόλους, μετὰ τὴν ἀνάστασιν ἁγιάζει αὐτοὺς παῤῥησίᾳ εἰς τὴν διακονίαν ταύτην, εἰπών. « Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς, λάβετε Πνεῦμα Ἅγιον· ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄντινων κρατῆτε, κεκράτηνται » (Ἰωαν. 20, 22. 23). Μετὰ δὲ ταῦτα μικρὸν πρὸ τῆς ἀναλήψεως εἰς οὐρανὸν, ἐντειλάμενος τοῖς Ἀποστόλοις ἀπελθεῖν εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου καὶ βαπτίζειν τοὺς πιστεύοντας, θέλει ὅπως καὶ μετὰ ταῦτα ὑπάρχῃ ἡ διακονία αὕτη ἐν τοῖς διαδόχοις αὐτῶν, εἰπών. « Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος » (Ματθ. 28, 20). Διὰ τοῦτο καὶ οἱ Ἀπόστολοι, οὐ μόνον αὐτοὶ ἐκήρυττον, ἐπετέλουν τὰ μυστήρια, καὶ ἐποίμαινον τὴν ποίμνην τοῦ Χριστοῦ, ἀλλὰ μετεδίδοσαν τὴν χάριν τῆς ἱερωσύνης καὶ τισι τῶν μαθητῶν δι' ἰδίας ἱεροτελεστίας τῆς ἐπιθέσεως τῶν χειρῶν (Πραξ. 13, 3. 14, 23. 6, 6· 1 Τιμ. 5 22). Γράφει δὲ ὁ Ἀπόστολος Παῦλος πρὸς Τιμόθεον. « μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθησοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου » (1 Τιμ. 4, 14. 2 Τιμ. 1, 6). Πρὸς τούτῳ πολλοῖς ἐδίδοσαν τὴν ἐξουσίαν τοῦ χειροτονεῖν καὶ ἄλλοις μεταδιδόναι τὸ δικαίωμα τῆς ἱερωσύνης, ὡς τοῦτο μαρτυρεῖ ὁ Ἀπόστολος γράφων τῷ Τίτῳ. « Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃ κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην » (Τιτ. 1, 5). Μετὰ τοὺς Ἀποστόλους ἡ οἰκουμενικὴ Ἐκκλησία ἀείποτε ἀπεδίδου τῇ χειροτονίᾳ τῇ ἀπὸ τῶν Ἀποστόλων ἀδιαῤῥήκτως μεταβαινούσῃ δύναμιν

μυστηρίου καὶ οὐδαμῶς ἄλλους ποιμένας εἶχε παρὰ τοὺς χειροτονημένους (ἴδε § 268, καὶ 269). Καταφαίνεται δὲ τοῦτο ἐκ τε τῶν κανόνων τῶν Ἀποστολικῶν καὶ Συνοδικῶν, ἐν οἷς πολλὰ περὶ ἐκλογῆς καὶ χειροτονίας εἰσὶν, καὶ ἐκ τῶν μαρτυριῶν τῶν ἀρχαιοτάτων Πατέρων τῆς Ἐκκλησίας. Ὁ Κυπριανὸς, ὡς ἐν παραδείγματι, ῥητῶς ἀποκαλεῖ τὴν ἱερωσύνην *μυστήριον* (Sacramentum), καὶ παραβάλλει αὐτὸ πρὸς τὸ Βάπτισμα μὴ ἐπαναλαμβανόμενον καὶ τοῦτο (1).

§ 315. *Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα.*

Ὁρατὰ ἢ αἰσθητὰ σημεῖα τοῦ μυστηρίου τούτου εἰσίν.

α) *Ἡ ἐπίθεσις τῶν χειρῶν ὑπὸ Ἀρχιερέως* ἐπὶ τοῦ προχειριζομένου. Τοῦτο δὲ παρελήφθη παρὰ τῶν Ἀποστόλων, ὡς τοῦτο δῆλον ἐκ πάντων τῶν χωρίων τῆς Γραφῆς, ἐν οἷς περὶ χειροτονίας ὁ λόγος (ἴδε § 314).

β) *Αἱ λέξεις* αἱ ἀπαγγελλόμεναι ὑπὸ τοῦ Ἀρχιερέως ἐπὶ τῆς ἐπιθέσεως τῶν χειρῶν ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου. «Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται » κτλ.

§ 316. *Ἡ χάρις ἡ μεταδιδομένη τῷ μυστηρίῳ τῆς Ἱερωσύνης.*

Ἡ χάρις ἡ ἐν τῷ μυστηρίῳ τῆς Ἱερωσύνης ἐστὶν ἐν γένει ἡ ποιμαντικὴ ἐξουσία ἐπὶ τῆς ποίμνης τοῦ Χριστοῦ. « Προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, λέγει ὁ Ἀπόστολος τοῖς ἐν Ἐφέσῳ ποιμέσιν, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος » (Πραξ. 20, 28). Τὸ ἔργον

(1) Serm. de oper. Christ.

δὲ καὶ τὸν σκοπὸν τῆς ποιμαντικῆς ἐξουσίας δείκνυσιν ὁ αὐτὸς Ἀπόστολος ἀποκαλῶν τοὺς Ἀποστόλους καὶ τοὺς ποιμένας ἄρα, *οἰκονόμους τῶν μυστηρίων τοῦ Θεοῦ* (1 Κορ. 4, 1). ἐν ἑτέρῳ δὲ χωρίῳ λέγει. « Αὐτὸς ἔδωκε τοὺς μὲν Ἀποστόλους τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ· μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ » (Ἐφ. 4, 11—13). Ἐκ τούτου δὲ ἀφ' ἑαυτοῦ ἀποκαλύπτεται τὸ μέγα καὶ σπουδαῖον τοῦ μυστηρίου τῆς Ἱερωσύνης ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, μάλιστα διότι ἄνευ τούτου ἀδύνατον καὶ ἡ οἰκονομία τῶν λοιπῶν μυστηρίων, ἀδύνατον ἄρα καὶ ὁ ἁγιασμὸς καὶ σωτηρία τῶν πιστῶν, ἀδύνατον καὶ ἡ ὕπαρξις τῆς Ἐκκλησίας. « χωρὶς τούτων, λέγει ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος, Ἐκκλησία οὐ καλεῖται » (1).

§ 317. *Οἱ βαθμοὶ τῆς Ἱερωσύνης.*

Ἡ ἱερωσύνη ἔχει τρεῖς βαθμούς, ὧν ὁ μὲν κατώτερός ἐστιν ὁ τοῦ *Διακόνου*, ὅττις οὐδὲν μυστήριον ἐπιτελεῖ, ἀλλὰ διακονεῖ, τελουμένων αὐτῶν, τοῖς ἀνωτέρους βαθμοὺς ἔχουσιν. Ἔχει ὅμως τὸ δικαίωμα τοῦ κηρύττειν τὸν λόγον τοῦ Θεοῦ, ὡς τοῦτο ἐγίνετο ἔν τε τῇ Ἀποστολικῇ Ἐκκλησίᾳ καὶ μετὰ ταῦτα (Πράξ. 7, 8,). Δεύτερος βαθμός ἐστιν ὁ τοῦ Πρεσβυτέρου, ὃς ἐπιτελεῖ μυστήρια, κηρύττει τὸν λόγον τοῦ Θεοῦ, καὶ κυβερνᾷ τὴν πιστευθεῖσαν αὐτῷ ποίμνην ἀλλ' ὑπείκει τῷ Ἐπισκόπῳ καὶ οὐ δύναται μεταδιδόναι τὴν Ἱερωσύνην ἄλλοις. Ἀνώτατος δὲ βαθμὸς τῆς Ἱερωσύνης ἐστὶν ὁ τοῦ *Ἐπισκόπου*, ὃς

(1) Ἀποστ. Καν. 1. Τῆς ἐν Καρθ. Συν. 13.

πάντα ἐπιτελῶν τὰ τοῦ Πρεσβυτέρου, ἔχει ἔτι τὴν ἐξουσίαν καὶ χειροτονεῖν ἄλλους ἱερεῖς (ἴδε § 270). Διὰ τοῦτο καὶ ἐπὶ τῆς χειροτονίας τοῦ ἐπισκόπου, κατέρχεται ἐπ' αὐτοῦ διπλῆ τις ἡ χάρις τῆς ἱερωσύνης, διὸ καὶ εἰς σημεῖον τούτου, κατὰ τοὺς κανόνας τῆς Ἐκκλησίας χειροτονοῦσιν αὐτὸν οὐχὶ εἷς, ἀλλὰ πολλοί, τοὐλάχιστον δύω ἐπίσκοποι (1).

§ 318. *Τὰ χειροτονούμενα πρόσωπα.*

Ὁ εἰς χειροτονίαν προσερχόμενος ὀφείλει α) εἶναι ἀνεπίληπτος τὸν βίον, ὅπως ᾖ τύπος καὶ παράδειγμα τοῖς πιστεύουσιν, ὡς ὁ Ἀπόστολος Παῦλος γράφει Τιμοθέῳ « τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ » (1 Τιμ. 4, 12), καὶ Τίτῳ « δεῖ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον » (Τίτ. 1, 7). β) Ὀφείλει ἔχειν νόμιμον ἐκλογὴν καὶ ἔγκρισιν. « Οὐδεὶς γὰρ ἑαυτῷ λαμβάνει τὴν τιμήν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών » (Ἑβρ. 5, 4). γ) Ὁ δ' ἄγαμος βίος τοῖς ἱερωμένοις οὐκ ἀναγκαῖος. διότι τοῦτο οὐδέποτε ἦν ἔθος ἐν τῇ πρώτῃ Ἐκκλησίᾳ καὶ ἐπὶ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου ἐλύθη τὸ ζήτημα τοῦτο, ἐπιτρεπομένου τοῦ γάμου πρὸ τῆς χειροτονίας τοῖς μὴ μοναχοῖς καὶ μέλλουσι χειροτονεῖσθαι. Ἐξαιρεῖται δέ τούτου ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ ὁ ἐπισκοπικὸς βαθμός, ὅπερ κατ' ἀρχὰς μὲν ἐξ ἔθους μετὰ δὲ ταῦτα καὶ ἐκ Συνοδικῆς διατάξεως καθιερώθη, καὶ οὕτινος ἀξιοῦνται μόνοι οἱ μοναχοί (2).

§ 319. *Ἡ Ἱερωσύνη οὐκ ἐπαναλαμβάνεται*

Τὸ μυστήριον τῆς Ἱερωσύνης οὐκ ἐπαναλαμβάνεται, ὡς

(1) Πρὸς Τραλ. 3.
(2) Καν. 12. τῆς 6ης Οἰκ. Συν.

καὶ τὸ Βάπτισμα. Τοῦτο δ' ὥρισαν οἱ κανόνες τῆς Ἐκκλησίας διότι κατὰ τὸν Ἀπόστολον ὁ Ἐπίσκοπος, ἄρα καὶ ὁ πρεσβύτερος, ὀφείλει ἀνέγκλητος εἶναι, καθαιρεῖται δὲ ὁ ἐγκλήματα ἔχων· ὥστε ὁ ἅπαξ καθαιρεθεὶς οὐ δύναται πάλιν χειροτονίαν λαβεῖν (3).

6) Γάμος.

§ 320. *Ἔννοια.*

Ὁ Γάμος ἐστὶ μυστήριον, ἐν ᾧ διὰ τῶν εὐχῶν καὶ τῆς εὐλογίας τοῦ Ἱερέως, κατέρχεται ἐπὶ τῶν συζευγνυμένων ἀνδρὸς καὶ γυναικὸς ἡ χάρις, κρατύνουσα καὶ ἁγιάζουσα τὸν ἐλεύθερον σύνδεσμον αὐτῶν εἰς ἀμοιβαίαν ἀντίληψιν καὶ νόμιμον τεκνογονίαν καὶ ἀνατροφὴν τῶν τέκνων.

§ 321. *Σύστασις.*

Ὁ Γάμος καθιερώθη ἐξ ἀρχῆς ὑπ' αὐτοῦ τοῦ Θεοῦ ἐν τῷ Παραδείσῳ. Λέγεται δὲ περὶ τοῦ πρωτοπλάστου ζεύγους ἐν τῇ Γενέσει. « Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν... Αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη. Ἕνεκεν τούτου καταλήψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν » (1, 28. 2, 23. 24). Μετὰ ταῦτα ὁ Ἰησοῦς Χριστὸς ἐν τῇ καινῇ διαθήκῃ ἐκύρωσε τὸν νόμον τοῦτον, χρώμενος αὐταῖς ταῖς λέξεσι τῆς Γενέσεως ἐν τῇ πρὸς Φαρισαίους ὁμιλίᾳ περὶ τοῦ ἀλύτου τοῦ γάμου, προσθείς. « ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω » (Ματθ. 19, 6). Μυστήριον δὲ ῥητῶς ἀποκαλεῖ ὁ Ἀπόστολος τὸν γάμον, ὡς τύπον

---

(1) Καν. 68. τῶν Ἀποστ. καὶ 52 τῆς ἐν Καρθ. Συν.

τοῦ ἁγιωτάτου καὶ ὑψίστου μυστηρίου τῆς ἑνώσεως τοῦ Ἰησοῦ Χριστοῦ μετὰ τῆς Ἐκκλησίας καὶ τῆς ψυχῆς ἑκάστου τῶν πιστευόντων. « Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν » (Ἐφεσ. 5, 31. 32). Καὶ ἐν τῇ Ἐκκλησίᾳ ἀείποτε ἦν θεῖον καθίδρυμα καὶ μυστήριον ὁ γάμος. Καὶ δὴ ὁ Τερτυλλιανὸς καταλέγει αὐτὸν ἐν ταῖς ἱεροτελεστίαις, ἃς ἀποκαλεῖ Sacramentum (1) Ὁ δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς, λόγον ποιούμενος περὶ τῆς ἁγιότητος τοῦ γάμου λέγει ὅτι ὁ Ἀπόστολος ἀνάγει τὸ *μυστήριον* τοῦτο εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν (2). Ὁ δὲ Ἀμβρόσιος γράφει. « ὁ παραβαίνων τοὺς νόμους τοῦ γάμου, ἀπόλλυσι τὴν ἐν αὐτῷ χάριν. Αὐτὸς ὁ Θεὸς φρουρεῖ τὸν γάμον, διὸ καὶ ὁ παραβάτης ἁμαρτάνει κατὰ τοῦ Θεοῦ, καὶ στερεῖται τῆς κοινωνίας *τοῦ Οὐρανίου Μυστηρίου* » (3).

§ 322. Τὰ *ὁρατὰ ἢ αἰσθητὰ σημεῖα.*

Τοιαῦτα δ' εἰσίν.

α) Ἡ ἀπὸ στόματος ἐν τῷ ναῷ, παρόντων τῶν πιστῶν, συναίνεσις τῶν συζευγνυμένων εἰς τὴν τοῦ γάμου κοινωνίαν.

β) Ἡ πανηγυρικὴ εὐλογία ἐπὶ τῶν συζευχθέντων, ἐπιλεγομένη ὑπὸ τοῦ Ἱερέως, καὶ αἱ λέξεις ἐπὶ τοῦ ἀῤῥαβῶνος, δι' οὗ ἄρχεται τὸ μυστήριον. « ἀῤῥαβωνίζεται ὁ δοῦλος τοῦ Θεοῦ καὶ ἡ δούλη τοῦ Θεοῦ, καὶ ἐπὶ τοῦ στεφανώματος, δι' οὗ ἐπισφραγίζεται· στέφεται ὁ δοῦλος τοῦ Θεοῦ καὶ ἡ δούλη τοῦ Θεοῦ.

§ 323. *Ἡ χάρις ἡ ἐν τῷ μυστηρίῳ τοῦ γάμου.*

Ἡ χάρις ἡ ἐν τῷ μυστηρίῳ τοῦ γάμου ἐστὶν αὕτη. ὅτι α)

---

(1) Liber de praeser. adv. haeret.

(2) Στρωμ. 3, 21.

(3) Lib. 2. de Abrah. c. 7.

διὰ τοῦ μυστηρίου στερεοῦται ὁ γάμος καὶ καθίσταται ἄλυτος ὡς μαρτυρηθεὶς ἐνώπιον τοῦ βήματος τοῦ Κυρίου, καὶ εὐλογηθεὶς ὑπ' αὐτοῦ τοῦ Θεοῦ, διὰ τοῦ Ἱερέως· *ὃ ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω* (Ματθ. 19, 6). 6) Δι' αὐτοῦ ἁγιάζεται ὁ σκοπὸς τοῦ γάμου ἡ τεκνοποιΐα, καὶ κυροῦται, καὶ ἡ φυσικὴ ὁρμὴ ἡ νῦν ἀκάθαρτος οὖσα καθαρίζεται καὶ ἁγνοῦται· διὸ καὶ ὁ Ἀπόστολος λέγει. « Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός » (Ἑβρ. 13, 4).

§ 324. *Οἱ τελοῦντες τὸ μυστήριον καὶ οἱ εἰς γάμον εἰσερχόμενοι.*

Τελοῦσι τὸ μυστήριον τοῦ γάμου οἱ ἱερεῖς· εἰσέρχονται δ' εἰς γάμον εἷς ἀνὴρ καὶ γυνὴ μία· ἡ δὲ πολυγαμία ἡ ἐκ συγκαταβάσεως ἐν τῇ Π. Δ. συγχωρηθεῖσα, ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἔνθα ὁ τελειότατος ἠθικὸς νόμος, ἀπαγορεύεται ὅλως, ἅτε δὴ ἀντιβαίνουσα τῷ θεμελιώδει νόμῳ περὶ τοῦ γάμου, τῷ ἐν τῷ παραδείσῳ δοθέντι. Ἀλλ' ὅμως ἡ διαδοχικὴ ἐπανάληψις ὑπό τινας ὅρους οὐκ ἀπαγορεύεται καὶ ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ, καὶ ἐπαναλαμβάνεται τρίς. Ἀλλὰ διὰ τὴν συγκατάβασιν ταύτην ἡ Ἐκκλησία ἐπιτίθησιν ἐπιτίμια τοῖς εἰς δεύτερον καὶ τρίτον γάμον εἰσερχομένοις. Ἀναγκαῖον πρὸς τούτοις, ὅπως οἱ γάμου κοινωνοῦντες μὴ ὦσι στενοὶ συγγενεῖς, ἔχωσι νόμιμον ἡλικίαν, καὶ τηρῶσι τὰ τοῖς κανόσιν ὡρισμένα.

§ 325. *Τὸ ἄλυτον τοῦ γάμου, καὶ πότε λύεται.*

Ὁ γάμος, ὁ νομίμως τελεσθείς, οὐ λύεται. Τοῦτο δὲ δῆλον· ἔνθεν μὲν ἐκ τῆς ἁγιότητος τοῦ γάμου, τοῦ κυρωμένου ὑπ' αὐτοῦ τοῦ Θεοῦ καὶ μυστικῶς εἰκονίζοντος τὴν μετὰ τῆς Ἐκκλησίας κοινωνίαν τοῦ Ἰησοῦ Χριστοῦ· ἔνθεν δὲ ἐκ τ ῶν σα-

φῶν λόγων τοῦ Σωτῆρος Χριστοῦ, ἐν οἷς ἀπογορεύει λύεσθαι τὸν γάμον κατὰ πᾶσαν αἰτίαν, καὶ ὅτι ὁ Μωσῆς πρὸς τὴν σκληροκαρδίαν τῶν ἀνθρώπων ἐπέτρεψε τοῦτο, ἀλλ' ἀ ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω (Ματθ 19, 3—9). Ἀλλ' οὐχ ἧττον αὐτὸς ὁ Ἰησοῦς Χριστὸς δείκνυσι καὶ τὴν μόνην περίστασιν, ἐν ᾗ λύεται ὁ γάμος· ἔστι δὲ ἡ παράβασις τῆς συζυγικῆς πίστεως. Μετὰ δὲ τοῦτο ὁ ἀθῶος ἔχει τὴν ἄδειαν εἰς ἕτερον γάμον ἐλθεῖν, λαβὼν βιβλίον ἀποστασίου.

7) Εὐχέλαιον.

§ 326. *Ἔννοια.*

Τὸ εὐχέλαιόν ἐστι μυστήριον, ἐν ᾧ χριομένου τοῦ ἀσθενοῦς ὑλογηθέντι ἐλαίῳ, κατέρχεται ἐπ' αὐτοῦ ἡ χάρις, ἡ θεραπεύουσα τὰς νόσους ψυχῆς τε καὶ σώματος.

§ 327. *Σύστασις.*

Τὸ μυστήριον ἔχει τὴν ἀρχὴν ἀπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ. Διότι οἱ Ἀπόστολοι ἀποσταλέντες ὑπ' αὐτοῦ εἰς τὸ κήρυγμα τῆς βασιλείας τοῦ Θεοῦ ἀνὰ πάσας τὰς πόλεις καὶ κώμας τῆς Ἰουδαίας, ἀναμφιβόλως κατὰ τὴν τοῦ Σωτῆρος ἐντολὴν ἔχριον ἐλαίῳ τοὺς ἀῤῥώστους· « καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον (Μάρκ. 6, 13). Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ Κυρίου παρέδωκαν τῇ Ἐκκλησίᾳ ἀλείφειν ἐλαίῳ τοὺς ἀσθενοῦντας, ὡς τοῦτο δῆλον ἐκ τῶν τοῦ Ἀποστόλου Ἰακώβου « ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ » (Ἰακ 5, 14. 15). Ὅτι δὲ ἡ Ἐκκλησία ἀπὸ τῶν ἀποστολικῶν ἤδη χρόνων ἀνεγνώριζε τὸ μυστήριον τοῦ Εὐχελαίου, δῆλον τοῦτο ἐκ τῶν μαρτυριῶν τῶν

ἁγίων Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας οἷον Τερτυλλιανοῦ (1), Ὠριγένους (2), Χρυσοστόμου (3) Ἰννοκεντίου Α' Ῥώμης (4) καὶ μετὰ ταῦτα Γρηγόριος ὁ Μέγας ἐν τῇ περὶ μυστηρίων βίβλῳ ἐκτίθησι καὶ τὴν τάξιν τῆς ἀκολουθίας τοῦ Μυστηρίου τούτου, ὅπερ βεβαίως οὐκ αὐτὸς πρῶτος συνέταξεν, ἀλλ' ὑπῆρχεν ἔκπαλαι, κατὰ παράδοσιν ἀποστολικήν.

§ 328. Ὁρατὰ ἢ αἰσθητὰ σημεῖα.

Τοιαῦτα εἰσίν.

α) Ἡ *ὕλη*, ἥτις κατὰ τὸν Ἀπόστολόν ἐστι τὸ ἔλαιον ὡς ἁρμοδιώτατον σύμβολον τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος, τῆς ἰωμένης τὰς σωματικὰς νόσους.

β) Αἱ *λέξεις* εἴτε ἡ *εὐχὴ τῆς πίστεως* ἢ ὑπὸ τοῦ τελοῦντος ἐπιλεγομένη, χρίοντος τὸν ἄῤῥωστον ἐλαίῳ. Ἔχει δὲ ἡ εὐχὴ αὕτη οὕτως. « Πάτερ Ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων, ὁ πέμψας τὸν μονογενῆ σου Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πᾶσαν νόσον ἰώμενον, καὶ ἐκ τοῦ θανάτου λυτρούμενον, ἴκασαι καὶ τὸν δοῦλον σου ἐκ τῆς περιεχούσης αὐτῷ σωματικῆς καὶ ψυχικῆς ἀσθενείας καὶ ζωοποίησον αὐτὸν, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου ».

γ) Ἡ *ὁρατὴ πρᾶξις*. Ἔστι δ' ἐπταπλῆ σταυροειδὴς ἐπίχρισις τοῦ ἀσθενοῦντος ἐπὶ τοῦ μετώπου, μυκτήρων, παρειῶν, χειλέων, στήθους καὶ χειρῶν.

§ 329. Ἡ *χάρις ἡ ἐν τῷ μυστηρίῳ τούτῳ*.

Τὴν χάριν τοῦ μυστηρίου τούτου δείκνυσιν ὁ ἀπόστολος Ἰάκωβος· ἔστι δὲ ἄφεσις ἁμαρτιῶν καὶ ὑγεία σώματος. Εἰ

---

(1) De praescr. adv. haeret.
(2) Εἰς Λευϊτ. Ὁμιλ. 2, 4.
(3) Ὁμιλ. Γ' περὶ Ἱερωσ.
(4) Epist ad Decent, c. 8.

δὲ καὶ οὐχὶ πάντοτε λαμβάνει τὸ σῶμα ἔχειν, ἀλλ' ἡ ἄφεσις τῶν ἁμαρτιῶν πάντοτε δίδοται τῇ ψυχῇ τοῦ ἀληθῶς πιστεύοντος καὶ μετανοοῦντος.

§ 330. *Τὰ τελοῦντα πρόσωπα.*

Τελοῦσι τὸ μυστήριον τοῦ εὐχελαίου μόνοι οἱ ἱερεῖς· διότι ὁ Ἀπόστολος λέγει· « προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας » εἰ δὲ καὶ ὁ ἀριθμὸς τῶν πρεσβυτέρων οὐχ ὁρίζεται ὑπὸ τοῦ Ἀποστόλου, ἀλλὰ κατὰ τοὺς κανόνας τῆς Ἐκκλησίας ὁρίζεται μέχρις ἑπτά. Ἀλλ' ἐν ἐλλείψει τελεῖται καὶ ὑπὸ ἥττονος ἀριθμοῦ μέχρι καὶ ἑνός.

§ 331. *Τὰ λαμβάνοντα πρόσωπα.*

Λαμβάνουσι τὸ μυστήριον τοῦτο οἱ περιπεσόντες βαρείᾳ νόσῳ ὡς τοῦτο δῆλον ἐκ τῶν τοῦ Ἀποστόλου. *ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα.* Ἀλλ' ὅμως οὐκ ἀπαιτεῖται τοσαύτη ἀδυναμία, ὥστε μηδεμίαν ὑπολείπεσθαι ἐλπίδα ἀναῤῥώσεως τῷ ἀσθενοῦντι. Διότι οὔτως οὔτε ἑκουσίως δύναται προσκαλεῖν τοὺς πρεσβυτέρους, οὔτε διάκειται καλῶς πρὸς παραδοχὴν τοῦ μυστηρίου.

ΚΕΦ. Γ'.

Διδασκαλία περὶ τῶν ἐσχάτων τοῦ ἀνθρώπου καὶ περὶ τῆς Βασιλείας τῆς δόξης.

§ 332. *Περιεχόμενον καὶ διαίρεσις.*

Διττῶς ἐξετάζονται τὰ ἔσχατα τοῦ ἀνθρώπου· ἢ τὰ ἑκάστου ἰδίᾳ, ἢ τὰ πάντων ἀνθρώπων ἐν γένει. Διὸ καὶ περὶ δύω

ὁ λόγος α) Περὶ τῶν ἐσχάτων ἑκάστου ἰδίᾳ, καὶ β) περὶ τῶν ἐσχάτων τοῦ ὅλου ἀνθρωπίνου γένους.

Α'. Περὶ τῶν ἐσχάτων ἑκάστου ἰδίᾳ

§ 333. *Τὸ περιεχόμενον.*

Τὸν ἄνθρωπον ἀναμένει ἐπὶ γῆς *θάνατος* τοῦτον διαδέχεται *κρίσις μερικὴ*· μετὰ δὲ ταῦτα ἡ προέπουσα κατάστασις. Οὕτω δὲ ἐν τοῖς περὶ ἐσχάτων ἑκάστου ἰδίᾳ περὶ τριῶν καὶ ὁ λόγος α) περὶ θανάτου, β) περὶ μερικῆς κρίσεως, γ) περὶ τῆς μετὰ θάνατον καταστάσεως τῶν τεθνεώτων.

α) περὶ θανάτου.

§ 334. *Ἡ περὶ θανάτου ἔννοια.*

Θάνατος, κυρίως, ἐστὶ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, μεθ' ὃ ὑπολείπεται μόνη ἡ ψυχή, τὸ δὲ σῶμα ὑπεῖκον τῇ ἐπηρείᾳ τῶν στοιχείων, στερεῖται τῆς ζωῆς καὶ παραδίδοται φθορᾷ. Ταύτην δὲ τὴν ἔννοιαν παρέχει ἡμῖν ἡ Γραφὴ ἐν τῷ Ἐκκλησιαστῇ « καὶ ἐπιστρέψει ὁ χοῦς ἐπὶ τὴν γῆν, ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέψει πρὸς τὸν Θεὸν, ὃς ἔδωκεν αὐτό » (12, 7).

§ 335. *Τὸ καθολικὸν τοῦ θανάτου.*

Ὁ θάνατος κοινὸς τοῖς πᾶσι, καὶ οὐδεὶς διαφεύγει αὐτὸν, ὡς τοῦτο μαρτυρεῖ ἡ ἀπ' ἀρχῆς τοῦ κόσμου πεῖρα, καὶ ἡ Ἁγία Γραφή. « Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον » (Ψαλ. 88, 49); « ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν » (Ἑβρ. 9, 27)· « ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν » (1 Κορ. 15, 22). Ὅ,τι δ' ἀφορᾷ τὸν Ἐνὼχ καὶ Ἠ-

λίαν, καὶ τοὺς περιλειπομένους τῷ βίῳ ἐν τῇ ἐσχάτῃ κρίσει· τὸ μὲν πρῶτον ἐστὶν ἐξαίρεσις μὴ καταλύουσα τὸν νόμον τοῦ θανάτου, οἱ δὲ δεύτεροι οὐκ ἀπαλλάττονται στιγμιαίας φυσικῆς τινος μεταβολῆς τοῦ σώματος, ὡς τοῦτο δῆλον ἐκ τοῦ Ἀποστόλου· « πάντες μὲν οὐ κοιμησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα » (1 Κορ. 15, 51)· τοῦτο δὲ ἴδιός τις θάνατος καί ἐστιν.

§ 336. *Αἰτία τοῦ θανάτου.*

Αὕτη οὐκ ἐν τῇ ἀρχικῇ κατασκευῇ τῆς ἀνθρωπίνης φύσεως ὑφίσταται· διότι τοῦτο ἀντίκειται τῇ περὶ τῆς ἐν παραδείσῳ πρωτογόνου καταστάσεως τοῦ ἀνθρώπου ἰδέᾳ, καὶ τῇ μαρτυρίᾳ τῆς Γραφῆς, ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν (Σοφ. 1, 13), ἀλλ' ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ (Σοφ. 2, 23). Πρὸς τούτοις καὶ αὐτὴ ἡ ἀγωνία ἡ ἐν τῷ θανάτῳ, ὁ φόβος καὶ ἡ ἀποτροπὴ ἀναντίῤῥητα σημεῖα, ὅτι παρὰ φύσιν ὁ θάνατος τῷ ἀνθρώπῳ. Ἀλλὰ αἴτιον τοῦ θανάτου τὸ προπατορικὸν ἁμάρτημα, ὡς τοῦτο δῆλον ἔκτε τῆς ἀπειλῆς τοῦ Θεοῦ διὰ τὴν παράβασιν τῆς ἐντολῆς « ἐν ᾗ ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε » (Γέν. 2, 17), καὶ ἐκ τῶν τοῦ Ἀποστόλου· « τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν » (Ῥωμ. 6, 23. 5, 12). Ὁ θάνατος παρηκολούθησε τῇ ἁμαρτίᾳ, ὡς τιμωρία διὰ τὴν παράβασιν τῆς θείας ἐντολῆς. διότι ἡ ἁμαρτία α) ἀπέκοψε τὸν ἄνθρωπον τῆς πηγῆς τῆς ζωῆς τῆς ἐνθέου. β) διετάραξε τὴν ἀνθρωπίνην φύσιν, καὶ κατέλυσε τὴν τοῦ σώματος πρὸς τὴν ψυχὴν ἐντελῆ ἁρμονίαν, καὶ γ) ἔβλαψεν ἅπασαν τὴν ἔξω φύσιν, καὶ ὥπλισε τὴν κτίσιν κατὰ τοῦ παραβάτου, ὅθεν καὶ ἡ καταστρεπτικὴ τῶν στοιχείων ἐπήρεια ἐπὶ τοῦ σώματος προῆλθεν. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος ἐν τῷ προπατορικῷ ἁμαρτήματι συλλαμβάνεται, διὰ τοῦτο

καὶ τὸ σπέρμα τοῦ θανάτου κατὰ τὸν αὐτὸν χρόνον σπείρεται, ὥστε μετὰ τῆς ἀρχῆς τῆς ζωῆς λαμβάνει ὁ ἄνθρωπος καὶ τὴν ἀρχὴν τοῦ θανάτου, καὶ τὸ σῶμα αὐτοῦ, κατὰ τὸν Ἀπόστολον, ὄντως *σῶμα θανάτου* ἐστίν (Ῥωμ. 7, 24).

§ 337. *Ὁ ἀγαθοεργὸς σκοπὸς τοῦ θανάτου.*

Ἐν τούτοις ὁ θάνατος, εἰ καὶ τιμωρία, ἀλλ' ἔστιν ἄλλως εὐεργεσία Θεοῦ, καὶ τὸ πικρὸν αὐτοῦ ποτήριον, ἐν ᾧ ἐκεράσθη ἡ δικαιοσύνη συνεκεράσθη ἅμα καὶ ἡ εὐσπλαχνία τοῦ Δημιουργοῦ, διὸ καὶ ἀλεξιφάρμακον ἐγένετο. Διότι α) μετὰ τὴν ἁμαρτίαν τοῦ Ἀδάμ, ὁ θάνατος κατέστη ἀναγκαῖον ὄργανον, ὅπως στήσῃ τὴν περαιτέρω πρόοδον τοῦ κακοῦ· ἄλλως ἀπηθανατίζετο τὸ κακόν, καὶ οὐδεμία ἐλπὶς ἦν σωτηρίας τῷ ἀνθρώπῳ. Τοῦτο δὲ, φαίνεται, σκοπῶν ὁ Θεὸς, ἀπεμάκρυνε τὸν Ἀδὰμ τοῦ δένδρου τῆς ζωῆς μετὰ τὴν ἁμαρτίαν. « Καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη » (Γεν 3, 22. 23). Καὶ νῦν ἔτι, ὅτε κατελύθη τὸ κράτος τοῦ θανάτου διὰ τοῦ σταυρικοῦ θανάτου τοῦ Σωτῆρος, κτὶ οἱ πιστεύοντες εἰς αὐτὸν ἀπελυτρώθησαν καὶ ἐδικαιώθησαν ἀπὸ τοῦ προπατορικοῦ ἁμαρτήματος, ἀναγκαῖος οὐχ ἧττον ὁ θάνατος, ὅπως ἐντελῶς καθαρισθῇ καὶ ἐξαφανισθῇ τὸ ἐν ἡμῖν κακὸν· διότι ἡ ῥίζα αὐτοῦ ἐν αὐτῇ ἤδη τῇ κυήσει ὑπάρχει, καί πως ἐν τῷ συνδετικῷ τῆς ψυχῆς καὶ τοῦ σώματος δεσμῷ, διὸ καὶ οὐκ ἄλλως εἰμὴ διαῤῥηγνυμένου τοῦ δεσμοῦ τούτου δύναται ἐξαφανισθῆναι. Διὰ τοῦτο καὶ, ὅσον καὶ ἂν καθαρίσῃ ἑαυτὸν ὁ ἄνθρωπος καὶ τελειωθῇ ἐν ἁγιότητι, οὐδαμῶς δύναται ὅλην ἐκσπάσαι τὴν ῥίζαν τοῦ κακοῦ, καὶ ἀποσεῖσαι τὸ φορτίον, καὶ μὴ συστενάζειν τῷ Ἀποστόλῳ· « ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου (Ῥωμ. 7, 24);

§ 338. *Ἡ ἀθανασία τῆς ψυχῆς.*

Εἰ καὶ τὸ σῶμα, μετὰ θάνατον, ἐπανέρχεται εἰς τὴν γῆν, ἡ ψυχὴ ὅμως διαμένει σώα καὶ ἀθάνατος. Ἡ ἀθανασία δ' αὕτη τῆς ψυχῆς, ἡ συνισταμένη ἐν τῇ ἀκεραιότητι τῆς ἑαυτῆς οὐσίας, καὶ συνειδήσει τῆς προσωπικῆς ὑπάρξεως, ἔστιν ἀλήθεια καὶ καθ' ἑαυτὴν σαφὴς τῷ ὀρθῷ λόγῳ, ὡς καὶ ἡ περὶ τῆς ὑπάρξεως τοῦ Θεοῦ, ἅμα δὲ καὶ καταφανὴς ἐκ τῆς περὶ τοῦ Δημιουργοῦ τῆς ψυχῆς ἰδέας, ἐκ τῆς περὶ αὐτῆς ταύτης, καὶ ἐκ τῆς περὶ τοῦ παρόντος βίου. Ὅτι δ' ἀφορᾷ τὴν Ἁγίαν Γραφὴν, αὕτη ἀποκαλύπτει ἡμῖν ἐν πλήρει φωτὶ τὴν ἀλήθειαν ταύτην. Καὶ ἐν μὲν τῇ Π. Δ. ἀποκαλύπτουσιν ἡμῖν αὐταὶ ἤδη αἱ ὀνομασίαι τοῦ θανάτου, ὅστις ἀποκαλεῖται· προσθήκη πρὸς τοὺς πατέρας (Γεν. 49, 33), κατάβασις εἰς ᾅδου (Γεν. 37, 35), κοίμησις (3, Βασιλ. 2, 10). Ζῶσαν πίστιν ἔχει εἰς τὴν ἀθανασίαν τῆς ψυχῆς ὁ Δαβὶδ (ψαλ. 16, 15. 72, 24. κτλ), ὁ Ἐκκλησιαστὴς (12, 7. 14), ὁ Σοφὸς (Σοφ. Σολ. 1, 13—16. 2, 1—4. 21—24. 3, 1—5. 5, 15). καὶ περὶ πάντων τῶν τῆς Παλαιᾶς δικαίων μαρτυρεῖ ὁ Ἀπόστολος λέγων, ὅτι πάντες οὗτοι ὡμολόγησαν ἑαυτοὺς ξένους καὶ περιπιδήμους ἐπὶ τῆς γῆς, καὶ ὅτι κρείττονος ἐπουρανίου ὠρέγοντο (Ἑβρ. 11, 13. 16). Ἐν δὲ τῇ Κ. Δ. ἐν γένει ὁ ἄνθρωπος θεωρεῖται ὡς κάτοικος τοῦ μέλλοντος μᾶλλον ἢ τοῦ νῦν αἰῶνος, καὶ πάσας τὰς ἐλπίδας αὐτοῦ καὶ θησαυροὺς ἐν τῷ μέλλοντι θησαυρίζει. Μάλιστα δὲ ὁ Ἰησοῦς Χριστὸς ἀποδείκνυσι τὴν ἀλήθειαν ταύτην ἐκ τῆς περὶ Θεοῦ ἰδέας. « Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν» (Λουκ. 20, 38). Ὁ δὲ Ἀπόστολος σαφῶς διδάσκει τὴν ἀλήθειαν ταύτην, ἀποκαλῶν τὸν θάνατον ἀνάλυσιν. « ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν» (2 Τιμ. 4, 6). « ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (Φιλιπ. 1, 23)· εἴτε ἐπάνοδον ἐξ ἀποδημίας « ἐνδημοῦντες ἐν τῷ

σώματι ἐκδημοῦμεν ἐκ τοῦ Κυρίου.. θαρροῦμεν δὲ, καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον » (2 Κορ. Ε, 6. 8)· εἴτε ἔκδυσιν τοῦ ἐνδύματος καὶ ἐπένδυσιν καινοῦ. « Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες... ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι » (Αὐτόθι στ. 2. 4). Τέλος στενώτατα συνδέει τὴν ἀλήθειαν τῆς ἀθανασίας τῇ περὶ τῆς ἀπολυτρώσεως, ἥτις ἄλλως ἦν ἂν ἀτελὴς, πᾶσα δὲ ἡ πίστις ἡμῶν κενὴ καὶ ἡμεῖς ἦμεν ἂν ἐλεεινότεροι πάντων. « εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν. κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν (1 Κορ. 15, 14. 19).

6) Περὶ τῆς μερικῆς κρίσεως.

§ 339. *Ἡ περὶ τῆς μερικῆς κρίσεως ἔννοια*

Εὐθὺς μετὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, παρίστασται αὕτη ἐνώπιον τοῦ Θεοῦ εἰς κρίσιν, ἥτις πρὸς διάκρισιν ἀπὸ τῆς καθολικῆς καὶ ἐσχάτης ἀποκαλεῖται μερική. Διότι γίνεται οὐχὶ ἐνώπιον παντὸς τοῦ Κόσμου, οὐδὲ ὁρίζεται τὸ μέλλον τῆς ψυχῆς ἐπὶ αἰῶνα τὸν ἅπαντα, ἀλλὰ μέχρι τῆς γενικῆς ἀναστάσεως.

§ 340. *Ἡ ὕπαρξις τῆς κρίσεως ταύτης.*

Τοῦτο ἀποκαλύπτει ἡμῖν ἡ Ἁγία Γραφή. Καὶ δὴ ὁ Ἀπόστολος λέγει· « ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις» (Ἑβρ. 9, 27). Ἐπίσης καὶ ἡ παραβολὴ περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου ἀποδείκνυσιν, ὅτι ἔστι τις μετὰ θάνατον εὐθὺς ἀνταπόδοσις κατὰ τὰ ἔργα ἑκάστου, ἄρα καὶ κρίσις. Πρὸς τούτοις τοῦτο ἀπαιτεῖ καὶ ἡ ἰδέα περὶ

τοῦ Νομοθέτου καὶ Δικαιοκρίτου Θεοῦ, διὸ καὶ ὁ Σοφὸς λέγει· « ὅτι κοῦφον (εὐχερὲς) ἐν ὀφθαλμοῖς Κυρίου, ἐν ἡμέρᾳ τελευτῆς ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ . . . καὶ ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ (Σιρ. 11, 26. 27).

§ 341. Ὁ τρόπος.

Ἄρχεται ἡ κρίσις αὕτη, κατὰ τὴν διδασκαλίαν τῆς ὀρθοδόξου Ἐκκλησίας, διὰ δοκιμασίας τῶν ψυχῶν ἐν τοῖς οὕτω καλουμένοις τελωνίοις, δι' ὧν διέρχονται ὅτε ἀγόμεναι ὑπὸ τῶν ἀγγέλων διαβαίνουσι ἀπὸ τῆς γῆς διὰ τοῦ ἀερίου διαστήματος, ἐν ᾧ τὰ πονηρὰ πνεύματα ἱστᾶσι ταύτας καὶ ἐλέγχουσι περὶ τῶν ἁμαρτιῶν. Τὴν ἀλήθειαν δὲ ταύτην στηρίζει ἐκ μέρους καὶ ἡ Γραφὴ ἀποκαλοῦσα τὸν ἀέρα ἐξουσίαν τῶν πονηρῶν πνευμάτων, τὸν δ' ἄρχοντα τούτων ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος (Ἐφ. 2, 2. 6, 12). Εἰδὲ ἀνατιρρήτον τοῦτο, ὅτι τὰ πονηρὰ πνεύματα ἀναμίγνυνται ἐν τοῖς ἔργοις ἡμῶν, ἐκ παντὸς τρόπου ἐπηρεάζοντα· πολλῷ δὴ μᾶλλον κατὰ τὴν διάβασιν ἡμῶν διὰ τῆς ἰδίας ἐξουσίας αὐτῶν μάλιστα πράττουσι τοῦτο. Ἀλλ' ἰδίως ἡ περὶ τελωνίων διδασκαλία ἐκτίθεται ἐν πολλαῖς ἐκκλησιασκικαῖς εὐχαῖς, καὶ παρὰ πολλοῖς τῶν Πατέρων ἀπαντᾶται ἐπὶ τῇ βάσει τῆς Γραφῆς. Οὕτως ἐν μιᾷ τῶν εὐχῶν λέγεται « τετάρακται ἡ ψυχή μου, καὶ κατώδυνός ἐστιν ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ ἀθλίου μου καὶ ῥυπαροῦ σώματος τούτου· ἵλεως γενοῦμοι, Δέσποτα, καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ζοφερὰν καὶ σκοτεινὴν ὄψιν τῶν πονηρῶν δαιμόνων » (ἴδε τὴν εὐχὴν ἐν τῷ μεσονυκτ. τοῦ Σαβ). Ἐν τῷ κανόνι εἰς τὸν Ἄγγελον φύλακα (ᾠδῇ Θ' τροπ. 2) εὐχόμεθα « Γενοῦμοι ὑπερασπιστὴς, καὶ πρόμαχος ἄμαχος, ὅταν διέρχωμαι τοὺς τελῶνας τοῦ δεινοῦ κοσμοκράτορος ». Ὁ δὲ ἅγιος Χρυσόστομος ἐν τῷ περὶ κεκοιμένων λέγει ὅτι ἡ ψυχὴ μετὰ τὸν ἀποχωρισμὸν ἀπὸ τοῦ σώματος χρήζει μεγάλης βοηθείας

καὶ προπτασίας Ἀγγέλων, ὅπως παραπέμψωσιν αὐτὴν παρερχομένην παρὰ τὰς ἀρχὰς καὶ ἐξουσίας καὶ ἀοράτους κοσμοκράτορας τοῦ ἀέρος τούτου. Παρὰ τῷ Ἐφραὶμ τῷ Σύρῳ πολλὰ περὶ τούτου, ἀποδεικνύοντα τὴν παρὰ πᾶσι τότε ὁμολογίαν τῶν τελωνίων (ἴδε τὸν περὶ τῶν κεκοιμένων ἐν Χριστῷ λόγον καὶ τὴν διαθήκην). Ὁ δὲ Κύριλλος Ἀλεξανδρείας ἐπίσης γράφει ἐν τῷ περὶ ἐξόδου ψυχῆς, ὅτι ἡ ψυχὴ μετὰ τὸν χωρισμὸν φέρεται ὑπὸ τῶν Ἀγγέλων διὰ τοῦ ἀέρος, καὶ ὑψουμένη συναντᾷ τοῖς τελωνίοις, φρουροῦσι τὸν ἀέρα καὶ κωλύουσι τὰς ψυχὰς, καὶ παρακατιὼν ἀπαριθμεῖ πάντα τὰ τελώνια. Ἀλλ' ὅμως, κατὰ τοὺς ἁγίους Πατέρας, οὐ πᾶσαι αἱ ψυχαὶ κωλύονται ὑπὸ τῶν πονηρῶν πνευμάτων, ἀλλὰ κατὰ τὸν βαθμὸν τῆς τελειότητος καὶ καθαρότητος αἱ καθαραὶ καὶ ἅγιαι ψυχαὶ οὐδόλως κωλύονται, ἀλλ' ὡς ἡ ψυχὴ τοῦ Λαζάρου ἀμέσως φέρονται ὑπὸ τῶν ἀγγέλων εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ.

γ) Περὶ τῆς Καταστάσεως τῶν ψυχῶν μέχρι τῆς γενικῆς ἀναστάσεως.

§ 342. *Ἡ κατάστασις τῶν τεθνεώτων ἐν γένει.*

Ἡ κατάστασις τῶν ψυχῶν μέχρι τῆς γενικῆς ἀναστάσεως οὐκ ἔστιν·

α) Ἄνευ συνειδήσεως καὶ ὑπνώδης. Διότι, ἔνθεν μὲν ἀντιφάσκει τοῦτο τῇ περὶ ψυχῆς ἰδέᾳ, ἥτις οὐδόλως τοσοῦτον ἐξηρτημένη ἐστὶ τοῦ σώματος, ὥστε μὴ δύνασθαι εἶναι ἐν συνειδήσει ἑαυτῆς, τοὐναντίον ἡ πεῖρα διδάσκει, ὅτι ὅσῳ βαθύτερον καὶ σαφέστερον συνορᾷ ἑαυτὴν, τοσούτῳ ἀσθενέστερος καὶ χαλαρώτερος ὁ μετὰ τοῦ σώματος δεσμὸς καθίσταται· ἄσκοπος δ' ἀλλως καὶ ἡ τοιαύτη κατάστασις. Ἔνθεν δὲ ἀπάδει τοῦτο πρὸς τὴν Γραφὴν διδάσκουσαν, ὅτι μετὰ θάνατον εὐθὺς ἀναμένει

τὸν ἄνθρωπον μερικὴ κρίσις, μεθ' ὃ μακαριότης ἢ βάσανοι, ὡς τοῦτο δῆλον ἐκ τῆς περὶ πλουσίου καὶ Λαζάρου παραβολῆς τοῦ Σωτῆρος. Ἐν τούτοις

β) ἀναντίῤῥητον καὶ τοῦτο, ὅτι οὐκ ἔχει ἡ ψυχὴ μετὰ θάνατον πλήρη ἀνεξαρτησίαν, οὐδὲ νέων πράξεων ἄρχεται νέων ἐννοιῶν καὶ αἰσθημάτων, καὶ ἐν γένει οὐδεμίαν τοιαύτην ἀλλοίωσιν ὑφίσταται, οἵας ἦν ἂν δεκτικὴ ἐπὶ γῆς, ἀλλ' ἀναπτύσσει ὅ,τι ἐνταῦθα ἤρξατο (1). Διὰ τοῦτο οὐδεμία ἐκεῖ μετάνοια. Τοῦτο δὲ καταφαίνεται ἐκ τούτου, ὅτι πλήρης συνείδησις οὐκ ἄνευ σώματος, ὅπερ οὐσιῶδες συστατικὸν τοῦ ἀνθρώπου ἐστὶ, καὶ διότι ἄλλως ὁ παρὼν βίος οὐδένα σκοπὸν οὐδεμίαν ἀξίαν ἂν εἶχε πρὸς τὸν μέλλοντα παραβαλλόμενος. Διδάσκει δὲ καὶ ἡ Γραφὴ· « ὃ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον » (Γαλ. 6, 7. 8),

γ) Τὰ μετὰ θάνατον οὐκ ἔστι τι ἀόριστον, οἷον τις παραμονὴ καὶ ἀργία. Τοῦτο δὲ καταφαίνεται ἐκ τούτου, ὅτι ἄσκοπος ἡ κατάστασις αὕτη, καὶ περιττὴ ἡ μερικὴ κρίσις, καὶ ἐκ τῆς προειρημένης παραβολῆς ἐν ᾗ ὁ μὲν πλούσιος βασανίζεται ἐν ᾅδῃ, ὁ δὲ Λάζαρος εὐφραίνεται ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ. Ἀλλ' οὐχ ἧττον

δ) οὐκ ἔστι τελευταία καὶ τελεία. Διότι ἡ τοιαύτη ἀπόφασις ἐπ' αἰῶνα τὸν ἅπαντα ἔσται ἐν τῇ ἐσχάτῃ κρίσει, καὶ πλήρης μακαριότης καὶ βάσανοι ἐπιστήσονται τότε, ὅταν ἑνωθῇ ἡ ψυχὴ τῷ σώματι· διότι ἄνευ τούτου οὐ πλήρης ὁ ἄνθρωπος. Διὰ τοῦτο καὶ λέγεται ἐν τῇ Ἀποκαλύψει, ὅτι εἰ καὶ νῦν ἤδη αἱ ψυχαὶ τῶν ἁγίων ἀπολαύουσι μακαριότητος ἐνώπιον τοῦ θρόνου τοῦ Ἀρνίου, ἀλλὰ καὶ θλίβονται διὰ τοὺς ἀγωνιζα-

---

(1) Ὀρθ. ὁμολ. Πέτρ. Μογγιλ. ἐρώτ. 64.

μένους ἀδελφοὺς ἐν τῇ στρατευομένῃ Ἐκκλησίᾳ· ἄρα πλήρους μακαριότητος οὐκ ἀπολαύουσιν (Ἀποκ. 11, 18) (1).

§ 343. *Ἡ κατάστασις τῶν τεθνεώτων ἐν τοῖς καθ' ἕκαστα.*

Ἐπειδὴ δύω εἴδη ἀποδημουσῶν ψυχῶν, αἱ μὲν ἐναρέτων, αἱ δὲ ἁμαρτωλῶν εἰσιν, διὰ τοῦτο καὶ ἐν τῷ μέλλοντι βίῳ δύω καὶ αἱ καταστάσεις, ἡ μὲν μακαρία ἡ δὲ ὀδυνηρά. Τοῦτο δὲ δῆλον ἐκ τῆς Γραφῆς, ἥτις οὐδὲν μέσον μεταξὺ παραδείσου καὶ ᾅδου δείκνυσι, διδάσκει δὲ, ὅτι ἐκεῖ διττῶς μόνον ὁ θερισμὸς, ἐκ μὲν τῆς σαρκὸς φθορὰ, ἐκ δὲ τοῦ πνεύματος ζωὴ αἰώνιος (Γαλ. 6, 8). Ἐν τούτοις ἀναντίῤῥητον καὶ τοῦτο, ὅτι ὡς διάφοροι βαθμοὶ τελειότητος καὶ ἀτελείας ἐν ἀνθρώποις, οὕτω καὶ μακαριότητος καὶ κακοδαιμονίας, ἀκριβοῦς καὶ αὐστηρᾶς ἀναλογίας τηρουμένης, διότι τοῦτο ἀπαιτεῖ ἡ τελειότης τοῦ δικαιοκρίτου Θεοῦ.

§ 344. *Κατάστασις τῶν ἁγίων.*

Ἡ μακαριότης τῶν ἁγίων συνίσταται μέχρι τῆς Ἀναστάσεως α) ἐν τῇ ἀμοιβαίᾳ κοινωνίᾳ μετὰ τῶν ἀγγέλων καὶ πρὸς ἀλλήλους ἐν τῇ φωτολαμπεῖ καὶ ὑψηλῇ ἐκείνῃ χώρᾳ τοῦ παντὸς, ἔνθα κατ' ἐξοχὴν οἰκεῖ ὁ τρισυπόστατος Θεὸς καὶ ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τοῦ παναχράντου αὐτοῦ σώματος. Τοῦτο δὲ δῆλον ἐκ τῆς παραβολῆς περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου, ἐν ᾗ λέγεται, ὅτι τὴν ψυχὴν τοῦ Λαζάρου ἀνέφερον οἱ Ἄγγελοι εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ, τουτέστιν ἦν ἐν κοινωνίᾳ μετ' αὐτοῦ.

β) Ἐν τῇ θεωρίᾳ τοῦ Ἰησοῦ Χριστοῦ, ἀνυμνήσει Αὐτοῦ,

---

(1) Ἴδε ἐπιστ. Ἀνατ. Πατρ. ἄρθ. 18.

καὶ διακονίᾳ ἐνώπιον τοῦ θρόνου Αὐτοῦ. Διὸ καὶ ὁ Ἀπόστολος Παῦλος ἐπιθυμεῖ ἀναλυθῆναι καὶ σὺν Χριστῷ εἶναι (Φιλιπ. 1, 23). Ἐν δὲ τῇ Ἀποκαλύψει λέγεται, ὅτι ὄχλος πολὺς ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν ἵστανται ἐνώπιον τοῦ θρόνου καὶ τοῦ Ἀρνίου, καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ (Ἀποκ. 7, 9—17).

γ) Ἐν τῇ ἀντιλήψει τῶν ἀδελφῶν, τῶν ἐπὶ γῆς ἔτι πλανωμένων καὶ ἀγωνιζομένων ἐν τῇ στρατευομένῃ Ἐκκλησίᾳ, ὑπὲρ ὧν εὔχονται ἐνώπιον τοῦ Θεοῦ, καὶ βοηθοῦσιν αὐτοῖς εἰς σωτηρίαν· Τούτων δὲ τὸ μὲν πρῶτον ἀποκαλύπτεται ἐν τῇ Ἀποκαλύψει, ἔνθα οἱ ἅγιοι εὔχονται τῷ Θεῷ, « δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομα σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις, καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν(11, 18). Τὸ δὲ δεύτερον καταφαίνεται ἐξ ἀναριθμήτων ἐπιφανειῶν, καὶ θαυμαστῶν ἀντιλήψεων τῶν ἁγίων τοῦ Θεοῦ, ὧν πλήρης ἡ Ἱστορία τῆς Ἐκκλησίας τοῦ Χριστοῦ.

δ) Ἐν τῇ παραμονῇ τῆς τελευταίας ἀποφάσεως, τῆς μετὰ τὴν φοβερὰν κρίσιν τοῦ Χριστοῦ, καὶ προαισθήσει τῆς ἀῤῥήτου μακαριότητος, ἧς ἀπολαύσουσιν ἐν τῇ αἰωνιότητι.

§ 345. *Ἡ κατάστασις τῶν ἁμαρτωλῶν.*

Τἀνάπαλιν συμβαίνει ταῖς ψυχαῖς, ὅσαι διὰ τὰς ἁμαρτίας οὐκ ἠξιώθησαν μακαριότητος ἐν τῇ μερικῇ κρίσει. Συνίσταται δὲ τοῦτο.

α) Ἐν τῇ σαφεῖ καὶ λεπτομερεῖ συνειδήσει τῶν ἁμαρτιῶν, δι' ὧν παρεπίκραναν τὸν Θεὸν, καὶ τύψει τοῦ συνειδότος ἐξεγειρομένου ἐκεῖ δεινοῦ.

β) Ἐν θλίψει καὶ στενοχωρίᾳ ἐκ τούτου, ὅτι νῦν ἡ ἀγάπη παντὸς γηΐνου καὶ σαρκικοῦ οὐδεμιᾶς τυγχάνει ἀπολαύσεως, πᾶσα δὲ ἐπιθυμία καὶ ῥοπὴ πρὸς οὐράνιον καὶ πνευματικὸν, οὔτε ὑπάρχει οὐδ' ἔσται ποτέ.

γ) Ἐν τῇ μακρὰν ἀπὸ τοῦ Θεοῦ καὶ τῶν ἁγίων Αὐτοῦ κοινωνίᾳ μετὰ τῶν ὁμοιοπαθῶν ψυχῶν, καὶ μάλιστα μετὰ τῶν πονηρῶν πνευμάτων, καὶ ἐν ταῖς λοιπαῖς βασάνοις τοῦ ᾅδου, ἅτινα οὐχ ἧττον προανακρούσματα τῶν αἰωνίων εἰσίν.

δ) Ὅ,τι δ' ἀφορᾷ τὰς ψυχὰς τῶν ἐν ἁμαρτίαις μὲν τελευτησάντων καὶ διὰ τοῦτο κατακριθέντων εἰς βασάνους, ἀλλ' οὐχ ἧττον ἐν τῷ νῦν βίῳ ἀρξαμένων μετανοίας καὶ τηρησάντων ἐν τῷ βάθει τῆς ψυχῆς σπέρματά τινα ἀγαθὰ περὶ τούτων οὐδὲν μὲν βέβαιον ἀποκαλύπτει ἡ Γραφή. Ἀλλ' ὅμως ἡ εὐσπλαχνία τοῦ Θεοῦ καὶ ἡ δύναμις τῆς ἀξιομισθίας τοῦ Χριστοῦ Σωτῆρος αἱ ἐνεργοῦσαι μέχρι τῆς τελευταίας κρίσεως, ἅμα δὲ καὶ αὐτὴ ἡ δικαιοσύνη τοῦ Θεοῦ ἡ οὐδὲν ἀγαθὸν ἄνευ ἀμοιβῆς καταλείπουσα, ταῦτα πάντα πείθουσιν ἡμᾶς, ὅτι αἱ βάσανοι τῶν τοιούτων ἀνακουφίζονται διά τινος παραμυθίας· διότι, εἰ καὶ οὐ δύνανται ἐξ ἑαυτῶν ἀπαλλαγῆναι τῆς τοιαύτης καταστάσεως, ἀλλὰ διψῶσι καὶ ἀναμένουσιν ἐξ ἄλλου βοήθειαν, καὶ ἱκανοὶ ὠφελεῖσθαι, ὅτε τοὐναντίον αἱ ψυχαὶ τῶν ἀμετανοήτων, ἀπίστων, ἀσεβῶν, μισανθρώπων ἅπαξ καὶ διὰ παντὸς κατεταρταρώθησαν εἰς τὰ ἔγκατα τοῦ ᾅδου, ὡς ὄντα ἄνευ ἐλπίδος καὶ ἀπολωλότα τῇ Βασιλείᾳ τοῦ Θεοῦ. Αὕτη δ' ἐστὶν ἡ διδασκαλία τῆς Ὀρθοδόξου Ἐκκλησίας· « τοὺς δὲ συμφθαρέντας θανασίμοις πλημμελήμασι, καὶ μὴ ἐν ἀπογνώσει ἀποδημήσαντας, ἀλλὰ μετανοήσαντας μὲν ἔτι περίοντας ἐν τῷ μετὰ σώματος βίῳ, μὴ ποιήσαντας δὲ οὐδ' ὁντιναοῦν καρπὸν μετανοίας (ἐκχέαι δάκρυα δηλονότι, καὶ γονυπετῆσαι ἐν γρηγορήσει προσευχῶν, θλιβῆναι, πτωχοὺς παραμυθῆσαι, καὶ τέως ἐν ἔργοις τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην ἐπιδεῖξαι) τούτων καὶ αὐτῶν τὰς ψυχὰς ἀπέρχεσθαι εἰς Ἅδην καὶ ὑπομένειν τὴν ἕνεκα ὧν εἰργάσαντο ἁμαρτημάτων ποινήν. Εἶναι δὲ ἐν συναισθήσει τῆς ἐκεῖθεν ἀπαλλαγῆς » (Ἐπιστ. ὀρθ. Πατρ. ὅρ. 18).

§ 346. *Ἡ κοινωνία τῶν ζώντων μετὰ τῶν τεθνεώτων*

Ὁ θάνατος οὐ διαῤῥήγνυσι τὸν πρὸς ἀλλήλους; δεσμὸν τῶν μελῶν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. Ἀρίδηλον δὲ τοῦτο α) ἐκ τῆς ἰδέας περὶ τοῦ Θεοῦ, Θεοῦ ζώντων καὶ νεκρῶν, ζώντων πάντων ἐνώπιον Αὐτοῦ, κατὰ τὸν Σωτῆρα (Ματθ. 22, 23). β) Ἐκ τῆς ἰδέας περὶ Ἐκκλησίας, ἥτις ἐστὶν ἕν, ζῶν καὶ ἀδιαίρετον σῶμα Χριστοῦ, ἆρα καὶ τὰ μέλη Αὐτῆς οὐ δύνανται ἀπέχειν τῆς μετ' ἀλλήλων κοινωνίας. γ) Ἐκ τῆς χριστιανικῆς ἀγάπης, ἥτις κατὰ τὸν Ἀπόστολον, *οὐδέποτε ἐκπίπτει* (1 Κορ. 13,8). δ) Ἐκ τῶν σαφῶν χωρίων τῆς Γραφῆς. Λέγει δὲ ὁ Ἀπόστολος, ὅτι « ἡ ἄνω Ἱερουσαλὴμ μήτηρ πάντων ἡμῶν » (Γαλ. 4, 26), καὶ « οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ (Ἐφ. 2, 19. 20).

§ 347. *Διττὴ ἡ σχέσις πρὸς τοὺς τεθνεῶτας.*

Εἰ δ' ἐν κοινωνίᾳ πρὸς ἀλλήλους ζῶντες τε καὶ τεθνεῶτε εἰσὶν, δῆλον, ὅτι καὶ ἡ σχέσις πρὸς αὐτοὺς διὰ τὴν διαφορὰν τῆς καταστάσεως, διττή ἐστιν. 1) πρὸς τοὺς τελείους καὶ μακαρίους, καὶ 2) πρὸς τοὺς ἀτελεῖς καὶ διὰ τοῦτο μήπω μακαρισθέντας, ἀλλ' ἅμα μὴ ἀπολωλότας τῇ Βασιλείᾳ τοῦ Θεοῦ.

§ 348. *Σχέσις πρὸς τοὺς ἁγίους.*

Ἡ σχέσις τῶν ζώντων πρὸς τοὺς ἐκδημήσαντας ἁγίους συνίσταται α) ἐν τῷ σεβασμῷ αὐτῶν, β) ἐν τῇ ἐπικλήσει αὐτῶν ἐν προσευχαῖς, ἵνα συνεργήσωσιν ἡμῖν εἰς σωτηρίαν.

§ 349. *Περὶ σεβασμοῦ τῶν ἁγίων.*

Ὁ σεβασμὸς τῶν ἁγίων ἐστὶν εὐλαβὴς ἀνάμνησις αὐτῶν καὶ ἐξύμνησις τῶν ἀγώνων καὶ ἀρετῶν, ἅμα δὲ καὶ χαρὰ ἐπὶ τῇ μακαριότητι αὐτῶν, καὶ ἐπιθυμία μιμεῖσθαι τὸν ἅγιον βίον αὐτῶν. Ἐν τοιαύτῃ δ' ἐννοίᾳ ὁ σεβασμὸς τῶν ἁγίων ἐστὶ δόγμα ἡμέτερον, καὶ ἔχει στερρὰν βάσιν

α) Ἐν τῇ Γραφῇ. Διότι αὕτη διδάσκει, ὅτι αὐτοὶ ἐν τῇ οἰκογενείᾳ τοῦ Χριστοῦ εἰσὶ *πρωτότοκοι* ἀδελφοὶ ἡμῶν (Ἑβρ. 12, 23), καὶ ὅτι ἀσυγκρίτῳ λόγῳ τελειότεροι καὶ ὑπέρτεροι ἡμῶν εὐαρεστήσαντες τῷ Θῷ δι' ἁγίου βίου, καὶ διαπρέψαντες ἐπὶ μεγάλοις ἀγῶσι πίστεως καὶ εὐσεβείας, διὸ καὶ *φίλοι Θεοῦ* ἀποκαλοῦνται παρὰ τῷ ψαλμῳδῷ (Ψαλ. 138, 17)· καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ὀνομάζει αὐτοὺς φίλους (Ἰωαν. 15, 14), ὁ δὲ Ἀπόστολος *συγκληρονόμους Χριστοῦ* (Ῥωμ. 8, 17..)· ἆρα ὅσιον καὶ δίκαιον τιμᾶν αὐτοὺς, οὐχὶ διὰ λατρείας θείας ἀλλὰ διὰ σεβασμοῦ πρέποντος πλησιεστάτοις ἱκέταις καὶ εὐαρεστοῦσι φίλοις τοῦ Θεοῦ, καὶ σεβόμενοι αὐτοὺς καὶ ἀνυμνοῦντες ὀφείλομεν δοξάζειν τὸν Θεὸν, ὃς ἐθαυμάστωσαν ἑαυτὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. Πλὴν τούτων ἡ ἁγία Γραφὴ παρέχει ἡμῖν παραδείγματα σεβασμοῦ τῶν ἁγίων· οὕτως ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν λέγεται, ὅτι ὁ Ἀβδιοὺ *ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ* ἐνώπιον τοῦ προφήτου Ἠλιοὺ (3 Βασιλ. 18, 7), οἱ υἱοὶ τῶν προφητῶν *προσκυνοῦσιν* Ἐλισσαίῳ (4 Βασιλ. 2, 15). ὁ δὲ Ἀπόστολος ἐπαινεῖ Γαλάτας, ὅτι αὐτὸν ὡς ἄγγελον Θεοῦ καὶ ὡς Χριστὸν Ἰησοῦν ἐδέξαντο (Γαλ. 4, 14)· ἅμα δὲ καὶ νουθετεῖ ἡ Γραφὴ περὶ τούτου· οὕτως ὁ Ἰησοῦς Χριστὸς λέγει τοῖς Ἀποστόλοις· « ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος *δίκαιον* εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται » (Ματθ. 10, 40. 41). Καὶ ὁ Ἀπόστολος Παῦλος ἐντέλλεται· « μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν

τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν (Ἑβρ. 13, 7).

6) Ἐν τῇ διηνεκεῖ παραδόσει καὶ παραδείγματι τῆς οἰκουμενικῆς Ἐκκλησίας ἀπὸ τῶν πρώτων χρόνων αὐτῆς. Καὶ δὴ μετὰ θάνατον πάντες οἱ πιστοὶ ὁμοφώνως ἐτίμων εὐλαβῶς τὴν μνήμην τῶν ἁγίων Ἀποστόλων. Μετὰ δὲ ταῦτα, ὅτε ἀνεδείχθησαν μάρτυρες, οἱ Χριστιανοὶ ἤρξαντο ὑμνοῦντες τοὺς ἀγῶνας αὐτῶν, πανηγυρίζοντες κατ' ἔτος τὴν ἡμέραν τοῦ μαρτυρίου αὐτῶν καὶ σημειοῦντες ἐν βίβλῳ τὴν ἡμέραν ταύτην, ἣν καὶ γενέθλιον ἀπεκάλουν. Ὁ ἅγιος βίος πολλῶν ποιμένων τῆς Ἐκκλησίας καὶ οἱ ὑπὲρ τοῦ ἀγαθοῦ αὐτῆς ἀγῶνες ἐγένοντο αἴτια τοῦ προστιθέναι ἐν τῷ χορῷ τῶν Ἀποστόλων καὶ μαρτύρων τὸν χορὸν τῶν ἱεραρχῶν. Μετὰ δὲ ταῦτα διὰ τὸν αὐστηρὸν ἀσκητικὸν βίον καὶ τὸ ὕψος τῶν ἀγώνων τῆς αὐταπαρνήσεως συνηριθμήθησαν τῇ χορείᾳ τῶν ἁγίων οἱ ἀναχωρηταί. Περὶ δὲ τοῦ σεβασμοῦ τῶν ἁγίων, ὡς περὶ καθολικοῦ ἔθους ἐν τῇ Ἐκκλησίᾳ μαρτυροῦσιν ὁ Ἰουστῖνος, Τερτυλλιανὸς, Κυπριανὸς (1 κατὰ δὲ τὸν Δ' αἰῶνα λαμπρῶς ἤδη πανηγυρίζεται ἡ μνήμη τῶν ἁγίων, καὶ παρὰ τοῖς συγγραφεῦσι τοῦ αἰῶνος τούτου Χρυσοστόμῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ καὶ Γρηγορίῳ, Νύσσης καὶ πολλοῖς ἄλλοις πολλὰ ἐγκώμια τοῖς ἁγίοις μάλιστα δὲ τῇ Ὑπεραγίᾳ Παρθένῳ Θεοτόκῳ. Ἡ δὲ ἐν Γάγγρᾳ Σύνοδος ἀναθεματίζει τοὺς ὑβελυσσομένους τὰς συνάξεις τῶν μαρτύρων ἢ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας, καὶ τὰς μνήμας αὐτῶν (Καν. 20). Ἡ δὲ ἁγία Ἐκκλησία ὑπέδειξε καὶ τὴν τάξιν τοῦ σεβασμοῦ τῶν ἁγίων, διδάσκουσα ἐν πρώτοις καὶ ἐξαιρέτων μακαρίζειν τὴν ὑπερευλογημένην Θεοτόκον, ἣν ἀποκαλεῖ *τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ*, μετὰ ταύτην τοὺς ἀγγέλους, εἶτα τὸν Πρόδρομον, τοὺς

(1) Ἰουστ. ἀπολ. Τερτυλ. de corona milit. Κυπριαν. l. III, Fp. 15.

Προφήτας, Ἀποστόλους, Ἱεράρχας, μάρτυρας, Ὁσίους καὶ πάντας τοὺς Ἁγίους.

§ 350. *Ὁ σεβασμὸς τῶν ἁγίων Εἰκόνων.*

Σεβομένη τοὺς ἁγίους ἡ ἁγία Ἐκκλησία, πρὸς ζωηροτέραν ἀνάμνησιν, καὶ προτροπὴν εἰς μίμησιν τοῦ βίου καὶ τῶν ἄθλων αὐτῶν, χρῆται καὶ τιμᾷ τὰς ἁγίας εἰκόνας, διδάσκουσα, ὅπως εὐλαβῶς ἀτενίζομεν τὰ ὄμματα ἡμῶν, καὶ προσκυνῶμεν καὶ ἀσπαζώμεθα αὐτὰς, μηδόλως ὅμως θεοποιοῦντες, καὶ τιμῶντες οὐχὶ τὴν ὕλην οὐδὲ τὰ χρώματα, ἀλλ' ἀναφέροντες τὴν τιμὴν εἰς τὰ πρωτότυπα, εἴτε τὰ εἰκονιζόμενα πρόσωπα. Καὶ τὸ δόγμα τοῦτο στηρίζεται

α) Ἐπὶ τῆς ἁγίας Γραφῆς, ἐν ᾗ πολλὰ παραδείγματα χρήσεως καὶ τιμῆς τῶν εἰκόνων. Ἡ σκηνὴ, καὶ μετὰ ταῦτα ὁ Ναὸς τοῦ Σωλομῶντος ᾠκοδομήθησαν κατὰ τὸν τύπον, ὃν ὑπηγόρευσεν ὁ Θεὸς τῷ Μωϋσεῖ ἐπὶ τοῦ ὄρους· ἦσαν ἄρα καὶ αὐτὰ καὶ πάντα τὰ ἐν αὐτοῖς τύποι πνευματικοί. Καὶ ἡ μὲν Κιβωτὸς τῆς Διαθήκης ἦν τύπος τοῦ ἁγιάσματος τοῦ Κυρίου. Ἐπὶ δὲ τῆς Κιβωτοῦ, κατὰ διαταγὴν θείαν, ἐτέθησαν ἐκ χρυσοῦ δύω Χερουβὶμ ἐπισκιάζοντα τὴν Κιβωτὸν, οὐ μόνον δὲ ἀλλὰ καὶ πολλαχοῦ τῆς σκηνῆς καὶ τοῦ Ναοῦ τοῦ Σολομῶντος ἐξεικονίσθησαν τὰ Χερουβίμ. Ὅτι δ' ἀφορᾷ τὴν ἐντολὴν « οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα » (Ἐξ. 20, 4), δῆλον ὅτι τοῦτο οὐδεμίαν ἀναφορὰν ἔχει πρὸς τὰς ἡμετέρας ἁγίας εἰκόνας. Διότι ἐκεῖ ἀπαγορεύεται τοῖς Ἰσραηλίταις τοῖς εἰς εἰδωλολατρείαν ῥέπουσιν, ἡ χρῆσις καὶ τιμὴ τῶν εἰδώλων, ἡμεῖς δὲ εἰκονίζομεν καὶ τιμῶμεν οὐχὶ εἴδωλα, ἀλλὰ τὰς εἰκόνας τοῦ Σωτῆρος Χριστοῦ τῆς Ὑπεραγίας Μητρὸς Αὐτοῦ καὶ λοιπῶν ἁγίων. Εἰ δὲ καὶ ἐν τῇ Κ. Διαθήκῃ οὐδεμία σαφὴς ἐντολὴ περὶ τιμῆς τῶν ἁγίων εἰκόνων, ἀλλ' οὐδὲ ἀπαγορεύεται τοῦτο, καὶ οὐδὲν χωρίον ἀντιφάσκον τῇ χρήσει καὶ τιμῇ τῶν εἰκόνων.

β) Ἐπὶ τῆς Ἀποστολικῆς παραδόσεως, καὶ ἐπὶ τοῦ διηνεκοῦς παραδείγματος τῆς οἰκουμενικῆς Ἐκκλησίας. Ἀξιόπιστος παράδοσις μαρτυρεῖ, ὅτι ὁ Εὐαγγελιστὴς Λουκᾶς, ὃς ἰατρὸς καὶ ζωγράφος ἦν, ἔγραψε καὶ κατέλιπεν εἰκόνας τῆς Θεοτόκου. Εἰ δὲ καὶ κατὰ τοὺς τρεῖς πρώτους αἰῶνας οὐκ ἐν κοινῇ χρήσει αἱ εἰκόνες ἦσαν διὰ τὴν τότε θλῖψιν τῆς Ἐκκλησίας, ἀλλὰ γνωστὸν ὅτι ἡ εἰκὼν τοῦ Ἰησοῦ Χριστοῦ ἦν ἐν χρήσει (ἴδε § 209). Κατὰ δὲ τὸν Δ΄. αἰῶνα μετὰ τὸν θρίαμβον τῆς Ἐκκλησίας παντχοῦ ἀναφαίνονται μετὰ τῶν εἰκόνων τοῦ Χριστοῦ Σωτῆρος, καὶ αἱ εἰκόνες τῶν ἁγίων τοῦ Θεοῦ, ὡς εὐπρεπέστατον κόσμημα τῶν ναῶν καὶ σέβασμα. Ὁ δὲ ἅγιος Βασίλειος ὁ Μέγας ἐν τῷ λόγῳ εἰς τὸν μάρτυρα Βαρλαὰμ εὔχεται ὅπως ἐξεικονισθῇ ὁ μάρτυς οὗτος ἐπὶ σανίδος, ἅμα δὲ καὶ ὁ στεφανῶν αὐτὸν Ἰησοῦς Χριστός. Ὁ δὲ ἅγιος Ἀθανάσιος ὑπερηφάνους καὶ ἠλιθίους ἀποκαλεῖ τοὺς ἀποβάλλοντας τὰς εἰκόνας τῶν ἁγίων (1). Ἐπὶ δὲ τῶν χρόνων τῆς εἰκονομαχίας, ὅτε δεινὸς ἠγέρθη διωγμὸς κατὰ τῶν σεβομένων τὰς εἰκόνας, ἐπεσφραγίσθη τὸ δόγμα τοῦτο διὰ τοῦ αἵματος πολλῶν μεγάλων καὶ ἁγίων ἀνδρῶν τῆς Ἐκκλησίας τῶν ὁμολογητῶν, καὶ τέλος ἐστερεώθη κοινῇ φωνῇ τῆς Ἐκκλησίας ἐπὶ τῆς ἑβδόμης οἰκουμενικῆς Συνόδου, ἔνθα ἀνεθεματίσθησαν οἱ ἀποβάλλοντες τὰς εἰκόνας καὶ καλοῦντες αὐτὰς εἰδωλα.

§ 351. *Ὁ σεβασμὸς τῶν ἁγίων λειψάνων.*

Μετὰ τῶν εἰκόνων τῶν ἁγίων ἡ ὀρθόδοξος Ἐκκλησία εὐλαβῶς τηρεῖ καὶ σέβεται τὰ ἅγια λείψανα τῶν εὐαρεστησάντων τῷ Θεῷ· Στηρίζεται δὲ τοῦτο.

α) Ἐπὶ τῆς Ἁγίας Γραφῆς· διότι αὕτη ἀποκαλεῖ τὰ σώμα-

---

(1) Πρὸς Ἀντιοχ. ἀποκρ. 30.

τα τῶν ἁγίων ζῶντα μέλη τοῦ Χριστοῦ καὶ ναὸν τοῦ Ἁγίου Πνεύματος (1 Κορ. 6, 15. 19), ἅτινα εἰ καὶ ἐπί τινα καιρὸν ἀποχωρίζονται τῆς ψυχῆς, ἀλλ' ἐξάπαντος ἐγερθήσονται ποτε εἰς ζωὴν αἰώνιον καὶ συνδοξασθήσονται τῇ ψυχῇ (Ῥωμ. 8, 11). ἄρα δι' αὐτοῦ τούτου διδάσκει τὸν σεβασμὸν τῶν ἁγίων λειψάνων. Πρὸς τούτοις ἡ Γραφὴ παρέχει ἡμῖν παραδείγματα τηρήσεως καὶ ἰδιαιτέρου σεβασμοῦ πρὸς τὰ λείψανα τῶν ἁγίων. Οὕτως οἱ Ἰσραηλῖται κατὰ τὴν παραγγελίαν τοῦ Ἰωσὴφ ἐτήρουν τὰ λείψανα αὐτοῦ ἐν τῇ Αἰγύπτῳ, καὶ ἐξελθόντες ἐκεῖθεν ἔλαβον μεθ' ἑαυτῶν εἰς τὴν γῆν τῆς Ἐπαγγελίας (Γεν. 50, 25). Τὸ σῶμα τοῦ Μωϋσέως ἠξίωσεν αὐτὸς ὁ Θεὸς ἰδίας τιμῆς, ἐπιτάξας τοῖς Ἀγγέλοις θάψαι αὐτὸ (Δευτερ. 34, 6· πρβλ. Ἰουδ. 9). Ὁ τάφος καὶ τὰ ὀστᾶ τοῦ Προφήτου τοῦ προαναγγείλαντος τῷ Ἱεροβοὰμ τὴν καθαίρεσιν τῶν βωμῶν τῶν εἰδώλων τῶν ὑπ' αὐτοῦ ἱδρυμένων, ἦσαν γνωστὰ καὶ σεβαστὰ παρὰ τοῖς Ἰουδαίοις (4 Βασιλ. 23, 18). Καὶ ἐν γένει οἱ Ἰουδαῖοι ἐτήρουν καὶ ἐτίμων τοὺς τάφους τῶν προπατόρων καὶ προφητῶν· τούτῳ δὲ μαρτυρεῖ αὐτὸς ὁ Σωτὴρ ἐλέγχων αὐτούς, ὅτι κοσμοῦντες τὰ μνημεῖα τῶν δικαίων τῶν φονευθέντων ὑπὸ τῶν προγόνων αὐτῶν ἑτοίμως ἔχουσι καὶ αὐτοὶ φονεύειν δικαίους (Ματθ. 23, 29—31).

ε) Ἐπὶ τῆς παραδόσεως καὶ τοῦ παραδείγματος τῆς οἰκουμενικῆς Ἐκκλησίας. Διότι ἐξ αὐτῶν τῶν πρώτων χρόνων τῆς Ἐκκλησίας οἱ πιστοὶ ἐπιμελῶς ἐτήρουν τὰ λείψανα τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου τῶν Ἀποστόλων, καὶ ἐν καιρῷ τῶν διωγμῶν ἐλάμβανον τὰ σώματα καὶ διαμελισθέντα μέλη τῶν μαρτύρων, καὶ ἔκρυπτον αὐτὰ, ἢ κατ' οἶκον ἢ ἀλλαχοῦ, καὶ συνηθροίζοντο ἐπὶ τῶν τάφων αὐτῶν εἰς ἱεροτελεστίας καὶ μάλιστα εἰς τέλεσιν τῆς λειτουργίας. Ἐντεῦθεν δὲ τὸ κοινὸν καὶ ἀρχαιότατον ἔθος προῆλθε τοῦ τιθέναι ἐν τῇ βάσει τῆς ἁγίας Τραπέζης λείψανα μαρτύρων, ὅπερ καὶ νῦν ἔτι τηρεῖται· ὥστε τὸ δόγμα περὶ τοῦ σεβασμοῦ τῶν ἁγίων λειψάνων στε-

νῶς συνδέεται παρ' ἡμῖν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας, ὅπερ οὐκ ἄλλως τελεῖται, εἰμὴ ἐπὶ ἀντιμινσίου ἔχοντος τμῆμα τι ἁγίων λειψάνων. Κατὰ δὲ τὸν Δ' αἰῶνα οἱ τάφοι καὶ τὰ λείψανα τῶν ἁγίων περιφανῆ καθίστανται. Διὰ τοῦτο καὶ παρὰ τοῖς Πατράσι τοῦ αἰῶνος τούτου, Χρυσοστόμῳ, Βασιλείῳ πολλοὶ λόγοι εἰσὶν ἐπὶ ἀνακομιδῆς ἁγίων λειψάνων. Καὶ ἄλλοι Γρηγόριος ὁ Θεολόγος, Γρηγόριος Νύσσης, Κύριλλος Ἱεροσολύμων Ἀμβρόσιος πολλάκις ὑποδεικνύασι τὸ ἀρχαῖον τοῦτο ἔθος τῆς Ἐκκλησίας. Ἡ δὲ λαμπρὰ τῆς οἰκουμενικῆς Ἐκκλησίας φωνὴ περὶ τοῦ δόγματος τούτου ἠχεῖ ἐν τοῖς ὅροις τῶν Συνόδων. Οὕτως ἡ ἐν Καρθαγένῃ Σύνοδος κελεύει κατασκάπτειν τὰς Τραπέζας, ἐν αἷς οὐδὲν ἅγιον λείψανον. Ἐπὶ τῆς ἐν Γάγγρᾳ Συνόδου ἀναθεματίζονται οἱ αἱρετικοὶ Εὐσταθιανοὶ οἱ μὴ τιμῶντες τὰ ἅγια λείψανα. Καὶ ἡ Ζ' Οἰκουμενικὴ Σύνοδος ἀναθεματίζουσα τοὺς τοιούτους, προστάσει, ὅπως ἁγιάζωνται τὰ θυσιαστήρια οὐκ ἄλλως, εἰμὴ τιθεμένων ἁγίων λειψάνων.

γ) Ἐπὶ πολυαρίθμων θαυμάτων. Τούτων δὲ τὸ πρῶτον ἐστὶν ἡ ἀφθαρσία, δι' ἧς ὁ Θεὸς ἐδόξασε πολλὰ σώματα τῶν εὐαρεστησάντων Αὐτῷ. Τὸ φαινόμενον τοῦτο τὸ σπάνιον μὲν ἀλλ' ἐν τῇ Π. Δ. ἀπαντώμενον (4 Βασιλ. 23, 18), προανηγγέλθη ὑπὸ τοῦ Προφήτου Ἡσαΐου, ὡς τι ἴδιον δῶρον τοῖς ἐν τῇ Ἐκκλησίᾳ τῆς Κ. Διαθήκης. « καὶ τὰ ὀστᾶ σου πιανθήσεται, καὶ ἔσται ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ ὕδατος, ἣν μὴ ἐξέλιπεν ὕδωρ· καὶ τὰ ὀστᾶ σου ὡς βοτάνη ἀνατελεῖ καὶ πιανθήσεται, καὶ κληρονομήσουσι γενεὰς γενεῶν » (58, 11)· ἣν δὲ γνωστὸν τῇ Ἐκκλησίᾳ ἔκπαλαι, καὶ νῦν ἔτι πρὸ τῶν ὀφθαλμῶν ἡμῶν ἐστι. Πρὸς τούτοις τὰ ἅγια λείψανα μεταχειρίζεται ὁ Θεὸς, ὡς ἴδιόν τι ὄργανον τῶν εὐεργεσιῶν αὐτοῦ, δωρούμενος αὐτοῖς δύναμιν ἰαματικὴν καὶ θαυματουργίαν παντοίαν. Παράδειγμα δὲ τούτων ἔχομεν ἐν τῇ Π. Δ. ἐν τῇ ἀναστάσει τοῦ νεκροῦ πεσόντος ἐπὶ τῶν λειψάνων τοῦ Προφήτου Ἐλισσαίου (4 Βασιλ. 13, 21). Ἐν δὲ τῇ Κ. Δ. περὶ τοῦ

πλήθους τῶν διὰ λειψάνων θαυμάτων ἱστοροῦσιν οἱ αἰῶνες πάντες, ἱστορεῖ καὶ ὁ ἡμέτερος.

Εἰς τὸν σεβασμὸν τῶν ἁγίων λειψάνων ἀνάγονται καὶ τὰ λοιπὰ λείψανα ἐκ τῶν ἁγίων τοῦ Θεοῦ, οἷα ὁ χιτὼν τοῦ Χριστοῦ Σωτῆρος καὶ τῆς Θεοτόκου, κτλ. Ὁ σεβασμὸς τῶν τοιούτων λειψάνων θεμελιοῦται ἐπὶ τῆς Ἁγίας Γραφῆς, ἥτις καὶ παραδείγματα καὶ εὐεργετικὰ ἐπακολουθήματα παρέχει. Οὕτως ἡ αἱμορροοῦσα ἔλαβε τὴν ἴασιν ἁψαμένη μόνον τῶν ἱματίων τοῦ Χριστοῦ (Ματθ. 9, 20. 21). Τὰ σουδάρια καὶ σιμικίνθια τοῦ Ἀποστόλου Παύλου εἶχον ἰαματικὴν δύναμιν ἐπὶ τῶν πιστῶν (Πραξ. 19, 12).

§ 352. *Ἡ ἐπίκλησις τῶν ἁγίων.*

Σεβομένη ἡ ἁγία Ἐκκλησία τοὺς ἁγίους τοῦ Θεοῦ, διδάσκει ἅμα ἐπικαλεῖσθαι αὐτοὺς, τουτέστιν αἰτεῖσθαι παρ' αὐτοῖς ἀντίληψιν, οὐχὶ βεβαίως ὡς δυναμένοις ἐξ αὐτῶν παρέχειν τι, ἀλλ' ὡς ἔχουσι παῤῥησίαν παρὰ τῷ Ἰησοῦ Χριστῷ, καὶ διότι ὑπουργοῦντες Αὐτῷ εἰς ἐκπλήρωσιν τῶν ἀγαθῶν βουλῶν Αὐτοῦ πρὸς ἡμᾶς, εἰσὶν οὕτως πλησιέστατοι ἱκέται παρ' Αὐτῷ ὑπὲρ ἡμῶν, καὶ δύνανται συνεργεῖν ταῖς ἡμετέραις ἀναξίαις δεήσεσιν, καὶ καθιστάναι Αὐτὸν ἵλεων ἡμῖν τῇ ἑαυτῶν πρεσβείᾳ. Τοιαύτη δ' ἐπίκλησις τῶν ἁγίων στηρίζεται.

α) Ἐπὶ τῆς Ἁγίας Γραφῆς. Ἐνταῦθα δὲ ἀνάγονται 1) τὰ χωρία, ἐν οἷς ὑπαγορεύεται εὔχεσθαι ὑπὲρ ἀλλήλων, καὶ ὅτι πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη (Ἰακ. 5, 16). Οὕτω καὶ αὐτὸς ὁ Θεὸς προστάσσει τῷ Ἀβιμέλεχ αἰτεῖσθαι τὴν δέησιν τοῦ Ἀβραάμ (Γεν. 20, 7), τοῖς φίλοις τοῦ Ἰὼβ τὴν τοῦ δικαίου τούτου (Ἰώβ. 42, 7—9). οἱ Ἰσραηλῖται ᾐτήσαντο τὴν τοῦ Σαμουὴλ (1 Βασιλ. 7, 8). ὁ Ἀπόστολος Παῦλος τὰς τῶν ἰδίων μαθητῶν (Ῥωμ. 15, 30 31. Ἐφ. 6, 18. 19. Κολ. 4, 2)· 2) τὰ χωρία, ἐν οἷς λέγεται, ὅτι οἱ ἀποδημή-

ἐαντες ἅγιοι οὐ παύονται δεόμενοι ὑπὲρ των ζώντων καὶ βοηθοῦντες αὐτοῖς. Οὕτως ὁ Ἀπόστολος Ἰωάννης εἶδεν, ὅτι οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔφερον ἐνώπιον τοῦ ἀρνίου *φιάλας χρυσᾶς γεμούσας θυμιαμάσων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων* (Ἀποκ. 5, 8)· ὁ ἀπόστολος Πέτρος ἐπαγγέλλεται τοῖς μαθηταῖς καὶ *μετὰ τὴν αὐτοῦ ἔξοδον* τὴν ἐκείνων μνήμην ποιεῖσθαι (2 Πέτρ 1, 15). Ὁ Μακκαβαῖος εἶδεν ἐν ὁράματι, ὅτι Ὀνίας ὁ Ἀρχιερεὺς καὶ ὁ Ἱερεμίας προσηύχοντο πολλὰ περὶ τοῦ λαοῦ τοῦ Θεοῦ (2 Μακ. 15, 12—14). Τέλος 3) τὰ χωρία ἐκεῖνα, ἐξ ὧν δῆλον, ὅτι ὁ Θεὸς διὰ τοὺς ἀποθανόντας ἁγίους ἐλεεῖ τοὺς ζῶντας. Οὕτως ὁ Μωϋσῆς κάμπτει εἰς ἔλεος τὸν Θεὸν δι' Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακὼβ (Ἐξόδ. 32, 13)· διὰ Δαβὶδ πολλάκις ὁ Θεὸς πραΰνει τὴν ὀργὴν κατὰ τῶν ἀπογόνων Βασιλέων τοῦ Ἰσραὴλ (3 Βασ. 11, 12. 15, 4)· τῷ προφήτῃ Ἱερεμίᾳ ὁ παροργισθεὶς Θεὸς λέγει. «ἐὰν στῇ Μωσῆς καὶ Σαμουὴλ πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς (15, 1).

6) Ἐπὶ τῆς παραδόσεως καὶ τοῦ παραδείγματος τῆς οἰκουμενικῆς Ἐκκλησίας. Καὶ δὴ ἐκ τῶν συγγραμμάτων Διονυσίου τοῦ Ἀρεοπαγίτου, Εἰρηναίου, Κυπριανοῦ, Ὠριγένους καταφαίνεται ὅτι ἡ ἐπίκλησις τῶν ἁγίων ἦν κοινὸν ἔθος κατὰ τοὺς πρώτους αἰῶνας, ἄρα καὶ ἀποστολικὴ παράδοσις. Κατὰ δὲ τὸν Δ' αἰῶνα παρὰ Βασιλείῳ τῷ Μεγάλῳ, Ἀθανασίῳ, Χρυσοστόμῳ, Ἐφραὶμ τῷ Σύρῳ, Γρηγορίῳ Νύσσης εὑρίσκομεν πλεῖστα ἐγκώμια τοῖς ἁγίοις, ἐν οἷς πολλάκις, μάλιστα δ' ἐν ἐπιλόγῳ ἀποτείνονται πρὸς αὐτοὺς ἐν ἱκετηρίῳ δεήσει. Τέλος ἡ καθαρὰ φωνὴ τῆς οἰκουμενικῆς Ἐκκλησίας ἠκούσθη ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ Συνόδῳ, ἥτις ἐν τοῖς ἄλλοις καὶ ταῦτα ὥρισεν, ὅπως πάντα μετὰ φόβου Θεοῦ ποιῶμεν, αἰτούμενοι τὰς πρεσβείας τῆς παναμώμου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων.

γ) Ἐπὶ ἀναριθμήτων παραδειγμάτων ἀντιλήψεως, ἣν ἀπέ-

δειξαν τῇ Ἐκκλησίᾳ κατὰ πάντας τοὺς χρόνους οἱ ἅγιοι καὶ τοῖς πιστοῖς, μάλιστα δὲ ἡ Παναγία Μήτηρ τοῦ Θεοῦ, ὧν πλήρης ἡ ἱστορία τῆς ἡμετέρας Ἐκκλησίας.

§ 353. *Σχέσις πρὸς τοὺς τεθνεῶτας τοὺς ἀτελεῖς καὶ τὸ μνημόσυνον αὐτῶν.*

Αἰτουμένη ἡ Ἐκκλησία τὴν ἀντίληψιν καὶ ἱκεσίαν τῶν ἀποδημησάντων ἐντεῦθεν τελείων καὶ ἁγίων, τἀνάπαλιν τοῖς ἄλλοις τοῖς μὴ τελείοις μεν, ἀρξαμένοις δ' ἐνταῦθα ἤδη μετανοίας βοηθεῖ ταῖς ἰδίαις εὐχαῖς, ἀγαθοεργίαις, καὶ μάλιστα τῇ προσφορᾷ τῆς ἀναιμάκτου θυσίας, πεπληροφορημένη, ὅτι διὰ τούτου συνεργεῖ αὐτοῖς, ὅπως καθαρίσωσιν ἑαυτοὺς ἀπὸ τῶν ἁμαρτιῶν, καὶ λάβωσι παρὰ Θεοῦ συγχώρησιν καὶ τύχωσι κρείττονός τινος. Τὸ δόγμα δὲ τοῦτο τοῦ μνημονεύειν τῶν κεκοιμημένων στηρίζεται

α) Ἐπὶ τῆς Ἁγίας Γραφῆς. Διότι, διδάσκουσα αὕτη ἡμᾶς ὅτι μεταξὺ ζώντων καὶ νεκρῶν διαρκεῖ ζῶσα κοινωνία, καὶ ἐντελλομένη εὔχεσθαι ὑπὲρ ἀλλήλων ἐπ' ἐλπίδι, ὅτι πολλὰ ἰσχύει δέησις ἐνώπιον Θεοῦ (Ἰακ. 5, 16. 1 Ἰωαν. 5, 16), δι' αὐτοῦ τούτου ὑποχρεοῖ εὔχεσθαι ὑπὲρ τῶν κεκοιμημένων τῶν ἐν πίστει καὶ μετανοίᾳ ἀδελφῶν ἡμῶν. Τὴν ἐλπίδα δὲ ἐπὶ ταῖς τοιαύταις εὐχαῖς στηρίζει καὶ τοῦτο, ὅτι ἡ κατάστασις ψυχῶν τινων μέχρι τῆς τελευταίας κρίσεως οὔπω ὡρίσθη (διὰ τοῦτο ἡ εὐσπλαχνία τοῦ Θεοῦ καὶ ἡ δύναμις τῆς ἀξιομισθίας τοῦ Σωτῆρος Χριστοῦ ἐνεργεῖ ἔτι καὶ ἐν αὐτοῖς), στηρίζουσιν ἔτι καὶ τὰ τοῦ Σωτῆρος· « ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ μέλλοντι » (Ματθ 12, 32)· ἐκ τούτων δὲ καταφαίνεται ὅτι ἡ ἄφεσις ἁμαρτιῶν τινων δυνατὴ ἔτι καὶ μετὰ θάνατον. Πρὸς τούτοις παρέχει ἡμῖν ἡ Γραφὴ καὶ παράδειγμα

τοιοῦτον ἐν τῇ Β΄ βίβλῳ τῶν Μακκαβαίων, ἐν ᾗ λέγεται, ὅτι προσηνέχθη θυσία ὑπὲρ τῶν πεσόντων Ἰουδαίων (12, 43). καὶ ὁ σοφὸς Σιρὰχ λέγει « ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν » (7, 36).

6) Ἐπὶ τῆς παραδόσεως καὶ τοῦ παραδείγματος τῆς Οἰκουμενικῆς Ἐκκλησίας. Διότι ἡ ἁγία Ἐκκλησία, διδαχθεῖσα ὑπὸ τῶν Ἀποστόλων, ἔκπαλαι καὶ διηνεκῶς ηὔχετο ὑπὲρ τῶν κεκοιμημένων, ὡς τοῦτο δῆλον ἐκ τῶν ἀρχαιοτάτων Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας. Ὁ ἅγιος Χρυσόστομος λέγει, ὅτι *Πνεύματος διατάξει ταῦτα γίνεται* (1). Σπουδαῖον δὲ καὶ τοῦτο, ὅτι τὸ δόγμα τοῦτο ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ στενῶς συνδέεται ταῖς λειτουργίαις τοῦ Μ. Βασιλείου καὶ Χρυσοστόμου, ἐν αἷς τρὶς μνημονεύονται οἱ νεκροί, ἐν τῇ προσκομιδῇ, ἐν τῇ ἐκτενεῖ καὶ μετὰ τὸν ἁγιασμὸν τῶν τιμίων Δώρων. Αἱ λειτουργίαι δ' αὗται συνετάχθησαν κατὰ τὸ παράδειγμα τῆς τοῦ ἁγίου Ἰακώβου τοῦ Ἀποστόλου, ὅστις ἀναμφιβόλως ἐδιδάχθη ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἐκυρώθησαν ἐν τῇ ἕκτῃ Οἰκουμενικῇ Συνόδῳ. Ἡ δὲ ἁγία Ἐκκλησία δείκνυσι καὶ τὰς ἡμέρας, ἐν αἷς ἰδίως εὔκαιρον μνημονεύειν τῶν κεκοιμημένων· εἰσὶ δὲ ἡ τρίτη, ἐννάτη, εἰκοστὴ, τεσσαρακοστὴ, καὶ ἡ ἐνιαύσιος. Τὸ δυνατὸν δὲ καὶ ἡ ἐνέργεια τῶν ἡμετέρων δεήσεων καλῶς πάνυ ἐξηγεῖ ὁ ἅγιος Ἐφραὶμ ὁ Σύρος ἐν τῇ διαθήκῃ λέγων, ὅτι οἱ νεκροὶ ἔχουσι τοιαύτην συμπάθειαν πρὸς τοὺς ζῶντας, ὅταν οὗτοι ὑπὲρ αὐτῶν εὔχονται, οἵα ἐν τῇ φύσει μεταξὺ τῶν καρπῶν. Οὕτω ἀνθούσης τῆς ἀμπέλου, κινεῖται ὁ ἐν οἴκῳ οἶνος· φυομένων τινῶν σπορίμων, ἐκφύονται καὶ τὰ ἐν οἴκῳ.

---

(1) Ὁμιλ. 41 εἰς τὴν Α΄. πρὸς Κορ. Ἐπιστ.

Β΄ Περὶ τῶν ἐσχάτων τῆς Βασιλείας τοῦ Θεοῦ ἐν γένει.

§ 354. *Ὅτι ἐν χρόνῳ ἡ βασιλεία τῆς χάριτος, εἴτε ἡ στρατευομένη Ἐκκλησία.*

Ἐπειδὴ ἡ βασιλεία τῆς χάριτος τοῦ Χριστοῦ, εἴτε ἡ στρατευομένη Ἐκκλησία, ἔχει σκοπὸν τὴν παιδαγωγίαν καὶ καταρτισμὸν τῶν ἁγίων, μέχρι καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ (Ἐφ. 4, 12. 13), καὶ ἐπειδὴ ἀπαύστως πολεμεῖ καὶ ἀγωνίζεται, διὰ τοῦτο οὐκ ἔστι μόνιμος Βασιλεία, ἀλλὰ πρὸς καιρόν. Τοῦτο δὲ ἀναντιῤῥήτως στηρίζει ὁ Ἀπόστολος, δεικνὺς καὶ τὰ ὅρια τῆς διαρκείας· « εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν· δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ » (1 Κορ. 15, 24. 25).

§ 355. *Ἡ περὶ τῆς Βασιλείας τῆς δόξης εἴτε τῆς θριαμβευούσης Ἐκκλησίας ἔννοια.*

Ἀλλ' ὅμως, τελευτώσης τῆς βασιλείας τῆς χάριτος, οὐ συντελευτᾷ καὶ ἡ Βασιλεία τοῦ Χριστοῦ ἐν γένει· διότι μετὰ ταῦτα ἄρχεται ἡ Βασιλεία αὐτοῦ ἡ αἰώνιος, ἧς ἀπαρχὴ καὶ νῦν ἤδη εἰσὶν οἱ ἀποδημήσαντες ἐντεῦθεν ἅγιοι, οἱ μακαριότητος ἀπολαύοντες. Καλεῖται δὲ ἡ νέα αὕτη Βασιλεία, *Βασιλεία τῆς δόξης*, διότι ἡ νῦν ἔτι ὑποκρυπτομένη δόξα τοῦ Ἰησοῦ Χριστοῦ ἀποκαλυφθήσεται τότε ἐν πλήρει φωτὶ, ἅμα δὲ καὶ οἱ πιστεύοντες καὶ εὐαρεστήσαντες Αὐτῷ ἀπολαύσουσι τῆς δό-

ξης ταύτης, μόνον χάριτος ἀπολαύοντες νῦν. Καλεῖται ἐπίσης θριαμβεύουσα Ἐκκλησία, διότι ἐκεῖ οὐδεὶς ἀγών, ἀλλὰ ἡσυχία, θρίαμβος κατὰ τῶν ἐχθρῶν καὶ αἰωνία μακαριότης.

§ 356. *Περιεχόμενον τῆς διδασκαλίας ταύτης.*

Οὕτω δὲ, προκειμένου περὶ τῶν ἐσχάτων τῆς Βασιλείας τοῦ Θεοῦ ἐν γένει, ὀφείλομεν εἰπεῖν α) περὶ τῶν ἐσχάτων χρόνων τῆς βασιλείας τῆς χάριτος, εἴτε τῆς στρατευομένης Ἐκκλησίας· β) περὶ τῆς ἐπιφανείας βασιλείας τῆς δόξης, εἴτε τῆς θριαμβευούσης Ἐκκλησίας.

α) Περὶ τῶν ἐσχάτων χρόνων τοῦ Βασιλείου τῆς χάριτος.

§ 357. *Ὁ ἔσχατος πόλεμος τῆς βασιλείας τοῦ Χριστοῦ πρὸς τὸν διάβολον.*

Οἱ ἔσχατοι χρόνοι τῆς βασιλείας τῆς χάριτος τοῦ Χριστοῦ ἔσονται, κατὰ τὴν διδασκαλίαν τοῦ λόγου τοῦ Θεοῦ, ἐπ' ἄκρον χαλεποὶ καὶ δεινοί. Καὶ θρησκευτικῶς μὲν καὶ ἠθικῶς θεωρούμενοι ἔσονται χρόνοι ἄκρας ἀπιστίας καὶ ἀσεβείας. Οὕτω δὲ λέγει ὁ Ἰησοῦς Χριστὸς, ὅτι, εἰ καὶ τὸ Εὐαγγέλιον κηρυχθήσεται τότε μᾶλλον, ἢ ἄλλοτέ ποτε, *ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι* (Ματθ. 24, 14), ἀλλ' οὐχ ἧττον παρὰ τοῖς πλείστοις ψυγήσονται ἡ πίστις καὶ ἀγάπη, τὰ δύω ζωτικὰ στοιχεῖα τῆς ἀνθρωπότητος, καὶ τοσοῦτον ὥστε μόλις, *ἐλθὼν, εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς* (Λουκ. 18, 8), *καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν* (Ματθ. 24, 12). Ὁ δὲ Ἀπόστολος μαρτυρεῖ ἐπίσης, ὅτι τότε ἐλεύσεται ἀποστασία, ἐκ τῆς πίστεως δηλονότι (2 Θεσσαλ. 2, 3. 1 Τιμ. 4, 1), ὅτι ἡ ὑποκρυπτομένη ἀνομία ἀποκαλυφθήσεται τότε, καὶ ὅτι « ἐν ἐσ-

χάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι » (2 Τιμ. 3, 1—5). Πολιτικῶς δὲ θεωρούμενοι οἱ χρόνοι οὗτοι ἔσονται κατὰ τοὺς λόγους τοῦ Ἰησοῦ Χριστοῦ χρόνοι ἀκαταστασίας πολέμων καὶ ἐθνεγερσιῶν (Ματθ. 24, 6. 7. Λουκ. 21, 9. 10. 2 Θεσ. 2, 6. 7), ἐν δὲ τῇ φύσει μέγιστα δεινὰ καὶ μεταβολαὶ συμβήσονται (Ματθ. 24, 7. Λουκ. 21, 11), ἐκ τούτων δ' ἁπάντων *ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς* ἔσται, « καὶ θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐμὴ γένηται (Λουκ. 21, 23. Ματθ. 24, 21). Αἴτιον δὲ τούτου, ὅτι κατὰ τὴν δοθεῖσαν ἀποκάλυψιν τῷ Δανιὴλ καὶ Ἀποστόλῳ Ἰωάννῃ, ἐγερεῖ ὁ διάβολος κατὰ τοὺς χρόνους ἐκείνους δεινὸν πόλεμον πρὸς τὴν βασιλείαν τοῦ Χριστοῦ. Ὁ πόλεμος δ' οὗτος ἀρξάμενος δι' ἀποπείρας τοῦ Σατανᾶ κατὰ τῆς οὐρανίου Ἐκκλησίας, μετὰ τὴν καθαίρεσιν αὐτοῦ ἐκεῖθεν ἐνσκήψει ἐπὶ τῆς ἐπὶ γῆς Ἐκκλησίας, συνιστάμενος ἔνθεν μὲν ἐν τῷ δεινῷ διωγμῷ, ὃν ἐγερεῖ ὁ διάβολος ἐπὶ τοὺς πιστεύοντας εἰς Ἰησοῦν Χριστόν, ὅπως ἀποσπάσῃ αὐτοὺς ἀπ' Αὐτοῦ, καὶ προσκτήσηται ἑαυτῷ· ἔνθεν δὲ ἐν τῇ μεγίστῃ ἀμύνῃ κατὰ τοῦ διαβόλου τῶν πιστῶν, ὑπερασπιζομένου αὐτοὺς Ἰησοῦ Χριστοῦ, μέχρις οὗ ἐντελῶς καταβληθῇ ὁ διάβολος· « Καὶ ἐγένετο πόλεμος ἐν τῷ Οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπολέμησαν κατὰ τοῦ δράκοντος, καὶ ὁ δράκων ἐπολέμησε καὶ οἱ ἄγγελοι αὐτοῦ, καὶ οὐκ ἴσχυσαν, οὔτε τόπος εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐρανῷ . . . . Διὰ τοῦτο οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει » (Ἀποκ. 12, 7—12. Δαν. 7, 11. 12).

§ 358. *Ὄργανον τοῦ διαβόλου ὁ Ἀντίχριστος καὶ ἡ περὶ τούτου ἔννοια.*

Ὄργανον τοῦ διαβόλου, δι' οὗ πολεμήσει τῇ βασιλείᾳ τοῦ Ἰησοῦ Χριστοῦ ἔσται ὁ Ἀντίχριστος. Ὑπὸ τὸ ὄνομα δὲ τοῦτο ἐν γένει νοεῖται πᾶς ὁ μὴ ὁμολογῶν τὴν ἁγίαν πίστιν τοῦ Χριστοῦ καὶ ἀρνούμενος τὰ σωτήρια δόγματα αὐτῆς· τοιοῦτοι δ' ὑπῆρξαν καὶ ἐπὶ τῶν Ἀποστόλων (1 Ἰωαν. 4, 1—4), ἀνεφάνησαν καθ' ἅπαντα τὸν χρόνον τῆς Ἐκκλησίας, καὶ νῦν εἰσιν. Ἀλλ' ἰδίως Ἀντίχριστος, ὡς ὄργανον τοῦ διαβόλου πρὸς τὸν ἔσχατον πόλεμον κατὰ τῆς βασιλείας τοῦ Χριστοῦ, παρίσταται ἐν τῇ Γραφῇ ὁ φέρων τοὺς ἑπομένους χαρακτῆρας.

α) Ἀποκαλυφθήσεται ὁ ἄνομος, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἄνθρωπος τῆς ἁμαρτίας, οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ (2 Θεσσαλ. 2, 3. 4. 9)· ἔσται ἄρα οὐχὶ κοινωνία τις, οὐχὶ σειρὰ προσώπων τινῶν, οὐχὶ τὸ πνεῦμα τῆς ἐποχῆς, ἀλλ' ἓν πρόσωπον, ὅπερ ἀπ' αὐτῆς τῆς ἀνόμου γεννήσεως εἰς ἴδιον ὄλεθρον καὶ τῶν ἄλλων ἔσται ὑπὸ τὴν ἐπήρειαν τοῦ διαβόλου, καὶ ἔσται ἐχθρὸς πάσης ἀληθείας καὶ ἀγαθοῦ.

β) « Καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ· καὶ ὑψωθήσεται καὶ μεγαλυνθήσεται ὁ βασιλεὺς » (Δαν. 11, 36. 7, 24)· « καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν μεγάλην... καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος » (Ἀποκαλ. 13, 2. 7) ἔσται ἄρα ὁ Ἀντίχριστος ἰσχυρὸς δυνάστης.

γ) « Καὶ ἠνοίξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν Θεόν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ Οὐρανῷ σκηνοῦντας ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν, ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός » (Ἀποκαλ. 13, 6. 2Θεσ 2, 4. Δαν. 7, 25. 11, 36—39)· ἄρα

ἔσται ὑπερήφανος καταφρονητὴς παντὸς θείου, καὶ θρασὺς βλάσφημος κατὰ τοῦ ἀληθινοῦ Θεοῦ καὶ τῆς ἁγιωτάτης θρησκείας καὶ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, ἁπαιτῶν ἑαυτῷ μόνῳ θείαν τιμὴν, καὶ δι' ἑαυτοῦ τῷ διαβόλῳ.

§ 359. *Ὁ τρόπος τοῦ πολέμου τοῦ Ἀντιχρίστου.*

Ἄρξεται τοῦ πολέμου ὁ Ἀντίχριστος α) διὰ ψευδοῦς καὶ ὀλεθρίου διδασκαλίας, ἀντιβαινούσης ὅλως πρὸς τὸ πνεῦμα τὸ σωτήριον τῆς χριστιανικῆς πίστεως, ἀλλ' οὐχ ἧττον δολίας καὶ ἐπαγωγοῦ, ἐξ ἧς, ἀπατηθήσονται πολλοί· ἔσται, κατὰ τὸν Ἀπόστολον, ἡ παρουσία αὐτοῦ « ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις· καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει » (2, Θεσσαλ. 2, 10. 11) Πρὸς ἐξάπλωσιν δὲ τῆς διδασκαλίας ἕξει ὁ Ἀντίχριστος παρ' ἑαυτῷ *ψευδοπροφήτην* (Ἀποκ. 19, 20. 20, 10.

β) Στηρίξει τὴν διδασκαλίαν διὰ μεγάλων σημείων καὶ τεράτων ψεύδους. Λέγει δὲ ὁ Ἰησοῦς Χριστὸς, ὅτι οἱ διάκονοι τοῦ Ἀντιχρίστου « δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς » (Ματθ. 24, 24), καὶ ὁ Ἀπόστολος ἀποκαλύπτει, ὅτι ἡ παρουσία αὐτοῦ ἔσται κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους (2 Θεσσαλ. 2, 9). Ὁ δὲ Ἀπόστολος Ἰωάννης εἶδεν, ὅτι μία τῶν ἑπτὰ κεφαλῶν τοῦ ὄφεως ἦν ἐσφαγμένη εἰς θάνατον, ἀλλ' ἐθεραπεύθη ἡ πληγὴ αἴφνης, καὶ ποιεῖ πῦρ καταβαίνειν ἐξ οὐρανοῦ εἰς τὴν γῆν, καὶ ἡ εἰκὼν τοῦ θηρίου ἐλάλει (Ἀποκ. 13, 3. 13. 15).

γ) Τέλος ἰσχυρὸν ὅπλον ἔσται τῷ Ἀντιχρίστῳ τὰ δεινὰ, οἱ διωγμοὶ καὶ αἱ βάσανοι, δι' ὧν οὗτος βασανίσει τοὺς μὴ προσκυνοῦντας αὐτῷ. Λέγεται δ' ἐν τῇ Ἀποκαλύψει, ὅτι αὐτὸς μι-

κροῖς τε καὶ μεγάλοις, πλουσίοις καὶ πτωχοῖς, ἐλευθέροις καὶ δούλοις δώσει χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν μετώπων αὐτῶν, ἵνα μήτις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰμὴ ὁ ἔχων τὸ χάραγμα, ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ, τοὺς δε μὴ προσκυνοῦντας αὐτῷ ἀποκτενεῖ (Ἀποκ. 13, 15. 16. 17).

δ) Ὅτι δ' ἀφορᾷ τοὺς πιστεύοντας εἰς τὸ μαρτύριον τοῦ Ἰησοῦ Χριστοῦ, ἔξουσιν οὗτοι ὅπλον τὴν ὑπομονὴν καὶ τὴν πίστιν (Ἀποκ. 13, 10). « ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται » (Ματθ. 24, 13).

§ 360. *Ἡ ἀποκάλυψις ἐκ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὸ τέλος τῆς δεσποτείας τοῦ Ἀντιχρίστου.*

Ὁ Ἰησοῦς Χριστὸς μέλλει ἀμύνεσθαι τὴν ἰδίαν Ἐκκλησίαν κατὰ τοῦ Ἀντιχρίστου.

α) Διὰ δύω *μαρτύρων* Προφητῶν, οἵτινες τῇ δυνάμει τοῦ λόγου καὶ τῶν θαυμάτων ἀντιπαλαίσουσιν ἐπί τινα χρόνον τῷ θηρίῳ, ἀλλ' ἀποκτανθήσονται ὑπὸ τοῦ θηρίου μετὰ ταῦτα, ἀναστήσονται δὲ (Ἀποκ. 11, 3—12).

β) Διὰ τῶν ἑπτὰ πληγῶν, δι' ὧν οἱ Ἄγγελοι κακώσουσι τὴν ἐξουσίαν τοῦ Ἀντιχρίστου, καὶ τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου (Ἀποκ. κφ. 16).

γ) Αὐτὸς ὁ Κύριος ἀοράτως μετὰ τῶν οὐρανίων δυνάμεων πολεμήσει πρὸς τὸ θηρίον, κατανικήσει αὐτὸ, καὶ *καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ* (2 Θεσσαλ. 2, 8), καὶ ὁ δεινὸς οὗτος πόλεμος καὶ ἡ βασιλεία τοῦ Ἀντιχρίστου καταπαύσονται διὰ τοῦτο ὅτι « ἐπιάσθη τὸ θηρίον καὶ μετὰ τούτου ὁ ψευδοπροφήτης, καὶ ἐβλήθησαν ζῶντες εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν τῷ θείῳ (Ἀποκ. 19, 20).

§ 361. *Διάρκεια τῆς βασιλείας τοῦ Ἀντιχρίστου*

Πρὸς χαρὰν καὶ παραμυθίαν τῶν ἐκλεκτῶν τοῦ Θεοῦ ἀπο-

καλύπτει ἡ ἁγία Γραφὴ, ὅτι ἡ βασιλεία τοῦ Ἀντιχρίστου καὶ ὁ πόλεμος αὐτοῦ πρὸς τὴν βασιλείαν τοῦ Χριστοῦ οὐκ ἐπὶ πολὺν ἔσονται χρόνον. Λέγει δὲ ὁ Ἰησοῦς Χριστὸς, ὅτι διὰ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι (Ματθ. 24, 22. Αποκ. 12, 12. 20, 3). Παρὰ δὲ τῷ Προφήτῃ Δανιὴλ καὶ ἐν τῇ Ἀποκαλύψει ἀποκαλύπτεται, ὅτι ἐξουσία δοθήσεται ἐν χειρὶ αὐτοῦ, ἕως καιροῦ καὶ καιρῶν, καὶ ἥμισυ καιροῦ (Δαν 7, 25. 12, 7. Αποκ. 12, 14), καὶ ἐν ἄλλῳ χωρίῳ ἀριθμοῦνται χίλιαι διακόσιαι ἐνενήκοντα ἡμέραι (12, 11. 12), καὶ τεσσαράκοντα δύω μῆνες (Ἀποκαλ. 11, 2. 13, 5). Εἰδὲ καὶ αἱ προφητίαι αὗται, ὡς καὶ αἱ λοιπαὶ πᾶσαι, φέρουσι μυστικὴν σφραγίδα, καὶ κατανοῆσαι αὐτὰς ἐντελῶς οὐ δυνάμεθα, ἀλλὰ πιθανὸν ὅτι κατ' αὐτὰς ὁ χρόνος τῆς ἐξουσίας τοῦ Ἀντιχρίστου ἔσται ἔτη τρία καὶ ἥμισυ.

6) Περὶ τῆς ἐπιφανείας τῆς βασιλείας τῆς δόξης.

§. 362. *Περιεχόμενον τῆς διδασκαλίας ταύτης.*

Μετὰ τὸ τέλος τοῦ τελευταίου πολέμου πρὸς τὸν Ἀντίχριστον, καὶ τὴν νίκην κατὰ τοῦ διαβόλου, ἀναδείκνυται θριαμβεύουσα ἡ Ἐκκλησία, καὶ ἐπιφαίνεται ἡ βασιλεία τῆς δόξης. Ἄρχεται δὲ μετὰ τῆς καθολικῆς ἀναστάσεως τῶν νεκρῶν, τοτέλους τοῦ Κόσμου, τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ Σωτῆρος καὶ τῆς φοβερᾶς κρίσεως, καὶ τελειοῦται διὰ καταδίκης τῶν ἁμαρτωλῶν εἰς αἰωνίους βασάνους καὶ εἰσαγωγῆς τῶν δικαίων εἰς ζωὴν αἰώνιον· ὥστε καὶ περὶ τῶν πέντε τούτων ἔσται ὁ λόγος ἐνταῦθα.

1) Περὶ ἀναστάσεως τῶν νεκρῶν.

§. 363. *Ἡ περὶ ἀναστάσεως ἔννοια.*

Ἀνάστασις τῶν νεκρῶν λέγεται ἡ ἐνέργεια ἐκείνη τῆς παν-

τοδυναμίας τοῦ Θεοῦ, καθ' ἣν *ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ* (Ἰωαν. 6, 54) τὰ σώματα πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων ἀνθρώπων, ἐγερθήσονται ἐκ τοῦ χοὸς τῆς γῆς καὶ ἑνωθήσονται ταῖς ψυχαῖς, αἷς ἄλλοτε ἐζωοποιήθησαν.

§ 364. *Ἀποδείξεις τῆς ἀναστάσεως.*

Ἡ ἀγαθοεργὸς καὶ παραμυθητικὴ ἀλήθεια τῆς καθολικῆς ἀναστάσεως συνδέεται στενώτατα ἅπάσῃ τῇ χριστιανικῇ διδασκαλίᾳ, διὸ καὶ στερρὰς πάνυ ἔχει ἐν τῇ Γραφῇ βάσεις, καὶ ἐν λαμπρῷ φωτὶ ἀποκαλύπτεται.

α) Ἐν μὲν τῇ Π. Δ. στηρίζει αὐτὴν αὐτὸς ὁ Θεὸς ἀποκαλῶν ἑαυτὸν Θεὸν Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακώβ. « Ὁ δὲ Θεὸς οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων » (Ἐξ. 3, 6. Ματθ. 22, 32). Τὴν πίστιν εἰς τὴν ἀνάστασιν ἀπέδειξεν ὁ Ἀβραὰμ, προσενεγκὼν τὸν ἴδιον υἱὸν, λογισάμενος, κατὰ τὸν Ἀπόστολον, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεὸς (Ἑβρ. 11, 17—19)· διὰ ταύτης παραμυθεῖ ἑαυτὸν ὁ Ἰώβ. « οἶδα ὅτι ἀέννᾱός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς· ἀναστήσει δέμου τὸ δέρμα τὸ ἀναντλοῦν ταῦτα » (19, 25)· Ταύτην κηρύττει ὁ Ἡσαΐας « ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις » (26, 19), ὁ δὲ Ἰεζεκιὴλ εἶδεν ἐν ὁράματι αὐτὴν τὴν ἀνάστασιν· καὶ δὴ ἐν πεδίῳ μεστῷ ὀστέων ἀνθρωπίνων, κατ' ἐπίπνοιαν τοῦ Πνεύματος τοῦ Θεοῦ, συναρμόζονται τὰ ὀστᾶ, σαρκοῦνται, ζωοποιοῦνται πνεύματι (κφ. 37). Ἡ δὲ μήτηρ τῶν Μακκαβαίων καὶ οἱ υἱοὶ αὐτῆς παρακινοῦσιν ἀλλήλους εἰς τὸν μαρτυρικὸν ἀγῶνα τῇ ἐλπίδι τῆς ἀναστάσεως (2 Μακ. 7). ἐν γένει δὲ ἐν τῇ Π. Δ μόνη ἡ αἵρεσις τῶν Σαδδουκαίων ἠρνεῖτο τὴν κοινὴν πίστιν παρὰ τοῖς Ἰουδαίοις περὶ τῆς ἀναστάσεως.

β) Ἐν δὲ τῇ Κ. Δ. στηρίζει τὴν ἀλήθειαν ταύτην αὐτὸς ὁ Ἰησοῦς Χριστὸς διὰ σαφεστάτων λέξεων. « Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται

τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται » (Ἰωαν. 5, 25)· στηρίζει ἔτι καὶ διὰ τοῦ μυστηρίου τῆς μεταλήψεως· « ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ » (Ιωαν 6, 54)· ἅμα δὲ καὶ διὰ τούτου, ὅτι κατὰ τὴν ἐπίγειον αὐτοῦ διαμονὴν πολλοὺς ἀνέστησε, μάλιστα δὲ διὰ τούτου ὅτι Αὐτὸς ἀνέστη, « ἀπαρχὴ τῶν κεκοιμένων γενόμενος (1 Κορ. 15, 20) καὶ πρωτότοκος τῶν νεκρῶν (Κολ. 1, 18). Ὁ δὲ Ἀπόστολος Παῦλος ἀποδείκνυσι τὴν ἀλήθειαν ταύτην ἐκ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ, ᾗ στενώτατα συνδέεται· « εἰδὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν· εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν » (1 Κορ. 16, 12—19. 1 Θεσσαλ. 4, 13—18). Τὴν τούτων δείκνυσιν ἡμῖν καὶ ἐν τῇ φύσει σύμβολον ἀποδεικνύον τὸ δυνατὸν τῆς ἀναστάσεως καὶ κατακρίνον τὴν ἀλογίαν τῶν ἀμφιβαλλόντων. « Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον . . . ὁ δὲ Θεὸς δίδωσι σῶμα καθὼς ἠθέλησεν . . . οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν » .(1 Κορ. 15, 36—39. 42).

§ 365. *Τὸ καθολικόν.*

Ἡ ἀνάστασις τῶν νεκρῶν ἔσται καθολικὴ, καὶ ἀναστήσονται πάντες ἀγαθοί τε καὶ πονηροί. Διότι ὁ Ἰησοῦς Χριστὸς λέγει· « καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως » (Ἰωαν. 5, 29)· Ὁ δὲ Ἀπόστολος μαρτυρεῖ ὡσαύτως· « ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων »

(Πραξ. 24, 15). Ὅ,τι δ' ἀφορᾷ τοὺς περιλειπομένους τῷ βίῳ κατὰ τὴν ἡμέραν τῆς καθολικῆς ἀναστάσεως, οὗτοι οὐ κοιμηθήσονται μέν, ἀλλ' ἀλλαγήσονται (1 Κορ. 15, 51). ὅπερ ἐστὶ τὰ σώματα αὐτῶν λήψονται νέαν μορφὴν ὁμοίαν τῇ τῶν ἀναστάντων.

§. 366. *Αἱ ἰδιότητες τῶν ἀναστησομένων σωμάτων.*

Τὰ ἀναστησόμενα σώματα ἔσονται·

α) κατ' οὐσίαν καὶ ἐν τοῖς θεμελιώδεσι στοιχείοις τὰ αὐτὰ ἅπερ συνεβίωσαν ταῖς ψυχαῖς ἐντ αῦθα. οὐχὶ δ' ἕτερα καὶ ἀλλοῖα. Διότι ἄλλως οὐκ ἂν ἦν τοῦτο ἀνάστασις, ἀλλὰ δημιουργία νέα· σαφῶς δὲ λέγει ὁ Ἰησοῦς Χριστὸς ὅτι « οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ (Ἰωαν. 5, 28), καὶ ὁ Ἀπόστολος· « δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν » (1 Κορ. 15, 53)

β) Ἀλλ' ὅμως κατὰ τὰ ἰδιώματα καὶ τὴν κατάστασιν ἔσονται ὅλως διάφορα τῶν παρόντων. Καὶ δὴ οὐκ ἔσονται παχυλὰ καὶ βαρέα καὶ δυσειδῆ, οἷα νῦν (διότι κατὰ τὸν Ἀπόστολον σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται. 1 Κορ. 15, 50), ἀλλὰ λεπτὰ, ἐλαφρὰ καὶ φωτοειδῆ, καθ' ὁμοιότητα τοῦ ἀναστάντος σώματος τοῦ Ἰησοῦ Χριστοῦ· διότι φορέσομεν, κατὰ τὸν Ἀπόστολον, τὴν εἰκόνα τοῦ ἐπουρανίου ἀνθρώπου (1 Κορ. 15, 49), τουτέστι τοῦ Χριστοῦ Σωτῆρος· Ἐν ἑτέρῳ δὲ χωρίῳ λέγει. « ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ (Φιλιπ. 3, 21. Μερικώτερον δὲ τὰς ἰδιότητας τῶν ἀναστησομένων σωμάτων ὁρίζει ὁ Ἀπόστολος οὕτως· « σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικὸν, ὅπερ ἐξηγεῖ ἐν τοῖς ἑξῆς « σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ ἐγείρεται ἐν δόξῃ, σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο

ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν » (1 Κορ. 15, 42—44. 53), ὅπερ ἐστὶ ἔσονται τὰ σώματα ἡμῶν ἐπιτήδεια πρὸς τὴν τότε κατάστασιν τοῦ πνεύματος, ἄφθαρτα καὶ ἀθάνατα ἐσόμενα.

β) Κατὰ τὸ μέτρον τῆς ἠθικῆς καταστάσεως τῶν ἀνθρώπων τὰ ἀναστησόμενα σώματα ἔσονται διάφορα. Καὶ πρῶτον ὁ Ἀπόστολος ἀποδείκνυσι τοιαύτην διαφορὰν ἀπ' ἀλλήλων, οἵα ἐν τοῖς σώμασι τοῖς ἀνθρωπίνοις πρὸς τὰ τῶν κτηνῶν παραβαλλομένοις, καὶ μάλιστα οἵα ἡ διαφορὰ οὐρανοῦ καὶ γῆς, νοῶν κατὰ τὴν ἑρμηνείαν τοῦ ἁγίου Χρυσοστόμου (1) ὑπὸ μὲν τὰ πρῶτα τὰ τῶν δικαίων, ὑπὸ δὲ τὰ δεύτερα τὰ τῶν ἁμαρτωλῶν. «Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σὰρξ, ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων ». Περαιτέρω δὲ δείκνυσι τὴν διαφορὰν καὶ ἐντοῖς σώμασι τῶν δικαίων « ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ· οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν » (1 Κορ. 15,39—42).

§ 367. *Ὁ σκοπὸς τῆς ἀναστάσεως.*

Σκοπὸς τῆς καθολικῆς ἀναστάσεως οὗτος ἐστὶν, ὅπως τῆς μελλούσης αἰωνίου ζωῆς, εἰς ἣν προωρίσθη καὶ ἀπελυτρώθη ἡ ψυχὴ, τύχῃ καὶ τὸ σῶμα, ἀνανεωθὲν διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως. Διότι τὸ σῶμα οὐκ ἔστιν ὄργανον νεκρὸν τοῦ ἀνθρώπου, ἀλλ' οὐσιῶδες ἥμισυ μέρος, διὸ καὶ δίκαιον, ὅπως τύχῃ τῆς αὐτῆς μακαριότητος τῇ ψυχῇ, μεθ' ἧς ὡς πιστὸς καὶ θερμὸς συνεργάτης εἰργάσατο ἔργα ἀγαθά· δίκαιον πρὸς

(1) Ὁμιλ. 41 εἰς τὴν Α' πρὸς Κορ. Ἐπιστ.

τούτοις, ὅπως καὶ διὰ τὰ κακὰ ἔργα καταδικασθῇ μετὰ τῆς ψυχῆς εἰς αἰωνίους βασάνους, καὶ γένηται οὕτω πλήρης ἡ ἀμοιβὴ κατὰ τὰ ἔργα ἑκάστῳ. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος λέγει· « ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν » (2 Κορ. 5, 10).

2) Περὶ συντελείας τοῦ κόσμου.

§ 368. *Ἀπόδειξις τῆς ἀληθείας ταύτης.*

Ἅμα τῆς σάλπιγγος ἠχησάσης, καὶ τῶν νεκρῶν ἀναστάντων καὶ τῶν λοιπῶν ἀλλαγέντων, ἡ παροῦσα κατάστασις τοῦ Κόσμου παρελεύσεται καὶ ἐπιστήσεται *ἡ συντέλεια τοῦ αἰῶνος*. Τοῦτο δὲ βεβαιοῖ ἡ Γραφή Καὶ δὴ ὁ μὲν ψαλμῳδὸς λέγει ὅτι ὁ Οὐρανὸς καὶ ἡ γῆ ἀπολοῦνται, καὶ ὅτι πάντα ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἀλλάξει αὐτὰ καὶ ἀλλαγήσονται (ψαλ. 101, 26. 27). Ὁ δὲ Ἰησοῦς Χριστὸς προαναγγέλλει τὴν συντέλειαν τοῦ Κόσμου ἐν τῇ παραβολῇ περὶ τῶν ζιζανίων τοῦ ἀγροῦ (Ματθ. 13, 39. 40), καὶ ἐν τῇ ἀποκρίσει αὐτοῦ πρὸς τοὺς μαθητὰς περὶ τοῦ χρόνου καὶ τῶν σημείων τῆς συντελείας ταύτης (Ματθ. κφ. 24), ἔνθα λέγει ῥητῶς, ὅτι *ὁ Οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται* (στ. 35). Ὁ δὲ Ἀπόστολος Πέτρος περιγράφει καὶ αὐτὸν τὸν τρόπον τῆς συντελείας τοῦ Κόσμου (2 Πετρ. 3, 10), ὁ δὲ Ἰωάννης ὁ Θεολόγος εἶδεν οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ παρῆλθε » (Ἀποκ. 21, 1).

§. 369. *Ἡ περὶ ταύτης ἔρροια.*

Ἀλλ' ὅμως ἡ συντέλεια τοῦ κόσμου οὐκ ἔσται παντελής τις καταστροφὴ καὶ ἐκμηδένισις τῆς οὐσίας τοῦ Παντὸς, ἀλλ' ἀλλαγὴ καταστάσεως καὶ ἀνακαίνισις τῆς μορφῆς εἰς κρείττονα

καὶ τελειοτάτην. Τοῦτο δὲ καταφαίνεται ἐκ τῶν τοῦ Ἀποστόλου Πέτρου παραβάλλοντος τὴν συντέλειαν τοῦ κόσμου πρὸς τὸν κατακλυσμόν, δι' οὗ οὐκ ἐξηφανίσθη ὁ Κόσμος, ἀλλὰ μετεβλήθη μόνον, καὶ ἠλλοιώθη (2 Πέτρ. 3, 6. 7). Ἐπίσης καὶ ὁ ψαλμῳδὸς λέγει, ὁ οὐρανὸς καὶ ἡ γῆ *ἀλλαγήσονται* μόνον (ψαλ. 101, 27). Ἐν ταυτῃ δὲ βεβαίως τῇ σημασίᾳ τῆς ἀνακαινίσεως καὶ ἀλλοιώτεως, οὐχὶ δὲ δημιουργίας ἐξ ὑπαρχῆς καὶ ἐξ ἑτέρας οὐσίας καλοῦνται ἐν τῇ Γραφῇ ὁ οὐρανὸς καὶ ἡ γῆ *καινοί*. « ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ » (Ἡσ. 65, 17. 66, 22). « Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ (2 Πέτρ. 3, 13).

§ 370. *Ὄργανον πρὸς ἀνακαίνισιν τοῦ Κόσμου.*

Τὸ πρὸς τοῦτο ὄργανον ἔσται τὸ πῦρ, ὡς τὸ πρῶτον ἀνεκαινίσθη ἡ γῆ διὰ τοῦ ὕδατος, ὡς λέγει ὁ Ἀπόστολος Πέτρος. « ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο· οἱ δὲ νῦν οὐρανοί ... πυρὶ τηρούμενοι. Οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ ἡ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται » (2 Πέτρ. 3, 6. 7. 10).

§ 371. *Ὁ σκοπὸς τῆς ἀνακαινίσεως τοῦ Κόσμου.*

Ὁ σκοπός, πρὸς ὃν ἀνακαινίσει ὁ Θεὸς διὰ πυρὸς τὸν Κόσμον, ἐστὶν ἡ ἐντελὴς ἄρσις τῶν ὀλεθρίων ἐπακολουθημάτων τῶν ἐκ τῆς ἁμαρτίας τοῦ ἀνθρώπου, καὶ τῆς κατάρας τῆς διὰ τὴν παράβασιν τῆς πρώτης διαθήκης, καὶ ἀπελευθέρωσις τῆς κτίσεως ἀπὸ τῆς δουλείας, τῆς ματαιότητος καὶ φθορᾶς. Πρὸς τούτοις διὰ τούτου παρασκευασθήσεται ἐπιτήδειον ὅλως καὶ μακάριον καὶ αἰώνιον οἰκητήριον τοῖς μέλεσι τοῦ βασιλείου τῆς δόξης τοῦ Χριστοῦ, εἴτε τῆς θριαμβευούσης Ἐκκλησίας. Διότι ὁ Ἀπόστολος Παῦλος σαφῶς ἀποκαλύπτει, ὅτι ἡ ὑπ-

ταγεῖσα κτίσις τῇ δουλείᾳ, ματαιότητι καὶ φθορᾷ διὰ τὸν ἄνθρωπον, οὐ μόνον συστενάζει καὶ συνωδίνει ἡμῖν, ἀλλὰ καὶ ἀπεκδέχεται τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, καὶ ἐλπίζει ὅτι καὶ αὐτὴ ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ (Ῥωμ. 8, 19—22). καὶ ὁ Ἀπόστολος Πέτρος λέγει· « καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ » (2 Πέτρ. 3, 13).

§. 372. *Χρόνος καὶ γνωρίσματα.*

Ὁ χρόνος τῆς ἀνακαινίσεως τοῦ κόσμου ἐστὶ *μυστήριον* Θεοῦ, ὅπερ, κατὰ τὸν Σωτῆρα, « οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν Οὐρανῶν, εἰμὴ ὁ Πατὴρ μόνος » (Ματθ. 24, 36). διὰ τοῦτο καὶ οὐχ ἡμῶν ἐστι γνῶναι χρόνους καὶ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ (Πραξ, 1, 7). Ἐν ἄλλοις δὲχωρίοις τῆς Γραφῆς ἀποκαλύπτεται, ὅτι ἥξει ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ (2 Πετρ. 3, 10), καὶ ὅτι, « ὅταν λέγωσι εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος ἐφίσταται ὄλεθρος » (1 Θεσσαλ. 5, 1—3)· Διὰ τοῦτο ὁ Ἰησοῦς Χριστὸς παραινεῖ ἐν πολλαῖς παραβολαῖς γρηγορεῖν καὶ προσέχειν, ἵνα μὴ αἰφνίδιος ἐπιστῇ ἡ ἡμέρα ἐκείνη (Ματθ. 24, 37—51. 25, 1—13. Λουκ. 12, 35-40. 17, 24—30. 21, 34—36)· Ἀλλ' ὅμως ἀπεκαλύφθησαν ἡμῖν γνωρίσματά τινα τῆς ἐσχάτης ἡμέρας· εἰσὶ δὲ α) ἡ ἐμφάνισις τοῦ Ἀντιχρίστου καὶ ὁ πολεμος πρὸς τὴν βασιλείαν τοῦ Χριστοῦ τῆς βασιλείας αὐτοῦ, μετὰ τῶν περιστάσεων τῶν τε προηγουμένων καὶ τῶν παρεπομένων τῷ συμβάντι τούτῳ. β) μετὰ τοῦτο ἀναφανήσονται ἀήθη τινὰ σημεῖα ἐν τῷ φυσικῷ κόσμῳ, τοὺς δὲ ἀνθρώπους καταλήψεται ἀκυσιός τις φόβος, καὶ προσδοκία ἐκτάκτου τινὸς καὶ περὶ τῶν ὅλων μεταβολῆς· « φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται, λέγει ὁ Ἰησοῦς Χριστὸς,

καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ . . . . ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται » (Λουκ. 21, 11. 25. 26)· Ἀλλὰ ἀριδηλότατα σημεῖα τῆς συντελείας τοῦ κόσμου ἔσται καὶ ἀναντίῤῥητα τὰ κατ' αὐτὴν ἤδη τὴν συντέλειαν· « εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται » (Ματθ. 24, 29. Λουκ. 21, 25. 26).

3) Περὶ τῆς δευτέρας παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ καὶ περὶ τῆς φοβερᾶς κρίσεως.

§ 373. *Ἡ ἀλήθεια τῆς δευτέρας παρουσίας καὶ τῆς φοβερᾶς κρίσεως*

Ἐσχάτη ἐνέργεια τοῦ Χριστοῦ Σωτῆρος, δι' ἧς παύεται ἡ βασιλεία τῆς χάριτος καὶ ἄρχεται ἡ βασιλεία τῆς δόξης, ἔσται ἡ δευτέρα καὶ ἔνδοξος ἔλευσις Αὐτοῦ καὶ ἡ ἐσχάτη καθολικὴ καὶ φοβερὰ κρίσις. Ἡ ἀλήθεια δ' αὕτη σαφῶς πάνυ ἀποκαλύπτεται ἐν τῇ ἁγίᾳ Γραφῇ.

α) Ἐν τῇ Π. Δ. ὡμολόγει ταύτην, κατὰ τὸν Ἀπόστολον Ἰούδαν, πρὸ τοῦ Κατακλυσμοῦ ἤδη ὁ Ἐνὼχ· « προεφήτευσε δὲ καὶ τούτοις, ἕβδομος ἀπὸ Ἀδάμ, Ἐνὼχ, λέγων· Ἰδοὺ ἦλθε Κύριος ἐν μυριάσιν ἁγίαις αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς (Ἰουδ. 14. 15.) Ὁ δὲ ψαλμῳδὸς λέγει· « Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ὑμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Προσκαλέσεται τὸν

οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ » (Ψαλ. 49, 3.4. 9, 8. 9). Ὁ δὲ Ἡσαΐας ἐκήρυττεν ἐκ μέρους τοῦ Θεοῦ· « Κἀγὼ τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν οἶδα, ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου (Ἡσ. 66, 18).

6) Ἐν δὲ τῇ Κ. Δ. ἡ δευτέρα παρουσία καὶ ἡ φοβερὰ κρίσις πολλαχοῦ προαναγγέλλονται. Καὶ δὴ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς λέγει περὶ τούτου· « μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ » (Ματθ. 16, 27)· ἰδίως δὲ διδάσκει περὶ τοῦ τρόπου καὶ τῶν ἐπακολουθημάτων τῆς μελλούσης κρίσεως ἐν τῇ ὁμιλίᾳ αὐτοῦ πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν (Ματθ. 25, 31-42). Κατὰ δὲ τὴν εἰς οὐρανὸν ἀνάληψιν τοῦ Ἰησοῦ Χριστοῦ οἱ ἐπιφανέντες ἄγγελοι τοῖς Ἀποστόλοις ἀνήγγειλαν. Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε)· αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν » (Πραξ. 1, 11. Ὁ δὲ Ἀπόστολος Παῦλος διδάσκει, ὅτι ὁ Θεὸς ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ (Πραξ. 17, 31), καὶ ὅτι « τοὺς πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν » (2 Κορ. 5, 10). Τῷ δὲ Ἰωάννῃ τῷ Θεολόγῳ ἀπεκαλύφθη καὶ αὐτὸς ὁ τρόπος τῆς μελλούσης κρίσεως (Ἀποκ. 20, 11-13). Πλὴν τούτου οἱ Ἀπόστολοι ἐν πολλοῖς ἄλλοις χωρίοις τῶν ἐπιστολῶν πολλάκις μνημονεύουσι τῆς δευτέρας παρουσίας καὶ τῆς φοβερᾶς κρίσεως, ὅπως ἐγείρωσι τὴν προσοχὴν καὶ ἐγρήγορσιν τῶν πιστῶν, παραμυθῶσι δὲ τοὺς ἐν θλίψεσι καὶ δεινοῖς (1 Ἰωαν. 2, 28. 2 Πέτρ. 3, 14. Τιτ. 2, 12. 13. 1 Πέτρ. 4, 13. Ῥωμ. 2, 3-9).

§ 374. *Ἰδιότητες.*

Ἡ παρουσία τοῦ Χριστοῦ ἡ καλουμένη δευτέρα εἰς διά-

κρισιν τῆς πρώτης, ἥτις ἤδη ἐγένετο, σαρκωθέντος Ἰησοῦ Χριστοῦ, ἔσται οὐχὶ ὡς ἡ πρώτη ταπεινὴ (καίτοι ἐν τῇ αὐτῇ σαρκὶ ἐν ᾗ ἔπαθε καὶ ἀνέστη καὶ ἀνελήφθη), ἀλλ' ἔνδοξος. « τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς » (Ματθ. 24, 30). Ἡ μέλλουσα δὲ κρίσις ἔσται α) καθολικὴ, περιλαμβάνουσα πάντας τοὺς ἀνθρώπους καὶ ἐνώπιον παντὸς τοῦ Κόσμου. « προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ (Ψαλ. 49, 4). β) Φοβερά· διότι, εἰ καὶ νῦν ἔτι κρίνει ἡμᾶς ὁ Θεὸς, ἀλλ' ἡ κρίσις αὕτη ἐπιεικὴς, τότε δὲ μόνη ἡ δικαιοσύνη τοῦ Θεοῦ δικάσει ἡμᾶς ἐν πάσῃ αὐστηρότητι, καὶ διὰ τοῦτο, κατὰ τὸν Ἀπόστολον, ἐν τῇ κρίσει ταύτῃ. « εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ὁ ἁμαρτωλὸς ποῦ φανεῖται » (1 Πέτρ. 4, 18); γ) Ἐσχάτη καὶ ἀναλλοίωτος εἰς αἰῶνα τὸν ἅπαντα.

§ 375. *Σκοπός.*

Σκοπὸς τῆς δευτέρας παρουσίας καὶ τῆς φοβερᾶς κρίσεώς ἐστιν. α) ἡ πάνδημος ἀποκάλυψις τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῆς δόξης αὐτοῦ ἐνώπιον παντὸς τοῦ Κόσμου. Διότι μέχρι τοῦδε πολλὰ ἔθνη οὐκ ἔγνωσαν οὐδὲ γινώσκουσιν αὐτὸν ὡς Θεὸν καὶ Σωτῆρα τοῦ ἀνθρωπίνου γένους. καίτοι δὲ τὸ Εὐαγγέλιον ἐκηρύχθη ἀπανταχοῦ, πολλοὶ ὅμως οἱ μὴ πιστεύοντές εἰσιν. Ἡ δὲ δευτέρα παρουσία ἐλέγξει τοὺς ἐν πλάνῃ καὶ ἔσται τοσοῦτον καταφανὴς μαρτυρία τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ, ὥστε πάντες ὁμολογήσουσιν ἀκουσίως, καὶ τότε « ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός » (Φιλιπ. 2, 10. 11). β) Ἡ πάνδημος ἀποκάλυψις τῆς δικαι-

σύνης τοῦ Θεοῦ. Διότι νῦν μὲν σῖτος καὶ ζιζάνια φύονται ὁμοῦ, καὶ ἡ μὲν ἀρετὴ καταδιώκεται ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἀφανὴς καὶ οὐδεμία πρέπουσα ἀμοιβὴ αὐτῇ, ἡ δὲ κακία θριαμβεύει καὶ εὐημερεῖ. Καὶ ἐξελέγξει μὲν ἡμερικὴ κρίσις ἀμφότερα, ἀλλ' ἀποκαλύπτεται ἡ δικαιοσύνη τοῦ Θεοῦ μόνον ἰδίᾳ ἑκάστῳ τῶν ἀνθρώπων. Ἐν δὲ τῇ καθολικῇ κρίσει ἀποκαλυφθήσεται ἡ δικαιοσύνη ἐνώπιον παντὸς τοῦ Κόσμου. Διὰ τοῦτο ὁ Ἀπόστολος ἀποκαλεῖ τὴν ἡμέραν ταύτην ἡμέραν ὀργῆς καὶ δικαιοκρισίας τοῦ Θεοῦ (Ῥωμ. 2, 5).

§ 376. *Ἀντικείμενον.*

Ἐν τῇ ἐσχάτῃ κρίσει κριθήσονται· α) πάντες, εὐσεβεῖς τε καὶ ἀσεβεῖς, ἀγαθοί τε καὶ κακοί· « τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν » (2 Κορ. 5, 10). β) Τὰ πονηρὰ πνεύματα· » ἀγγέλλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν » (Ἰουδ. στ. 6). Ἀντικείμενον δὲ τῆς κρίσεως ἔσται ἅπας ὁ βίος τοῦ ἀνθρώπου, αἱ πράξεις καὶ διαλογισμοὶ καὶ τὰ ἀπόκρυφα αὐτὰ διανοήματα καὶ ἐπιθυμίαι· διότι ἡ Γραφὴ ἀποκαλύπτει, ὅτι οὐ μόνον ὁ Θεὸς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ (Ῥωμ. 2, 6), ἀλλὰ καὶ ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως » (Ματθ. 12, 36), καὶ ὅτι ὁ Κύριος « φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ » (1 Κορ. 4, 5).

§ 377. *Ὁ τρόπος τῆς φοβερᾶς κρίσεως.*

Τὸν τρόπον ἐκτίθησιν αὐτὸς ὁ Ἰησοῦς Χριστὸς οὕτως. α)

μετὰ τὴν ἐν τῇ δόξῃ αὐτοῦ παρουσίαν μετὰ πάντων τῶν ἀγγέλων συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη πάντων τῶν χρόνων, καὶ τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ (Ματθ. 25, 31). β) Ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, καὶ στήσει τοὺς μὲν ἀγαθοὺς ἐκ δεξιῶν, τοὺς δὲ κακοὺς ἐξ εὐωνύμων (στ. 32. 3). γ) Μετὰ τοῦτο ἕπεται ἡ ἐξέλεγξις· « τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἑτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με. ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με... Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνὸς καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με » (στ 34-43).

§ 378. *Ἀποτέλεσμα.*

Ἀποτέλεσμα τῆς καθολικῆς κρίσεως ἔσται τέλειος καὶ διὰ παντὸς χωρισμὸς τῶν δικαίων ἀπὸ τῶν ἀσεβῶν, ὡς φωτὸς ἀπὸ σκότους, καὶ οἱ μὲν ἀσεβεῖς κατακριθήσονται εἰς αἰωνίους βασάνους, οἱ δὲ δίκαιοι εἰσελεύσονται εἰς ζωὴν αἰώνιον, καὶ συναπαρτίσουσι τὴν μακαρίαν βασιλείαν τῆς δόξης, εἴτε τὴν θριαμβεύουσαν Ἐκκλησίαν· « καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον » (Ματθ, 25, 46), οὕτω δὲ καὶ τελευτᾷ τὸν λόγον ὁ Ἰησοῦς Χριστὸς τὸν περὶ τῆς μελλούσης κρίσεως.

4) Περὶ τῶν αἰωνίων βασάνων τῶν ἁμαρτωλῶν.

379. *Ἡ περὶ τῶν ἐν Ἅιδου βασάνων ἔννοια*

Τὸ σύνολον τῶν αἰωνίων βασάνων, εἰς ἃς κατακριθήσονται οἱ ἀσεβεῖς ἔχει διαφόρους ὀνομασίας ἐν τῇ Γραφῇ· Καλεῖται δέ· α) δεύτερος θάνατος, ὅπερ ἐστὶ πνευματικὸς, συνιστάμενος οὐχὶ ἐν τῇ σωματικῇ ἀναλύσει, ἀλλ' ἐν τῇ ἀπωλείᾳ τῆς ψυχῆς τῆς ἀληθοῦς αὐτῆς ζωῆς (Ἀποκ. 2, 11. 20, 6. 14). Ἅιδης, ἤτοι κατὰ τὸν Ἰὼβ, γῆ σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος (10, 21) ἀλλαχοῦ δὲ καὶ ἐν ἄλλαις λέξεσι σκότος ἐξώτερον (Ματθ. 22, 13. 25, 30)· γ) Γέεννα τοῦ πυρὸς, ἔνθα οὐδεμία ἀνάψυξις καὶ ἀνάπαυσις (Ματθ. 5, 22. 29. 30)· ἐν ἄλλῳ δὲ χωρίῳ λίμνη πυρὸς, καὶ θείου (Ἀποκ. 20, 14. 21, 8)· δ) Κατώτατος λάκος, ἤτοι ὅ,τι μάλιστα μακρὰν τῶν ἄνω σκηνωμάτων τοῦ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ. Ποῦ δὲ ὁ χῶρος οὗτος ἔσται, ἡ Ἁγία Γραφὴ οὐδὲν ἡμῖν ἀπεκάλυψεν, διὸ καὶ ἡμεῖς ὀφείλομεν παντὶ σθένει φεύγειν τὰς ἐν ᾅδου βασάνους μᾶλλον, ἢ ἐρευνᾶν ποῦ αὐτός.

§ 380. *Τὰ εἴδη τῶν ἐν Ἅιδου βασάνων.*

Αἱ βάσανοι τῶν ἁμαρτωλῶν μέλλουσι συνίστασθαι·

α) ἐν τῇ στερήσει πάντων τῶν ἀγαθῶν καὶ πάσης εὐφροσύνης καὶ παραμυθίας. Ἀποκαλύπτει δὲ ἡ Γραφὴ, ὅτι στερηθήσονται τῆς κοινωνίας τοῦ Θεοῦ καὶ μακρὰν ἔσονται τῆς πηγῆς ταύτης πάντων τῶν ἀγαθῶν. Διότι ὁ Ἰησοῦς Χριστὸς ἐρεῖ αὐτοῖς· « πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρῆτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν » (Ματθ. 25, 41. 7, 23) Ἐν ἑτέρῳ δὲ χωρίῳ λέγεται, ὅτι βληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον (Ματθ. 22, 13), καὶ « ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν» (Ἰωαν· 3, 36). Ἐν τῇ ἀπομακρύνσει δὲ ἀπὸ τοῦ Θεοῦ οἱ ἁμαρτωλοὶ βεβαίως στερηθήσονται τῶν τε ἐσωτερικῶν ἀγαθῶν, ἅτινα τροφὴ πρὸς κόρεσιν τοῦ ἀθανάτου πνεύματος, ἤτοι τοῦ φωτὸς τῷ νοΐ, τοῦ ἀγαθοῦ τῇ θελήσει,

τῆς καλονῆς καὶ ἡσυχίας τῇ καρδίᾳ· καὶ τῶν ἐξωτερικῶν ἅμα τῶν τῇ εὐεξίᾳ τοῦ σώματος ἐπιτηδείων. Ἀναγκαῖον δ' ἐπακολούθημα τούτων ἔσονται·

β) αἱ ἐσωτερικαὶ βάσανοι. Εἰσὶ δὲ ἐπ' ἄκρον ἐπώδυνον αἴσθημα ἐκ τοῦ ἐν καρδίᾳ κενοῦ καὶ τῆς ἀθυμίας καὶ ἐκ τῆς ἀπελπισίας πρὸς ἀπόσβεσιν τῆς δίψης· πικρὰ ἀνάμνησις τοῦ προτέρου βίου, καὶ τῶν ἁμαρτιῶν, αἵτινες παραστήσουσι τότε τῇ συνειδήσει γυμνὴν τὴν ἀποτρόπαιον αὐτῶν εἰκόνα· φρικώδης ἔλεγχος τῆς συνειδήσεως, καὶ θλιβερωτάτη, ἀλλ' ἀνωφελὴς μεταμέλεια διὰ τὸν ἀπολεσθέντα χρόνον καὶ μέσα πρὸς ἐπίτευξιν τῆς αἰωνίου μακαριότητος, καὶ τέλος τὸ καταθλίβον αἴσθημα τῆς ὀργῆς τοῦ Θεοῦ. Ταῦτα δὲ βεβαίως εἰσὶν ὁ ἀκοίμητος ἐκεῖνος σκώληξ, ὅστις καταβιβρώσκει τὰς καρδίας τῶν ἁμαρτωλῶν (Μαρκ. 9, 44. 46)· εἰσὶν ἡ θλῖψις ἐκείνη καὶ στενοχωρία, αἵτινες ἀναμένουσι τοὺς κατεργαζομένους τὸ κακὸν (Ῥωμ. 2, 9), καὶ ἔσονται παραίτια τοῦ πικροῦ ἐκείνου κλαυθμοῦ καὶ βρυγμοῦ τῶν ὀδόντων, περὶ ὧν πολλαχοῦ ἐν τοῖς Εὐαγγελίοις ὁλόγος (Ματθ. 22, 13). Πρὸς ταῖς βασάνοις ταύταις εἰσὶ καὶ ἕτεραι

γ) ἐξωτερικαὶ, ἔνθεν μὲν ἐκ τῆς διαμονῆς τῶν ἁμαρτωλῶν προερχόμεναι, ἥτις ἔσται χῶρος σκοτεινὸς δυσώδης καὶ στενός· ἔνθεν δὲ ἐκ τῆς μετὰ ὁμοιοπαθῶν καὶ ἐλεεινῶν κοινωνίας, μακρὰν πάνυ τῶν ἁγίων τοῦ Θεοῦ, καὶ τὸ χείριστον μετὰ τῶν πονηρῶν πνευμάτων· οὐδὲν δ' ἕτερον ἀκούσει ὁ ἁμαρτωλὸς ἢ οἰμωγὰς ἀπεγνωκότων, βλασφημίας, ὕβρεις, κλαυθμοὺς καὶ βρυγμοὺς τῶν ὀδόντων. Τέλος καὶ πάντων μάλιστα ἐξ ὁλικῆς συναισθήσεως τῆς φρικώδους καὶ ὑπὲρ πάντα ὅρον ὀδυνηρᾶς λύπης ἐκ τοῦ ἐν ᾅδου ἀσβέστου πυρός

§ 381· *Τὸ ἐν ᾅδου πῦρ.*

Περὶ τοῦ πυρὸς, ὡς κυριωτάτου ὀργάνου πρὸς τὰς μελλού-

σας βασάνους τῶν ἁμαρτωλῶν πολὺς καὶ μετὰ πολλῆς δυνάμεως ἐν τῇ Γραφῇ ὁ λόγος· Καὶ ἐν μὲν τῇ Π.Δ. ὁ ψαλμῳδὸς λέγει « θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου· Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ » (Ψαλ. 20, 10). Ὁ δὲ Ἡσαΐας λέγει, ὅτι τὸ πῦρ τῶν ἁμαρτωλῶν οὐ σβεσθήσεται (66, 24). Ἐν δὲ τῇ Κ. Δ. ἔντε τῇ ἐν ὄρει ὁμιλίᾳ καὶ πολλαχοῦ πολλάκις ἀποκαλεῖ τὸν τόπον τῶν βασάνων γέενναν πυρὸς (Ματθ. 5, 22. 29. 30. 18, 8)· ἐξηγῶν δὲ τὴν παραβολὴν περὶ τῶν ζιζανίων τοῦ ἀγροῦ, λέγει ὅτι κατὰ τὴν συντέλειαν τοῦ κόσμου βαλοῦσι τοὺς ποιοῦντας τὴν ἀνομίαν εἰς τὴν κάμινον τοῦ πυρὸς (Ματθ. 13, 42). Ἐν δὲ τῇ ὁμιλίᾳ περὶ τῆς ἐσχάτης κρίσεως ἀποκαλύπτει ὅτι ἐρεῖ τοῖς ἀσεβέσι· « πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ (Ματθ. 25, 41). ἐν δὲ τῇ παραβολῇ περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου λέγει, ὅσι ὁ πλούσιος ὠδυνᾶτο ἐν τῇ φλογὶ (Λουκ· 16, 24). Ὁ δὲ Ἀπόστολος βεβαιοῖ ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πυρὶ φλογὸς δώσει ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελλίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (2 Θεσσαλ. 1, 8)· καὶ ἀλλαχοῦ λέγει· « φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους » (Ἑβρ. 10, 27). Ἐν δὲ τῇ Ἀποκαλύψει λέγεται· « εἴτις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη τὶς τὴν λίμνην τοῦ πυρὸς (20, 15). Ἐκ τοῦ πλήθους τῶν μαρτυριῶν τούτων τῆς Γραφῆς κατάδηλον ἤδη, καὶ οὐδεμία ὑπολείπεται ἀμφιβολία, ὅτι τὸ πῦρ τῆς γεέννης νοητέον οὐχὶ μεταφορικῶς, ἀλλὰ κυριολεκτικῶς.

§ 382. *Τὸ μέγεθος τῶν ἐν ᾅδου βασάνων καὶ τὸ ἄπειρον.*

Ὁποῖον τὸ μέγεθος καὶ πηλίκον τῶν βασάνων τοῦ ᾅδου κατ' οὐδένα τρόπον νῦν δυνάμεθα ἔννοιάν τινα ἔχειν, μηδενὸς ὄντος τοιούτου ἐπὶ γῆς γῆς πρὸς ὃ ἄν τις εἶχε παραβαλεῖν Μόνον δὲ δυνάμεθα ἔννοιαν τινα ἔχειν τοῦ μεγέθους ἐκ τῶν τῆς Γραφῆς « ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐχ εὑρήσουσιν αὐτὸν καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται ὁ θάνατος ἀπ' αὐτῶν »(Ἀπόκ. 9, 6), καὶ ὅτι ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων (Ματθ. 13, 42). Ἐν τούτοις ἡ ἰδέα περὶ τῆς τελειοτάτης δικαιοσύνης τοῦ Θεοῦ ἀπαιτεῖ, ὅπως αἱ βάσανοι ὦσι κατὰ μέτρον καὶ βαθμὸν τῶν ἁμαρτιῶν, ἄρα καὶ ἄπειροι. Τοῦτο δὲ βεβαιοῖ ἡ ἁγία Γραφή· Καὶ δὴ ὁ Ἰησοῦς Χριστὸς λέγει ὅτι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσθαι ἢ Χοραζὶν καὶ Βηθσαϊδὰ (Ματθ· 11, 21. 22), καὶ γῇ Σοδόμων καὶ Γομόρρων, ἢ τοῖς μὴ δεχομένοις τοὺς Ἀποστόλους (Ματθ· 10, 15). Καὶ ἀλλαχοῦ λέγει « ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλὰς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας» (Λουκ. 12, 47. 48).

§ 383. *Ὅτι αἰώνιοι αἱ βάσανοι.*

Αἱ βάσανοι τῶν ἁμαρτωλῶν τῶν κατακριθέντων ἐν τῇ φοβερᾷ κρίσει οὐδέποτε παύσονται, ἀλλ' ἔσονται αἰώνιοι. Ἡ φοβερὰ δ' αὕτη ἀλήθεια

α) ἀποκαλύπτεται σαφῶς καὶ μετὰ πολλῆς δυνάμεως ἐν τῇ Γραφῇ. Ὁ Ἰησοῦς Χριστὸς πανταχοῦ, ὅπου ὁ λόγος περὶ τοῦ ἐν ᾅδῃ πυρὸς, ἀποκαλεῖ αὐτὸ αἰώνιον «πορεύεσθε ἀπ'

ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ αἰώνιον Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον (Ματθ. 25, 41. 18, 8). Ὁ Ἀπόστολος μαρτυρεῖ, ὅτι οἱ ἀσεβεῖς δίκην τίσουσιν αἰώνιον ὄλεθρον ἀπὸ προσώπου τοῦ Κυρίου (2 Θεσσαλ. 1, 9. Ἰούδ. 6. 7). Ἐν δὲ τῇ Ἀποκαλύψει λέγεται, ὅτι ὁ διάβολος, τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης καὶ οἱ ἀκόλουθοι αὐτῶν βασανισθήσονται εἰς αἰῶνας αἰώνων καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν ἀναβαίνει εἰς αἰῶνας αἰώνων, καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς (Ἀποκαλ. 14, 11. 20, 10). Ὅτι δὲ ἡ λέξις αἰώνιος οὐ σημαίνει ἀόριστον χρόνον, δῆλον τοῦτο ἐκ τῆς αἰωνίου μακαριότητος τῶν δικαίων, πρὸς ἣν ἀντιπαρατίθεται ἡ αἰώνιος κόλασις τῶν ἁμαρτωλῶν «καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον» (Ματθ. 25, 46)· ἄρα τοιαύτη ἔσται καὶ ἡ κόλασις τῶν ἁμαρτωλῶν, οἵα καὶ ἡ μακαριότης τῶν δικαίων. Πλὴν τούτου ἡ ἔκφρασις αἰώνιος ἀντικαθίσταται ἀλλαχοῦ δι' ἄλλης σαφοῦς λέξεως, ἀποκαλουμένου τοῦ ἐν ᾅδῃ πυρὸς, ἀσβέστου (Ματθ. 3, 12. Μαρκ. 9, 43. 45), καὶ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ, ὡς καὶ ἐν Εὐαγγελίοις λέγεται, ὅτι ὁ σκώληξ οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται (Ἡσ. 66, 24. Μαρκ. 9, 44. 46. 48).

β) Στηρίζεται ἐπὶ τῆς καθολικῆς διδασκαλίας τῆς Ἐκκλησίας καθ' ἅπαντας τοὺς χρόνους, καὶ ἐπὶ τῆς φωνῆς τῆς πέμπτης οἰκουμενικῆς Συνόδου, ἥτις κατέκρινεν ὡς ἀντιβαίνουσαν τῷ δόγματι τούτῳ τὴν γνώμην τοῦ Ὠριγένους, ἀναθεματίσασα τὰ συγγράμματα αὐτοῦ καὶ τοὺς ἀρνουμένους τὸ δόγμα τοῦτο.

γ) Πλὴν τούτων τὸ δόγμα περὶ τῶν βασάνων στενώτατα συνδέεται πάσι τοῖς λοιποῖς δόγμασι καὶ τῇ χριστιανικῇ ἠθικῇ, διὸ καὶ ὑποσκάπτονται ταῦτα, αἱρομένου ἐκείνου. Πρὸς τούτοις τὰς αἰωνίους βασάνους ἀπαιτεῖ καὶ ἡ ἄπειρος δικαιοσύνη τοῦ Θεοῦ, καὶ συνῳδοὶ τῇ ὑψίστῃ ἁγιότητι καὶ σοφίᾳ τοῦ Θεοῦ, οὐδόλως δ' ἀντιφάσκουσι τῇ ἀγαθότητι τοῦ

Θεοῦ· τοὐναντίον δὲ ἡ ἀμφιβολία περὶ τῆς ἀληθείας ταύτης ἐστὶ συκοφαντία κατὰ τοῦ Θεοῦ καὶ ἐπαγωγὸς ἔμπνευσις τοῦ Σατανᾶ, ὁμοία τῇ πρώτῃ, δι' ἧς ἐξηπατήθη ὁ πρῶτος ἄνθρωπος. Τελος ἁρμόδιαι αἱ αἰώνιοι βάσανοι τῇ καταστάσει τῆς ψυχῆς, ἥτις ἅπαξ τραπεῖσα τὴν ἐναντίαν ὁδὸν καὶ ἐνταῦθα ἤδη ὅπου εὐχερεστέρα ἡ διόρθωσις δυσκόλως μεταβάλλεται ἥκιστα δ' ἐκεῖ, ὡς τοῦτο ἡ πεῖρα τῶν πονηρῶν πνευμάτων διὰ μυριάδων ἐτῶν λαμπρῶς ἀποδείκνυσιν. Ἆρα οἱ ἁμαρτωλοὶ διὰ τὴν ἀναλλοίωτον αὐτῶν ὅλως κατάστασιν, καὶ τὴν αἰωνίαν καὶ ἀμετάτρεπτον ἐπιμονὴν ἐν τῷ κακῷ ἄξιοι καὶ αἰωνίων βασάνων ἐν ᾅδου ἔσονται.

5) Περὶ τῆς αἰωνίου ζωῆς τῶν δικαίων ἐν τῇ μακαρίᾳ βασιλείᾳ τῆς δόξης εἴτε ἐν τῇ θριαμβευούσῃ Ἐκκλησίᾳ

§ 384. *Ὀνομασίαι τῆς μακαρίας βασιλείας τῆς δόξης ἐν τῇ ἁγίᾳ Γραφῇ.*

Διὰ λαμπρῶν καὶ περικαλῶν χαρακτήρων εἰκονίζει ἡ Γραφὴ τὴν μέλλουσαν βασιλείαν τῆς δόξης, εἴτε τὴν θριαμβεύουσαν Ἐκκλησίαν, καὶ τὴν μακαριότητα ἐν αὐτῇ τῶν δικαίων. Διότι ἔνθεν μὲν ἐξαιρεῖ ἐκεῖθεν πᾶν ὅ,τι ἀτελὲς καὶ ἀπαρέσκον ἡμῖν ἐπὶ τῆς γῆς, ἐν ᾗ πάροικοι καὶ φυγάδες ἐσμὲν, ἔνθεν δὲ θησαυρίζει ἡμῖν ἐκεῖ πᾶν ὅ,τι τέλειον, καλὸν καὶ εὐπρόσδεκτον. Ὀνομάζει δὲ τὸν μὲν χῶρον *οὐρανὸν* (Ματθ. 4, 11), *βασιλείαν τῶν οὐρανῶν* (Ματθ. 5, 3), *παράδεισον* (Λουκ. 23, 43), *οἰκίαν τοῦ οὐρανίου Πατρὸς* (Ἰωαν. 14, 2). Τὴν δὲ κατάστασιν τῶν δικαίων *ζωὴν αἰώνιον* (Ἰωαν. 3, 15), *κατάπαυσιν καὶ σαββατισμὸν* (Ἑβρ. 4, 7. 10), *κληρονομίαν*

ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον (1 Πετρ. 1, 4), χαρὰν ἀναφαίρετον καὶ πλήρη (Ἰωάν. 16, 22. 24), καὶ λοιπά.

§ 385. *Τὰ εἴδη τῆς μακαριότητος τῶν δικαίων*

Τὴν πηγὴν τῆς μακαριότητος ἐν τῇ βασιλείᾳ τῆς δόξης ἔξουσιν οἱ δίκαιοι α) ἐντὸς ἑαυτῶν, ἐν τῇ ἐξόχῳ αὐτῶν φύσει τῇ τε σωματικῇ καὶ πνευματικῇ· β) ἐκτὸς ἑαυτῶν, ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ.

§ 386. *Ἡ ἐσωτερικὴ κατάστασις τῶν δικαίων.*

Κατὰ τὴν ἐσωτερικὴν κατάστασιν ὁ βίος τῶν δικαίων ἔσται ἐν τῇ βασιλείᾳ τῆς δόξης μακαριώτατος. Διότι

α) τὸ σῶμα, ὅπερ νῦν πηγὴ ἀπείρων θλίψεων καὶ νόσων, τότε, ἀποβαλὸν τὴν νῦν παχυλότητα καὶ καχεξίαν, ἀπαλλαγήσεται πασῶν τῶν ἐλλείψεων καὶ ἀναγκῶν, οὐδ' ἕξει χρείαν τῶν καταθλιβουσῶν μεριμνῶν καὶ βαρέων πόνων, πρὸς συντήρησιν, τροφὴν καὶ περιβολήν « οὐ πεινάσουσιν ἔτι, οὐδὲ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα. Καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν» (Ἀποκ. 7, 16. 17). Ἀπαλλαγὲν δὲ τὸ σῶμα τῆς ἐπηρείας τῶν στοιχείων ἔσται ἄφθαρτον « ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμὸς » (Ἡσ. 35, 10) « δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν» (1 Κορ. 15, 53) καὶ μάλιστα ἔσται ὅλως ἐλεύθερον τοῦ φόβου τοῦ θανάτου, καὶ ἀθάνατον· « ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος »(1 Κορ. 15, 26)· «καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ ἔσται ὅτι τὰ πρῶτα ἀπῆλθον (1 Κορ. 15, 53). Κατὰ τὴν ἐξωτερικὴν αὐτῶν μορφὴν τὰ σώματα τῶν δικαίων ἐπ' ἄκρον περικαλῆ ἔσται. Διότι ὁ Ἀπόστολος λέγει, ὅτι ὁ Κύριος

ἡμῶν Ἰησοῦς Χριστὸς μετασχηματίσει τὰ σώματα αὐτῶν, εἰς τὸ γενέσθαι σύμμορφα τῷ σώματι τῆς δόξης αὐτοῦ (Φιλιπ. 3, 21). καὶ αὐτὸς δὲ ὁ Ἰησοῦς Χριστὸς ἀποκαλύπτει ὅτι οἱ δίκαιοι ἐκλάμψουσιν, ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν (Ματθ. 13, 43). Τῇ ψυχῇ ἔσται τὸ σῶμα οὐχὶ ὡς νῦν τοῦτο σκοτεινὸν καὶ στενὸν σκήνωμα, κωλύον τὰς ἐνεργείας αὐτῆς, ἀλλὰ φωτεινὸς καθαρὸς καὶ περικαλὴς ναὸς ἔνθα τὸ πνεῦμα εὐχερῶς καὶ ἐλευθέρως ἐνεργήσει, τελῶν ἀ-ἀκωλύτως τὰς ὁρμὰς τῆς θεοειδοῦς αὐτοῦ φύσεως. Διότι κατὰ τὸν Ἀπόστολον, καὶ αὐτὸ τὸ σῶμα ἔσται πνευματικὸν (1 Κορ. 15, 43), καὶ τὸ ἐν αὐτῷ κέντρον τῆς ἁμαρτίας ἐξαφανισθήσεται, καὶ ὁ ἐν τοῖς μέλεσι νόμος ὁ ἀντιστρατευόμενος νῦν τῷ νόμῳ τοῦ νοὸς (Ῥωμ. 7, 23) καταργηθήσεται.

6) Ἐν τῇ ψυχῇ τῶν δικαίων ἀνορθωθήσεται ἐντελῶς ἡ εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ. Λέγει δὲ ὁ Ἀπόστολος Ἰωάννης ὅτι ὅμοιοι Ἰησοῦ Χριστῷ ἔσονται οἱ δίκαιοι (1 Ἰωαν. 3, 1), ὁ δὲ Ἀπόστολος Παῦλος βεβαιοῖ, ὅτι καταντήσουσιν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ (Ἐφ. 4, 13. 14). Οὕτω δὲ ὁ μὲν νοῦς αὐτῶν καθαρὸς ἔσται ἀπὸ σκότους καὶ ἀγνοίας, καὶ γνώσονται τὸν Θεὸν Πατέρα, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ ἅγιον Πνεῦμα, καὶ τὰ δημιουργήματα τοῦ Θεοῦ κατὰ τελειότατον, ἀρκοῦντα τοῖς πεπερασμένοις, τρόπον. Καλῶς δὲ πάνυ ὁ Ἀπόστολος, ἐξηγῶν τὰς ἰδιότητας τῆς μελλούσης γνώσεως καὶ παραβάλλων πρὸς τὴν παροῦσαν, ἀποκαλεῖ ταύτην γνῶσιν νηπίων, καὶ λέγει ὅτι τὸ νῦν ἐκ μέρους καταργηθήσεται τότε, καὶ ἐλεύσεται τὸ τέλειον· ἡμεῖς νῦν βλέπομεν δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον, τουτέστι σαφῶς καὶ ἀκριβῶς· νῦν ἡμεῖς πιστεύομεν διὰ πίστεως οὐ διὰ εἴδους, τότε δὲ καταργηθήσεται ἡ πίστις καὶ ἔσται ἄμεσος θεωρία τῶν ὄντων (1 Κορ. 13, 9—12 2 Κορ. 5, 7). Ἡ δὲ θέλησις τῶν δικαίων ἔσται ἐλευθέρα παντὸς μολυσμοῦ τῆς ἁμαρτίας· διότι οὐ-

δεμία ἐκεῖ ἁμαρτία (1 Κορ. 15, 56. 57), οὐδὲν βδέλυγμα εἰσελεύσεται (Ἀποκ. 21, 27), καὶ ὁ Κύριος παραστήσει αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤτι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος (Ἐφ. 5, 27) Οἱ δίκαιοι οἱ διψῶντες τὴν δικαιοσύνην χορτασθήσονται (Ματθ. 5, 6), καὶ ἡ ἀγάπη, ἥτις *οὐδέποτε ἐκπίπτει* (1 Κορ. 13, 8) αὐξηνθήσεται τότε καὶ κατευθυνεῖ τότε διὰ παντὸς τὴν θέλησιν πρὸς μόνον τὸ ἀγαθὸν, μηδενὸς πλέον κινδύνου ὑπάρχοντος. Ἀρίδηλον ἄρα ὅτι ἡ συνείδησις τούτων ἁπάντων πληρώσει τὴν καρδίαν τῶν δικαίων ὑψίστης χαρᾶς καὶ εὐφροσύνης. Πρὸς τούτοις ἡ συνείδησις ἔσται καθαρὰ καὶ φωτεινὴ, ὡς παρὰ τοῖς πρώτοις ἀνθρώποις πρὸ τῆς πτώσεως· διότι καὶ πᾶσα ἀνάμνησις τοῦ παρελθόντος βίου, ταράττουσα τὴν χαρὰν αὐτῶν καὶ ἡσυχίαν, ἀφαιρεθήσεται ἀπ' αὐτῶν «ἐπιλήσονται τὴν θλῖψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν· ἔσται γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ, καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, οὐδ' οὐ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν» (Ἡσ. 65, 16. 17).

§ 387. *Ἐξωτερικὴ κατάστασις τῶν δικαίων.*

Τῇ τοσοῦτον μακαρίᾳ ἐσωτερικῇ καταστάσει τῶν δικαίων ἀντιστοιχεῖ ἐντελῶς ἡ ἐξωτερικὴ, τουτέστιν ἕξουσι κοινωνίαν μετ' ἄλλων τερπνοτάτην καὶ μακαριωτάτην.

α) Εἰσαχθήσονται εἰς περικαλὲς βασίλειον τῆς φύσεως, ὅπερ ἡ ἁγία Γραφὴ ἀποκαλεῖ καινὸν οὐρανὸν καὶ γῆν καινὴν (Ἀποκαλ. 21, 1), γῆν ζώντων (ψαλ. 26, 13), παράδεισον (2 Κορ. 12, 4), καὶ βεβαίως τὸ οἰκητήριον τοῦτο τῶν δικαίων οὐχ ὅμοιον ἔσται τῇ γῇ ἐν τῇ παρούσῃ καταστάσει· διότι οὐδὲν ἐκεῖ τῶν δεινῶν, ἅπερ καθιστᾶσι νῦν τὴν γῆν τόπον καταδίκης, ἀλλ' ἅπαντα ἔσονται τὰ ἀγαθὰ, οἷς ἔβριθεν ὁ ἀρχαῖος παράδεισος. Οὕτω, κατὰ τὸν Ἀπόστολον, οὐκ ἀκούσει τις

στενοχζούσης τῆς φύσεως ὑπὸ τὸν βαρὺν ζυγὸν τῆς δουλείας ματαιότητος καὶ φθορᾶς (Ῥωμ. 8, 19—22). Κατὰ δὲ τὴν ἀποκάλυψιν τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου συναπαρτίσει τὴν καινὴν γῆν, ἤτοι τὴν κατοικίαν τῶν δικαίων, πᾶν ὅ,τι κάλλιστον καὶ τιμιώτατον ἐν τῷ ἀνακανισθέντι κόσμῳ, καὶ ἡ δόξα τοῦ Θεοῦ φωτίσει αὐτοὺς, μὴ ἔχοντας χρείαν λύχνου καὶ φωτὸς ἡλίου (Ἀποκαλ. 21, 10. 27. 22, 1—5). Ἡ ἀναστροφὴ δὲ μετὰ τοσοῦτον λαμπρᾶς φύσεως, ἡ δεσποτεία καὶ κυριαρχία ἐπ' αὐτῆς ἔσονται ἀναμφιβόλως τὰ μάλιστα εὐφρόσυνοι. Πρὸς τούτοις

β) ἡ πρὸς ἀλλήλους κοινωνία τῶν δικαίων. Περὶ ταύτης εὔχεται τῷ Πατρὶ ὁ Ἰησοῦς Χριστὸς « ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ » (Ἰωαν. 17, 21), καὶ τοῦτο ἐπαγγέλεται αὐτὸς καὶ ὅτε παραβάλλει τὴν βασιλείαν τοῦ Θεοῦ πρὸς γάμους, ἐν οἷς ἀνάκεινται πάντες ὁμοῦ οἱ κεκλημένοι (Ματθ. 22, 2), καὶ σαφῶς λέγει, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (Ματθ. 8, 11). Οὕτω δὲ ἕκαστος ἐν τῇ μακαρίᾳ βασιλείᾳ τῆς δόξης ἀναγνωρίσει ἐκεῖ καὶ κοινωνήσει πρὸς πάντας, οὓς συνέδεε μετ' αὐτοῦ δεσμὸς φιλίας, συγγενείας κτλ. ἀλλὰ μάλιστα τερπνὸν τοῦτο, ὅτι ὄψονται ἐκεῖ πάντας τοὺς ἁγίους τοῦ Θεοῦ, προπάτορας, πατριάρχας, προφήτας, ἀποστόλους, μάρτυρας, ὁμολογητὰς, ἱεράρχας, ὁσίους, καὶ πάντας τοὺς δικαίους. Ἀναμφίβολον δὲ, ὅτι ἕξουσι κοινωνίαν καὶ πρὸς τοὺς ἀγγέλους καὶ πάντα τὰ καθαρὰ πνεύματα. Διότι πρῶτον μὲν καὶ νῦν αὐτοὶ μετὰ πολλῆς ἀγάπης συναναστρέφονται τοῖς ἀνθρώποις, καὶ πολὺ μέλει αὐτοῖς τῆς σωτηρίας αὐτῶν, βεβαίως πρὸς τοῦτο, ὅπως κτήσωνται συμπολίτας καὶ συμμετόχους τῆς μακαριότητος· δεύτερον δὲ τοῦτο ἐπαγγέλλεται ὁ Ἀπόστολος, λέγων « προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυρίασιν ἀγγέλων, πανηγύρει

καὶ ἐκκλησία πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων (Ἑβρ. 12, 22. 23). Τοιαύτη δὲ κοινωνία οὐ δύναται μὴ εἶναι ἀφθονωτάτη πηγὴ μακαριότητος τοῖς δικαίοις, μάλιστα καθ' ὅσον οὐδὲν τὸ βλάπτον τὴν πρὸς ἀλλήλους ἀγάπην, οὔτε φιλοδοξία, οὔτε φιλοκέρδεια, οὔτε φθόνος, οὔτε τοιοῦτοι ἄνθρωποι· οὐδὲν δὲ σαρκικὸν καὶ παχυλὸν, ἀλλὰ πάντα πνευματικὰ ἔσονται, ὡς λέγει ὁ Ἰησοῦς Χριστὸς, ὅτι οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσιν (Ματθ. 22, 30). Ἀλλ' ὅμως

ζ) πάντα τὰ ἀγαθὰ ταῦτα μικρὰ, παραβαλλόμενα πρὸς τὴν ὑψίστην ἐκείνην μακαριότητα ἐκ τῆς ἀμέσου θεωρίας καὶ κοινωνίας μετὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δι' Αὐτοῦ μετὰ τοῦ Θεοῦ Πατρὸς καὶ Πνεύματος Ἁγίου.

§ 388. *Θεωρία καὶ κοινωνία μετὰ τοῦ Θεοῦ*

Τὴν θεωρίαν τοῦ Θεοῦ καὶ κοινωνίαν μετ' αὐτοῦ ἡ Γραφὴ ἐπαγγέλλεται τοῖς δικαίοις σαφῶς καὶ ῥητῶς. Καὶ ἐν μὲν τῇ Π. Δ. ὁ βασιλεὺς Δαβὶδ εὔχεται θερμῶς καὶ ποθεῖ καὶ ἐλπίζει τοῦτο «πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; Χορτασθήσομαι ἐν τῷ ὀφθῆναι μοι τὴν δόξαν σου» (ψαλ. 41, 2. 3. 16, 15) Ὁ δὲ Ἡσαΐας λέγει, ὅτι αὐτὸς ὁ Κύριος ἔσται φῶς αἰώνιον τοῖς δικαίοις, καὶ ὅτι ἐπὶ ὤμων ἀρθήσονται, καὶ ἐπὶ γονάτων παρακληθήσονται, καὶ ὡς μήτηρ παρακαλεῖ τινα, οὕτω παρακαλέσει αὐτοὺς ὁ Θεὸς (60, 20. 66, 12. 13). Ἐν δὲ τῇ Κ. Δ. αὐτὸς ὁ Ἰησοῦς Χριστὸς λέγει, ὅτι οἱ καθαροὶ τῇ καρδίᾳ τὸν Θεὸν ὄψονται (Ματθ. 5, 8), καὶ ἐπαγγέλλεται τοῖς μαθηταῖς, ὅτι ὅπου Αὐτὸς, ἐκεῖ καὶ Αὐτοὶ ἔσονται, ὅπως θεωρῶσι τὴν δόξαν Αὐτοῦ, καὶ ὅτι τῷ ἀγαπῶντι Αὐτὸν ἐμφανίσει ἑαυτὸν, καὶ ὁ Πατὴρ ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλεύσονται, καὶ μονὴν παρ' αὐτῷ ποιήσουσιν (Ἰωάν. 14, 3. 21. 23. 17, 21. 24). Ἡ ἐλπὶς δ' αὕτη πάντων μά-

λίστα ἐνεψύχου τοὺς Ἀποστόλους. Καὶ δὴ ὁ Ἀπόστολος Παῦλος ἐπιθυμίαν εἶχεν εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (Φιλιπ. 1, 23) καὶ ἐπαγγέλλεται τοῖς πιστοῖς, ὅτι πάντοτε σὺν Κυρίῳ ἔσονται (1 Θεσσαλ. 4, 17), καὶ γνώσονται αὐτὸν πρόσωπον πρὸς πρόσωπον (1 Κορ. 13, 12). Ὁ δὲ ἅγιος Ἰωάννης ὁ Ἀπόστολος λέγει, ὅτι ὀψόμεθα τὸν Ἰησοῦν Χριστὸν καθώς ἐστι (1 Ἰωαν. 3, 2), καὶ ὅτι ἡ κοινωνία ἡ ἡμετέρα μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ (1 Ἰωαν. 1, 3), καὶ ὅτι ἡ μακαρία βασιλεία τῆς δόξης ἔσται σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν· καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς ἔσται μετ' αὐτῶν· Ἀποκ: 21, 3). Ὀψόμεθα δὲ τὴν μὲν ἀνθρωπίνην τοῦ Σωτῆρος Χριστοῦ φύσιν διὰ τοῦ σωματικοῦ αἰσθητηρίου, τὴν δὲ θείαν Αὐτοῦ οὐσίαν μετὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος διὰ τοῦ πνευματικοῦ, ἐφ' ὅσον δεκτικὴ ἡ ἀνθρωπίνη φύσις. Ὅ,τι δ' ἀφορᾷ τὴν πλησιεστάτην κοινωνίαν μετὰ τοῦ Θεοῦ, ἔσται οὐ μόνον ἑνότης ἠθικὴ ἐν τῇ ζώσῃ καὶ διαπύρῳ ἀγάπῃ συνισταμένη, ἀλλὰ καὶ, κατὰ τὸν Ἀπόστολον Πέτρον, ἐν τῇ *κοινωνίᾳ θείας φύσεως* (2 Πέτρ. 1, 4), ἧς κοινωνοῦντες ἐνταῦθα οἱ δίκαιοι ἐν τῷ ἁγιωτάτῳ μυστηρίῳ τῆς εὐχαριστίας πολλῷ δὴ μᾶλλον κοινωνήσουσιν ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας τοῦ Θεοῦ, ὥστε ὁ Θεὸς κατὰ τὸν Ἀπόστολον, ἔσται *τὰ πάντα ἐν πᾶσιν* (1 Κορ. 15, 28), κατὰ δὲ τὴν ἀποκάλυψιν τοῦ Ἰωάννου ἔσται φῶς φωτίζον αὐτούς, ξύλον ζωῆς, πηγὴ ὕδατος ζῶντος (Ἀποκ. 21, 6. 22. 23). Αὕτη δ' ἡ ἄῤῥητος καὶ ἀνέφικτος νῦν ἡμῖν στενωτάτη κοινωνία μετὰ τοῦ Θεοῦ, ἣν ὁ Θεολόγος Γρηγόριος καλεῖ *Θέωσιν* (ἐν λόγῳ 38 καὶ 45), τὸ ὕψιστόν ἐστι καὶ ὑπέρλαμπρον τῶν ἀγαθῶν, ὃν περ ἡτοίμασεν ἡ ἄπειρος ἀγάπη τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς δικαίοις ἐν τῇ μακαρίᾳ βασιλείᾳ τῆς δόξης.

§ 389 Ἡ ἐνέργεια τῶν δικαίων.

Ἀπολαύοντες τοσούτων καὶ τηλικούτων ἀγαθῶν οἱ δίκαιοι ἀναπαύσονται ἀπὸ πάντων τῶν ἔργων καὶ μόχθων, οἷς κατετρύχοντο ἐνταῦθα. Οὕτως ἐν τῇ Ἀποκαλύψει λέγεται· « μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι. Ναὶ λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν » (14, 13). Ὁ δὲ Ἀπόστολος λέγει, ὅτι ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ, καὶ ὅτι εἰσελεύσονται εἰς κατάπαυσιν, καὶ καταπαύσουσιν ἀπὸ τῶν ἔργων αὐτῶν, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεὸς (Ἑβρ. 4, 9.10). Ἀλλ' οὐχ ἧττον ἔξουσι καὶ ἐνέργειαν ἀνάλογον πρὸς τὴν μακαριότητα αὐτῶν· ἔστι δ' αὕτη θεωρία τοῦ Θεοῦ καὶ τῶν ἀπείρων αὐτοῦ τελειοτήτων, παράστασις ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ καὶ προσκύνησις τῷ Καθημένῳ ἐπ' αὐτοῦ (Ἀποκ. 19, 4), λειτουργία τῷ Θεῷ καὶ ἐκπλήρωσις τοῦ θελήματος Αὐτοῦ (Ἀποκ. 7, 15. 22, 3), καὶ τέλος ἄπαυστος δοξολογία τοῦ Θεοῦ, καὶ ἀσίγητος ὑμνῳδία τοῦ ἀλληλούϊα (Λουκ. 5, 9-13. 19, 4).

§ 390. *Βαθμοὶ τῆς μακαριότητος.*

Εἰ καὶ πάντες οἱ δίκαιοι ἐν γένει ἀπολαύσουσι πλήρους μακαριότητος, καὶ κορεσθήσονται ἐκ τῶν ἀεννάων πηγῶν αὐτῆς, καὶ ἀγαλλιάσονται χαρᾷ *ἀνεκλαλήτῳ* (1 Πέτρ. 1,8)· ἀλλ' ὅμως ἀναντίῤῥητον καὶ τοῦτο, ὅτι ἕκαστος κατὰ τὸ μέτρον, τὸ ἐν τῇ ἠθικῇ τελειότητι ἑκάστου συνιστάμενον, καὶ ἐν τῷ βαθμῷ τῆς ἀξιομισθίας, διὸ καὶ διαφορὰ βαθμῶν μακαριότητος ἔσται. Τοῦτο δὲ ἀπαιτεῖ ἡ δικαιοσύνη τοῦ Θεοῦ, καὶ ὁ Ἀπόστολος σαφῶς διδάσκει· « ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον (1 Κορ. 3, 8), καὶ ὅτι « ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει » (2 Κορ. 9, 6,) καὶ ὅτι ἐν τοῖς δικαίοις τοιαύτη ἔσται διαφορὰ, οἵα καὶ ἐν

τοῖς φωστῆρσιν « ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ· οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. (1Κορ. 15, 41. 42). Οὐχ ἧττον ὅμως ἕκαστος μέλλει ἀρκεῖσθαι τοῖς ἰδίοις ἀγαθοῖς· διότι καὶ ὁ κατώτατος βαθμὸς τῆς μακαριότητος ἔσται ὑπὲρ πάντα νοῦν καὶ ἔννοιαν. οὐδεὶς δὲ φθόνος καὶ ἀκόρεστος πλεονεξία μέλλουσι καταβιβρώσκειν αὐτούς.

§ 391 *Ἡ αἰωνιότης τῆς μακαριότητος.*

Τῆς ἐνδόξου βασιλείας τοῦ Χριστοῦ καὶ τῆς μακαρίας ζωῆς ἐν αὐτῇ τῶν δικαίων οὐδέποτε ἔσται τέλος, ἀλλ' ἔσονται ἀναλλοίωτοι καὶ αἰώνιοι. Ἀμφότερα δὲ βεβαιοῖ ἡ Ἁγία Γραφή· καὶ περὶ μὲν τοῦ πρώτου λέγει, ὅτι ἡ βασιλεία Αὐτοῦ βασιλεία αἰώνιος (Δαν. 7, 27), καὶ ὅτι τῆς βασιλείας Αὐτοῦ οὐκ ἔσται τέλος (Λουκ. 1, 33), καὶ ὅτι Αὐτῷ τιμὴ καὶ κράτος αἰώνιον (Τιμ. 6, 16)· Περὶ δὲ τοῦ δευτέρου μαρτυρεῖ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ἀποκαλῶν τὴν μακαριότητα τῶν δικαίων ζωὴν αἰώνιον (Ματθ. 25, 46), καὶ χαρὰν, ἣν οὐδεὶς αἴρει (Ἰωαν. 16, 22). Ὁ δὲ Ἀπόστολος Πέτρος κληρονομίαν ἄφθαρτον καὶ καὶ ἀμάραντον (1 Πέτρ. 1, 4)· Ὁ δὲ ἀπόστολος Ἰωάννης ἀποκαλύπτει, ὅτι οἱ δίκαιοι βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων (Ἀποκ. 22, 5).

Ταύτης τῆς μακαρίας βασιλείας τῆς δόξης, ταύτης τῆς ἀφθάρτου καὶ ἀμαράντου κληρονομίας, ταύτης τῆς αἰωνίου ζωῆς καὶ ἀναφαιρέτου χαρᾶς ἀξιωθείημεν πάντες ἡμεῖς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Ὧ ἡ δόξα τιμὴ καὶ προσκύνησις σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Αὕτη ἡ πίστις τῶν Ἀποστόλων αὕτη ἡ πίστις τῶν Πατέρων, αὕτη πίστις τῶν Ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξεν (Ἀκολ. ἐν τῇ Κυρ. τῆς Ὀρθ.)

Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε (1 Κορ. 15, 58. 16, 13). Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοὶ καὶ ἐν τῇ αὐτῇ γνώμῃ (1 Κορ. 1, 10). Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐτῶν (Ῥωμ. 16, 17). Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ Κόσμου, καὶ οὐ κατὰ Χριστόν (Κολ. 2, 8). Ὑμεῖς οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε, ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ· αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ

Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ (2 Πετρ. 3, 17. 18).

Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι (1 Πέτρ. 5, 10). Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι, κατὰ τὸ Εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. (Ῥωμ. 16, 25—27).

ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ

ΤΗΣ

ΔΟΓΜΑΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ.

ΕΙΣΑΓΩΓΗ

§ 1. Ὁρισμὸς τῆς Δογματικῆς Θεολογίας. 2 Τὸ θέμα αὐτῆς. 3 Τὸ χρέος καὶ ὁ οὐσιώδης χαρακτήρ. 4 Αἱ ὑποτυπώσεις τῆς ὀρθοδόξου ὁμολογίας. 5 Ἡ μέθοδος 6 Ἡ οὐσία τῶν δογμάτων καὶ ἡ θεμελιώδης ἰδέα τῆς Δογματικῆς Θεολογίας. 8 Τὸ σπουδαῖον τῆς δογματικῆς Θεολογίας.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

§ 9. *Τὸ περιεχόμενον καὶ ἡ διαίρεσις.*

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Διδασκαλία, περὶ τοῦ ἑνὸς Θεοῦ κατ' οὐσίαν.

§ 10. Ἡ ἀλήθεια τῆς ὑπάρξεως τοῦ Θεοῦ. 11 Τὸ ἀκατάληπτον τῆς οὐσίας τοῦ Θεοῦ. 12 Τὸ ἀναγκαῖον τῆς περὶ τοῦ

Θεοῦ ἐπιγνώσεως. 13 Τὸ δυνατὸν τῆς ἐπιγνώσεως τοῦ Θεοῦ. 14 Ὁ φυσικὸς τρόπος τῆς Θεογνωσίας. 15. Τὸ ἀνεπαρκὲς τοῦ φυσικοῦ τρόπου τῆς Θεογνωσίας. 16 Τρόπος τῆς Θεογνωσίας ὑπερφυσικός. 17 Ἰδιότητες τῆς ἀποκεκαλυμμένης Θεογνωσίας. 18 Ὀνόματα τοῦ Θεοῦ, ὡς βάσεις πρὸς ἰδέαν τινὰ περὶ Αὐτοῦ. 19 Διαίρεσις τῆς διδασκαλίας περὶ τῶν ἰδιοτήτων τοῦ Θεοῦ.

1) *Περὶ τῶν ἰδιοτήτων τῆς οὐσίας τοῦ Θεοῦ.*

§ 20 Αἱ ἰδιότητες τῆς οὐσίας τοῦ Θεοῦ. 21 Ἁπλότης. 22 Ἡ Ἀνεξαρτησία. 23 Ἡ πανταχοῦ παρουσία. 24 Αἰωνιότης. 25 Τὸ ἀναλλοίωτον.

2) *Περὶ τῶν ἰδιοτήτων τῆς ζωῆς τοῦ Θεοῦ.*

§ 26. Ἡ ζωὴ τοῦ Θεοῦ. 27 Αἱ ἰδιότητες τῆς ζωῆς τοῦ Θεοῦ. 28 Ὁ νοῦς τοῦ Θεοῦ. 29 Τὰ ἀντικείμενα τῆς γνώσεως τοῦ Θεοῦ. 30 Ὁ Τρόπος τῆς γνώσεως τοῦ Θεοῦ. 31 Ἡ θέλησις τοῦ Θεοῦ. 32 Αὐτὴ καθ' ἑαυτὴν καὶ ἐν ταῖς ἐνεργείαις αὐτῆς. 33 Ὁ Κύριος χαρακτὴρ τῆς θελήσεως τοῦ Θεοῦ ἐστιν ἡ ἀγάπη. 34 Τὸ ἀντικείμενον τῆς θελήσεως τοῦ Θεοῦ. 35 Αἱ ἰδιότητες τῆς θελήσεως τοῦ Θεοῦ. 36 Ἡ Ἁγιότης. 37 Ἐλευθερία. 38 Ἡ Παντοδυναμία. 39 Σοφία. 40 Ἀγαθότης. 41 Δικαιοσύνη. 42 Ἡ Ἀλήθεια. 43 Τελειοτάτη ἁρμονία τῶν ἰδιοτήτων τοῦ Θεοῦ.

3) *Περὶ τῶν ἰδιοτήτων τοῦ Θεοῦ τῶν ἀναφερομένων εἰς τὴν οὐσίαν ἅμα καὶ ζωὴν τοῦ Θεοῦ.*

§ 44 Ἀπαρίθμησις τῶν ἰδιοτήτων τούτων. 45 Τὸ μεγαλεῖον καὶ ἡ δόξα τοῦ Θεοῦ. 46 Μακαριότης τοῦ Θεοῦ. 47 Ἡ Ἑνότης τοῦ Θεοῦ.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Διδασκαλία περὶ τοῦ μυστηρίου τῆς Ὑπεραγίας Τριάδος.

§ 48. Συνάφεια μετὰ τοῦ προηγουμένου. 49 Τὸ σπουδαῖον τοῦ δόγματος περὶ τῆς Ὑπεραγίας Τριάδος. 50 Ἐκκλησιαστικὸς ὅρος. 51 Τὰ κύρια ἄρθρα.

1) *Ἡ ἀλήθεια τῆς ἐν Θεῷ Τριάδος.*

§ 52. Μαρτυρίαι ἐκ τῆς Καινῆς Διαθήκης. 53 Μαρτυρίαι τῆς Παλαιᾶς Διαθήκης. 54 Ἡ προσωπικὴ ὑπόστασις τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος. 55 Ἡ προσωπικὴ ὑπόστασις τοῦ Θεοῦ Πατρός. 56 Ἡ προσωπικὴ ὑπόστασις τοῦ Υἱοῦ. 57 Ἡ προσωπικὴ ὑπόστασις τοῦ Ἁγίου Πνεύματος. 58 Διάκρισις τῶν Προσώπων τοῦ Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος.

2) *Ἡ Θεότης καὶ τὸ ὁμοούσιον τῶν Προσώπων τῆς ὑπεραγίας Τριάδος.*

§ 59 Ὁρισμός. 60 Ἡ Θεότης τοῦ Θεοῦ Πατρός. 61 Ἡ Θεότης τοῦ Υἱοῦ τοῦ Θεοῦ. 62 Ἡ Θεότης τοῦ Πνεύματος τοῦ Ἁγίου. 63 Τὸ ὁμοούσιον τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος. 64 Πορίσματα.

3) *Περὶ τῆς ἀμοιβαίας σχέσεως τῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος, ἤτοι περὶ τῶν προσωπικῶν ἰδιωμάτων τοῦ Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος.*

§ 65 Τὸ προσωπικὸν ἰδίωμα τοῦ Θεοῦ Πατρός. 66 Τὸ προ-

σωπικὸν ἰδίωμα τοῦ Υἱοῦ τοῦ Θεοῦ. 67 Τὸ προσωπικὸν ἰδίωμα τοῦ Θεοῦ Πνεύματος Ἁγίου. 68 Σχέσις τοῦ Πνεύματος τοῦ Ἁγίου πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

§ 69 Τὸ περιεχόμενον τοῦ μέρους τούτου. 70 Διαίρεσις.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ

Διδασκαλία περὶ τοῦ Κόσμου ἐν γένει.

§ 71 Τὸ περιεχόμενον καὶ ἡ διαίρεσις.

Α) Περὶ Δημιουργίας τοῦ Κόσμου.

§ 72 Ἀντικείμενα τῆς διδασκαλίας. 73 Ὁ Ποιητὴς τοῦ Κόσμου. 74 Συνέργεια τῶν τριῶν προσώπων τῆς Ὑπεραγίας Τριάδος ἐν τῇ δημιουργίᾳ. 75 Δημιουργία τοῦ κόσμου ἐκ τοῦ μηδενός. 76 Δημιουργία τοῦ κόσμου ἐν χρόνῳ. 77 Τάξις τῆς Δημιουργίας. 78 Ἡ γενικὴ τάξις τῆς δημιουργίας. 79 Ἡ τάξις τῆς δημιουργίας ἐν τῷ ὁρατῷ κόσμῳ. 80 Ἐλατήριον καὶ ὁ σκοπὸς τῆς δημιουργίας. 81 Ἡ Τελειότης τῆς δημιουργίας. 82 Ὁ Θεὸς οὐκ ἔστιν αἴτιος τοῦ κακοῦ.

Β) Περὶ Προνοίας.

§ 83 Ἡ περὶ προνοίας ἔννοια. 84 Ἡ ἀνάγκη καὶ ἡ πραγματικὴ ὕπαρξις. 85 Διαίρεσις.

1) Περὶ συντηρήσεως τοῦ Κόσμου.

§ 86 Ἡ περὶ συντηρήσεως ἔννοια. 87 Τὰ ἀντικείμενα τῆς συντηρήσεως. 88 Ὁ Τρόπος τῆς συντηρήσεως.

2) *Περὶ Κυβερνήσεως τοῦ Κόσμου.*

§ 89 Ἡ περὶ Κυβερνήσεως ἔννοια. 90 Τὰ ἀντικείμενα.
§ 91 Ὁ τρόπος τῆς Θείας Κυβερνήσεως. 92 Πορίσματα.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Διδασκαλία περὶ Ἀγγέλων.

§ 93 Συνάφεια μετὰ τοῦ προηγουμένου. 94 Ἡ περὶ Ἀγγέλων ἔννοια. 95 Ἡ ὕπαρξις τῶν Ἀγγέλων. 96 Ἡ γένεσις τῶν Ἀγγέλων. 97 Αἱ ἰδιότητες τῶν Ἀγγέλων. 98 Ἡ διαίρνσις τῶν Ἀγγέλων.

Α) Περὶ τῶν ἀγαθῶν Ἀγγέλων.

§ 99. Αἱ ἰδιότητες τῶν ἀγαθῶν Ἀγγέλων. 100 Ἡ ἠθικὴ κατάστασις. 101 Ἡ μακαριότης. 102 Ὁ ἀριθμός. 103 Οἱ βαθμοί. 104 Ἡ πρὸς τὸν Θεὸν σχέσις. 105 Ἡ μετὰ τῶν ἀνθρώπων ἐν γένει σχέσις αὐτῶν. 106 Ἡ σχέσις πρὸς ἕκαστον Χριστιανὸν, ἢ τὸ δόγμα περὶ τοῦ Ἀγγέλου φύλακος. 107 Περὶ σεβασμοῦ τῶν Ἀγγέλων.

Β) Περὶ τῶν πονηρῶν πνευμάτων.

§ 108 Ἡ ὕπαρξις τῶν πονηρῶν πνευμάτων. 109 Ὁ ἀριθμὸς τῶν πεσόντων πνευμάτων. 111 Αἱ ἰδιότητες. 172 Ἡ τύχη τῶν πονηρῶν πνευμάτων. 113 Σχέσις πρὸς ἅπαν τὸ ἀνθρώπινον γένος. 114 Σχέσις πρὸς ἕκαστον ἄνθρωπον ἰδίᾳ. 115 Περὶ τῆς κοινωνίας μετὰ τῶν πονηρῶν πνευμάτων, ἤτοι μαγείας.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Διδασκαλία περὶ τοῦ ἀνθρώπου.

§ 116 Συνάφεια μετὰ τῶν προηγουμένων. 117 Διαίρεσις

ΚΕΦΑΛΑΙΟΝ Α'.

Διδασκαλία περὶ τῆς ἀρχικῆς καταστάσεως τοῦ ἀνθρώπου.

§ 118. Ἀντικείμενα τῆς διδασκαλίας.

1) *Περὶ τῆς γενέσεως καὶ τῆς φύσεως τοῦ ἀνθρώπου*

§ 119 Ἡ γένεσις τοῦ ἀνθρώπου. 120 Τὰ συστατικὰ τῆς ἀνθρωπίνης φύσεως μέρη. 121 Ἡ τελειότης τῆς ἀνθρωπίνης φύσεως. 122 Ἡ Εἰκὼν καὶ ὁμοίωσις τοῦ Θεοῦ ἐν τῷ ἀνθρώπῳ. 123 Ἡ καταγωγὴ τοῦ ἀνθρωπίνου γένους. 124 Ἡ καταγωγὴ ἑκάστου ἀνθρώπου ἰδίᾳ.

2) *Περὶ τῆς πρώτης διαθήκης τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου.*

§ 125 Σκοπὸς καὶ προορισμὸς τοῦ πρωτοπλάστου. 126 Ἡ πρώτη Διαθήκη τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου. 127 Ἡ χάρις τοῦ Θεοῦ τῷ ἀνθρώπῳ 128 Ἡ δοθεῖσα ἐντολὴ τῷ πρώτῳ ἀνθρώπῳ 129 Συνέπεια τῆς διαθήκης ἡ μακαριότης τῶν πρωτων ἀνθρώπων.

3) *Περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου.*

§ 130 Τὸ δυνατὸν τῆς πτώσεως. 131 Αἰτία τῆς πτώσεως. 132 Ὁ τρόπος τῆς πτώσεως. 133 Συνέπεια τῆς ἁμαρτίας ἡ

διατάραξις τῆς ἐσωτερικῆς γαλήνης. 134 Διατάραξις τῆς ἐξωτερικῆς εὐημερίας. 135 Αἱ συνέπειαι ἐπὶ τῆς κτίσεως. 136 Τὸ βάρος τῆς ἁμαρτίας τοῦ Ἀδάμ. 137 Τὰ λείψανα τοῦ ἀγαθοῦ. 138 Τὸ ἀνίσχυρον τῶν προπατόρων πρὸς ἐπανόρθωσιν.

δ) Περὶ τῆς βλάβης παντὸς τοῦ ἀνθρωπίνου γένους διὰ τὴν πτῶσιν τῶν προπατόρων, ἤτοι περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος.

§ 139 Συνέπειαι τῆς πτώσεως τῶν προπατόρων ἐν τοῖς ἀπογόνοις. 140 Ἡ περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος ἔννοια. 141 Ὀνομασία αὐτοῦ ἐν τῇ Ἁγίᾳ Γραφῇ. 142 Ἡ πραγματικὴ αὐτοῦ ὕπαρξις. 143 Αἰτία. 144 Τρόπος τῆς μεταδόσεως. 145 Τὸ καθολικὸν τῆς ἁμαρτίας. 146 Ἡ συνεχὴς διάρκεια. 147 Τὸ περιεκτικὸν τῆς ἁμαρτίας. 148 Ἡ δύναμις. 149 Τὰ λείψανα τοῦ ἀγαθοῦ. 150 Ἡ εὐθύνη. 151 Τὸ ἀνίσχυρον τοῦ ἀνθρώπου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Διδασκαλία περὶ τῆς ὑπὸ χάριν καταστάσεως τοῦ ἀνθρώπου.

§ 152. Ἡ ἀνάγκη τῆς θείας βοηθείας πρὸς σωτηρίαν τοῦ ἀνθρώπου. 153 Ἡ περὶ τούτου βουλὴ τοῦ Θεοῦ. 154 Ἐλατήριον. 155 Οἱ ἀναγκαῖοι ὅροι πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου. 156 Ἡ Μεσιτεία τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὡς μέσον πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου. 157 Διαθήκη τοῦ Θεοῦ Πατρὸς μετὰ τοῦ Θεοῦ Υἱοῦ περὶ σωτηρίας τοῦ ἀνθρώπου. 158 Δευτέρα Διαθήκη τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου, ἤτοι Διαθήκη τῆς Χάριτος. 159 Τὸ Καθολικὸν τῆς Διαθήκης τῆς Χάριτος. 160

ξάξις τῆς Οἰκονομίας τοῦ Θεοῦ, εἰς σωτηρίαν τοῦ ἀνθρώπου. 161 Διαίρεσις τῆς διδασκαλίας ταύτης.

Α') Διδασκαλία περὶ τῆς προπαρασκευῆς τοῦ ἀνθρωπίνου γένους πρὸς τὸ μυστήριον τῆς Ἀπολυτρώσεως.

§ 162 Ἡ ἀνάγκη τῆς προπαρασκευῆς τοῦ ἀνθρωπίνου γένους πρὸς ὑποδοχὴν τοῦ Λυτρωτοῦ. 163 Διαίρεσις τῆς Διαθήκης τῆς χάριτος κατὰ χρόνον εἰς Παλαιὰν καὶ Καινήν. 164 Ἡ πραγματικὴ ὕπαρξις τῆς πίστεως εἰς τὸν ἐρχόμενον Λυτρωτὴν κατὰ τοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης. 165 Ὄργανα πρὸς διέγερσιν καὶ τήρησιν αὐτῆς. 166 Πίστις εἰς τὸν Λυτρωτὴν ἀπὸ Ἀδὰμ μέχρις Ἀβραάμ, 167 Ἀπὸ Ἀβραὰμ μέχρι Μωϋσέως. 168 Κατὰ τοὺς χρόνους τοῦ Μωϋσέως. 169 Κατὰ τοὺς χρόνους τοῦ Δαβίδ. 170 Κατὰ τοὺς χρόνους τῶν προφητῶν. 171 Προπαρασκευὴ εἰς ὑποδοχὴν τοῦ Λυτρωτοῦ διὰ τοῦ νόμου. 192 Προπαρασκευὴ πρὸς ὑποδοχὴν τοῦ Λυτρωτοῦ διὰ τῆς ἱστορίας τοῦ λαοῦ. 173 Προπαρασκευὴ τῶν Ἐθνῶν.

Β) Διδασκαλία περὶ τῆς τελέσεως τοῦ Μυστηρίου τῆς ἀπολυτρώσεως διὰ τῆς ἐλεύσεως ἐπὶ τῆς γῆς τοῦ Σωτῆρος τοῦ κόσμου Ἰησοῦ Χριστοῦ

§ 174 Ἔλευσις τοῦ ἐπηγγελμένου Λυτρωτοῦ. 175 Ἀπόδειξις, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ἀληθῶς ὁ Λυτρωτὴς τοῦ κόσμου. 176 α) Ἐκ τῆς ἀντιπαραθέσεως τῶν τῆς Παλαιᾶς Διαθήκης Προφητειῶν καὶ ἐπαγγελιῶν πρὸς τὰ συμβάντα. 177 β) Ἐκ τῶν συγχρόνων μαρτυριῶν. 178 Διαίρεσις τῆς διδασκαλίας περὶ τοῦ Λυτρωτοῦ τοῦ κόσμου.

α) *Περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ ἢ περὶ τοῦ Μυστηρίου τῆς ἐνσαρκώσεως.*

§ 179 Ἡ ἀξία τοῦ δόγματος περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ. 180 Ὁ ὑπὸ τῆς Ἐκκλησίας ὅρος τοῦ δόγματος τούτου. 181 Τὰ κυριώτερα ἄρθρα. 182 Ὁ Ἰησοῦς Χριστὸς Θεὸς ἀληθινός. 183 Ὁ Ἰησοῦς Χριστὸς ἀληθὴς ἄνθρωπος. 184 Ἄνθρωπος τῆς αὐτῆς ἡμῖν φύσεως. 185 Ὁ Ἰησοῦς Χριστὸς ἄνθρωπος ἀναμάρτητος καὶ θαυμασίως γεννηθείς. 186 Ἡ Ἀειπαρθενία τῆς ὑπεραγίας Θεοτόκου. 187 Ὁ τρόπος τῆς ἑνώσεως ἐν Ἰησοῦ Χριστῷ τῶν δύω φυσεων. 188 Ἡ ὑπεραγία Παρθένος ἐστὶν ἀληθῶς Θεοτόκος. 189 Αἱ ἐκ τῆς ἑνώσεως τῶν δύω φύσεων ἐν Ἰησοῦ Χριστῷ συνέπειαι. 190 Περὶ τῆς τιμῆς τῆς εἰκόνος τοῦ Σωτῆρος Χριστοῦ. 191 Σχέσις τῆς ἐνσαρκώσεως πρὸς τὴν Παναγίαν Τριάδα.

β) *Ὁ βίος τοῦ Ἰησοῦ Χριστοῦ.*

§ 192 Ἡ διττὴ κατάστασις τοῦ Ἰησοῦ Χριστοῦ.

1) *Περὶ τῆς καταστάσεως τῆς ταπεινώσεως.*

§ 193 Ἡ περὶ τῆς καταστάσεως τῆς ταπεινώσεως ἔννοια καὶ ἡ ταύτης διάρκεια. 194 Εἴδη τῆς καταστάσεως ταύτης 195 Ἐλατήριον εἰς τὴν τοιαύτην κατάστασιν. 196 Ἡ δόξα τοῦ Ἰησοῦ Χριστοῦ ἐν τῇ καταστάσει τῆς ταπεινώσεως.

2) *Περὶ τῆς καταστάσεως τῆς δόξης.*

§ 197 Ἡ περὶ τῆς καταστάσεως τῆς δόξης ἔννοια. 198 Τὰ εἴδη αὐτῆς. 199 Σκοπός.

γ) *Περὶ τοῦ τριπλοῦ ἀξιώματος τοῦ Ἰησου Χριστοῦ ὑπὲρ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους.*

§ 200. Ἡ βάσις τοῦ τριπλοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ.

1) *Περὶ τοῦ προφητικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ.*

§ 201 Ἡ τοῦ προφητικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ ἀλήθεια. 202 Ἡ διδασκαλία τοῦ Σωτῆρος Χριστοῦ. 203 Ὁ τρόπος τῆς διδασκαλίας. 204 Ἡ Ὑπεροχὴ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πρὸς τὸν Μωσαϊκὸν Νόμον. 205 Ἡ κατάργησις τοῦ Μωσαϊκοῦ νόμου.

2) *Περὶ τοῦ Ἀρχιερατικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ*

§ 206 Ἡ ἀλήθεια τῆς ἀρχιερωσύνης τοῦ Ἰησοῦ Χριστοῦ. 207. Ἡ οὐσία τοῦ ἀξιώματος τούτου. 208 Ἡ πρὸς τὴν σωτηρίαν ἡμῶν δύναμις τῶν παθῶν καὶ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ. 209 Ἡ καθολικὴ δύναμις τῆς ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ προσενεχθείσης θυσίας. 210 Περὶ τῆς τιμῆς τοῦ ἁγίου Σταυροῦ καὶ περὶ τοῦ σημείου τούτου.

3) *Περὶ τοῦ Βασιλικοῦ ἀξιώματος τοῦ Ἰησοῦ Χριστοῦ.*

§ 211 Ἡ ἀλήθεια τοῦ ἀξιώματος τούτου. 212 Βαθμοὶ τῆς βασιλείας τοῦ Ἰησοῦ Χριστοῦ. 213 Ἡ εἰς ᾅδην κάθοδος. 214 Ἡ Ἀνάστασις. 215 Ἡ εἰς Οὐρανοὺς ἀνάληψις. 216 Καθέδρα ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρός.

Γ) Διδασκαλία περὶ τῆς οἰκειώσεως τῷ ἀνθρωπίνῳ γένει τοῦ Μυστηρίου τῆς Ἀπολυτρώσεως.

§ 217 Περιεχόμενον καὶ διαίρεσις.

α) Περὶ τῶν μέσων τῶν ἐκ τοῦ Θεοῦ, ἤτοι περὶ τῆς Χάριτος τοῦ Θεοῦ.

§ 218 Ἡ περὶ τῆς χάριτος ἔννοια. 219 Πηγὴ τῆς χάριτος. 220 Ἡ ἀλήθεια τῆς χάριτος. 221 Ἡ Ἀνάγκη τῆς χάριτος. 222 Σχέσις τῆς χάριτος πρὸς τὴν ἐλευθερίαν τοῦ ἀνθρώπου. 223 Τὰ εἴδη τῶν ἐνεργειῶν τῆς χάριτος. 224 Ἡ χάρις ἡ ἀρχομένη τῆς ἡμετέρας Σωτηρίας. 225 Κλῆσις. 226 Οἱ τρόποι τῆς κλήσεως. 227 Τὸ καθολικὸν τῆς Κλήσεως 228 Ἐπιστροφή. 229 Ἀνακαίνωσις ἢ ἀναγέννησις. 230 Ἰδιότητες τοῦ ἀναγεννηθέντος ἀνθρώπου. 231 Δικαίωσις. 232 Οἱ καρποὶ τῆς Δικαιώσεως. 233 Ἁγιασμός. 234 Ἕνωσις μετὰ τοῦ Ἰησοῦ Χριστοῦ. 235 Ἡ χάρις ἡ διατηροῦσα καὶ αὔξουσα τὴν πνευματικὴν ζωήν. 236 Ἡ χάρις ἡ τελειοῦσα τὴν πνευματικὴν ζωήν. 237 Τὰ γνωρίσματα τῆς παρουσίας καὶ ἐνεργείας τῆς χάριτος. 238 Ὄργανα, δι' ὧν μεταδίδοται ἡ χάρις.

β) Περὶ τῶν μέσων τοῦ ἀνθρώπου εἰς οἰκείωσιν τῆς Ἀπολυτρώσεως.

§ 239. Τὸ ἀναγκαῖον ὅρων ἐκ τοῦ ἀνθρώπου εἰς σωτηρίαν καὶ ἀπαρίθμησις αὐτῶν.

1) Περὶ Πίστεως.

§ 240 Ἡ περὶ Πίστεως ἔννοια. 241 Τὸ ἀναγκαῖον αὐτῆς.

242. Τὰ διάφορα εἴδη τῆς Πίστεως· 243. Ἡ ἀξία τῆς Χριστιανικῆς Πίστεως.

2) Περὶ τῶν ἀγαθῶν ἔργων.

§ 244. Ὁρισμός. 245 Τὸ ἀναγκαῖον. 246 Τὸ δυνατόν. 247 Ἀξία.

Δ) Διδασκαλία περὶ τῆς ἐνδελεχοῦς διαρκείας τοῦ Μυστηρίου τῆς Ἀπολυτρώσεως ἐν τῇ Βασιλείᾳ τῆς χάριτος τοῦ Θεοῦ, ἤτοι περὶ τῆς στρατευομένης Ἐκκλησίας.

§ 248. Περιεχόμενον καὶ Διαίρεσις.

α) Γενικά τινα περὶ τῆς στρατευομένης Ἐκκλησίας.

§ 249 Ἡ γενικὴ περὶ τῆς στρατευομένης Ἐκκλησίας ἔννοια. 250 Ἡ περὶ τῆς Ἐκκλησίας τῆς Κ. Δ. ἔννοια. 251 Ὀνόματα αὐτῆς ἐν τῇ Ἁγίᾳ Γραφῇ. 252 Ἡ ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ ἀρχὴ Αὐτῆς. 253 Ὁ μετὰ τοῦ Ἰησοῦ Χριστοῦ σύνδεσμος τῆς Ἐκκλησίας. 254 Ὁ σκοπὸς τῆς Ἐκκλησίας. 255 Ἡ Ἐκκλησία ἐστὶ κοινωνία ὁρατή. 256 Ἡ Ἐκκλησία ἐστὶ κοινωνία πνευματική. 257 Ἡ Ἐκκλησία ἐστὶ μία. 258 Ἁγία. 259 Καθολική. 260 Ἀποστολική. 261 Ἀκένωτος. 262 Ἀλάνθαστος. 663 Ἡ ἐσωτερικὴ σύστασις τῆς Ἐκκλησίας. 264 Τὸ ἀναγκαῖον καὶ ἡ ὕπαρξις τῆς διδασκαλίας ἐν τῇ Ἐκκλησίᾳ. 265 Αἱ Ἐκκλησιαστικαὶ Ἱεροτελεστίαι καὶ ἡ ἀρχὴ αὐτῶν ἀπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ. 266 Ἡ ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ ἀρχὴ τῆς Ἐκκλησιαστικῆς ἐξουσίας καὶ ἡ ἀξία αὐτῆς. 267. Ἡ ἐξωτερικὴ τῆς Ἐκκλησίας μορφή. 268 Ἡ θεόθεν ἀρχὴ καὶ ἐξακολούθησις τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας· 269 Ἡ Ἀξία ταύτης. 270 Οἱ βαθμοὶ τῆς Ἱεραρχίας 271 Τὸ ἀξίωμα τῶν Οἰκουμενικῶν Συνόδων. 272 Αἱ Σύνοδοι αἱ

ἐν τῇ Ἐκκλησίᾳ ὡς ἀσφαλὴς κανὼν τῆς Πίστεως καὶ εὐσεβείας. 273 Ἀναγκαῖον πρὸς σωτηρίαν διαμένειν ἐν τῇ Ἐκκλησίᾳ. 274 Ἡ περὶ Ὀρθοδοξίας καὶ ἑτεροδοξίας ἔννοια. 275 Ἡ Ὀρθοδοξία τῆς ἀνατολικῆς Ἐκκλησίας. 276. Ἡ Ὀρθοδοξία τῆς Ῥωσσικῆς Ἐκκλησίας.

6) Περὶ τῶν Ὀργάνων τῆς χάριτος τοῦ Θεοῦ ἤτοι περὶ τῶν Μυστηρίων.

§ 277. Ἡ περὶ τῶν Μυστηρίων ἔννοια. 278 Τὰ ἀναγκαῖα συστατικὰ πάντων τῶν Μυστηρίων ἐν γένει. 279 Οἱ Ὅροι. 280 Ἀριθμός. 281 Διαίρεσις.

1) Βάπτισμα.

§ 282. Ἔννοια. 283 Σύστασις. 284 Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα. 285 Ἡ χάρις ἡ ἐν τῷ Βαπτίσματι. 286 Τὰ βαπτίζοντα πρόσωπα. 287 Τὰ βαπτιζόμενα πρόσωπα. 288 Τὸ Βάπτισμα οὐκ ἐπαναλαμβάνεται.

2) Τὸ χρίσμα τοῦ Μύρου.

§ 289. Ἔννοια. 290 Σύστασις. 291 Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα. 292 Ἡ χάρις ἡ μεταδιδομένη ἐν τῷ χρίσματι τοῦ Μύρου. 293 Τὰ τελοῦντα πρόσωπα. 294 Τὰ λαμβάνοντα πρόσωπα. 295 Τὸ χρίσμα οὐκ ἐπαναλαμβάνεται.

3) Μετάληψις εἴτε Εὐχαριστία.

§ 296. Ἔννοια. 297 Σύστασις. 298 τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα. 299 Ἡ ἐσωτερικὴ δύναμις. 300 Πορίσματα. 901 Τὰ τελοῦντα πρόσωπα. 302 Τὰ μεταλαμβάνοντα πρόσωπα. 303 Καρποί. 304 Ἡ ἀνάγκη τῆς προπαρασκευῆς. 305 Ἡ εὐχαριστία ὡς θυσία.

4) *Μετάνοια.*

306 Ἔννοια. 307 Ἡ θεόθεν σύστασις. 308 Τὰ ὁρατὰ καὶ αἰσθητὰ σημεῖα. 309 Ἡ χάρις ἡ μεταδιδομένη ἐν τῷ Μυστηρίῳ τῆς μετανοίας. 310 Ἐπιτιμία. 311 Τὰ ἐπιτελοῦντα πρόσωπα. 312 Τὰ μετανοοῦντα πρόσωπα.

5) *Ἱερωσύνη.*

§ 313. Ἔννοια. 314 Σύστασις. 315 Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα. 316 Ἡ χάρις ἡ μεταδιδομένη ἐν τῷ μυστηρίῳ τῆς Ἱερωσύνης. 317 Οἱ βαθμοὶ τῆς Ἱερωσύνης. 318 Τὰ χειροτονούμενα πρόσωπα. 319 Ἡ Ἱερωσύνη οὐκ ἐπαναλαμβάνεται.

6) *Γάμος.*

§ 320. Ἔννοια. 321 Σύστασις. 322 Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα. 323 Ἡ χάρις ἡ ἐν τῷ μυστηρίῳ τοῦ γάμου. 324 Οἱ τελοῦντες τὸ μυστήριον καὶ οἱ εἰς γάμον εἰσερχόμενοι. 325 Τὸ ἄλυτον τοῦ γάμου καὶ πότε λύεται.

7) *Εὐχέλαιον.*

§ 326 Ἔννοια. 327 Σύστασις. 328 Ὁρατὰ ἢ αἰσθητὰ σημεῖα. 329 Ἡ χάρις ἡ ἐν τῷ μυστηρίῳ τούτῳ. 330. Τὰ τελοῦντα πρόσωπα. 331 Τὰ λαμβάνοντα πρόσωπα.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Διδασκαλία περὶ τῶν ἐσχάτων τοῦ ἀνθρώπου καὶ περὶ τῆς Βασιλείας τῆς δόξης.

§ 332. Περιεχόμενον καὶ διαίρεσις.

Α'. Περὶ τῶν ἐσχάτων ἑκάστου ἰδίᾳ

§ 333 Τὸ περιεχόμενον.

α) Περὶ θανάτου

§ 334. Ἡ περὶ Θανάτου ἔννοια. 335 Τὸ καθολικὸν τοῦ Θανάτου. 336 Αἰτία τοῦ Θανάτου. 337 Ὁ ἀγαθοεργὸς σκοπὸς τοῦ Θανάτου. 338 Ἡ ἀθανασία τῆς ψυχῆς.

β) Περὶ τῆς μερικῆς κρίσεως.

§ 339. Ἡ περὶ τῆς μερικῆς κρίσεως ἔννοια. 340 Ἡ ὕπαρξις τῆς κρίσεως ταύτης. 341 Ὁ τρόπος.

γ) Περὶ τῆς καταστάσεως τῶν ψυχῶν μέχρι τῆς γενικῆς ἀναστάσεως.

§ 342. Ἡ κατάστασις τῶν τεθνεώτων ἐν γένει. 343 Ἡ κατάστασις τῶν τεθνεώτων ἐν τοῖς καθ' ἕκαστα. 344 Κατάστασις τῶν ἁγίων. 345 Ἡ κατάστασις τῶν ἁμαρτωλῶν. 346 Ἡ κοινωνία τῶν ζώντων μετὰ τῶν τεθνεώτων. 347 Διττὴ ἡ σχέσις πρὸς τοὺς τεθνεῶτας. 348 Σχέσις πρὸς τοὺς ἁγίους. 349 Περὶ σεβασμοῦ τῶν ἁγίων. 350 Ὁ σεβασμὸς τῶν ἁγίων εἰκόνων. 351 Ὁ σεβασμὸς τῶν ἁγίων λειψάνων. 352 Ἡ ἐπίκλησις τῶν ἁγίων. 353 Σχέσις πρὸς τοὺς τεθνεῶτας τοὺς ἀτελεῖς καὶ τὸ μνημόσυνον αὐτῶν.

Β'. Περὶ τῶν ἐσχάτων τῆς Βασιλείας τοῦ Θεοῦ ἐν γένει.

§ 354. Ὅτι ἐν χρόνῳ ἡ βασιλεία τῆς χάριτος, εἴτε ἡ στρατευομένη Ἐκκλησία. 355 Ἡ περὶ τῆς Βασιλείας τῆς δόξης εἴτε τῆς θριαμβευούσης Ἐκκλησίας ἔννοια. 356 Περιεχόμενον τῆς διδασκαλίας ταύτης.

α) Περὶ τῶν ἐσχάτων χρόνων τοῦ Βασιλείου τῆς χάριτος.

357. Ὁ ἔσχατος πόλεμος τῆς βασιλείας τοῦ Χριστοῦ πρὸς τὸν διάβολον. 358 Ὄργανον τοῦ διαβόλου ὁ Ἀντίχριστος καὶ ἡ περὶ τούτου ἔννοια. 359 Ὁ τρόπος τοῦ πολέμου τοῦ Ἀντιχρίστου. 360 Ἡ ἀντίδρασις ἐκ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὸ τέλος τῆς δεσποτείας τοῦ Ἀντιχρίστου. 361 Διάρκεια τῆς βασιλείας τοῦ Ἀντιχρίστου.

β) Περὶ τῆς ἐπιφανείας τῆς βασιλείας τῆς δόξης.

§ 362. Περιεχόμενον τῆς διδασκαλίας ταύτης.

1) *Περὶ ἀναστάσεως τῶν νεκρῶν.*

§ 363. Ἡ περὶ ἀναστάσεως ἔννοια. 364 Ἀποδείξεις τῆς ἀναστάσεως. 365 Τὸ καθολικόν. 266 Αἱ ἰδιότητες τῶν ἀναστησομένων σωμάτων. 367 Ὁ σκοπὸς τῆς ἀναστάσεως.

2) *Περὶ συντελείας τοῦ κόσμου.*

§ 368. Ἀπόδειξις τῆς ἀληθείας ταύτης. 369 Ἡ περ. ταύτης ἔννοια. 370 Ὄργανον πρὸς ἀνακαίνισιν τοῦ Κόσμου! 371 Ὁ σκοπὸς τῆς ἀνακαινίσεως τοῦ Κόσμου. 472 Χρόνος καὶ γνωρίσματα.

3) *Περὶ τῆς δευτέρας παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ καὶ περὶ τῆς φοβερᾶς κρίσεως.*

§ 373. Ἡ ἀλήθεια τῆς δευτέρας παρουσίας καὶ τῆς φοβερᾶς κρίσεως. 374 Ἰδιότητες. 375 Σκοπός. 376 Ἀντικείμενον. 377 Ὁ τρόπος. 378 Ἀποτέλεσμα.

4) *Περὶ τῶν αἰωνίων βασάνων τῶν ἁμαρτωλῶν.*

§ 379. Ἡ περὶ τῶν ἐν ᾅδου βασάνων ἔννοια. 380 Τὰ εἴδη τῶν ἐν ᾅδου βασάνων. 381 Τὸ ἐν ᾅδου πῦρ. 382 Τὸ μέγεθος τῶν ἐν ᾅδου βασάνων καὶ τὸ ἄνισον. 383 Ὅτι αἰώνιοι αἱ βάσανοι.

5) *Περὶ τῆς αἰωνίου ζωῆς τῶν δικαίων ἐν τῇ μακαρίᾳ βασιλείᾳ τῆς δόξης, εἴτε ἐν τῇ θριαμβευούσῃ Ἐκκλησίᾳ.*

§ 384 Ὀνομασίαι τῆς μακαρίας βασιλείας τῆς δόξης ἐν τῇ ἁγίᾳ Γραφῇ. 385 Τὰ εἴδη τῆς μακαριότητος τῶν δικαίων. 386 Ἡ ἐσωτερικὴ κατάστασις τῶν δικαίων. 387 Ἐξωτερικὴ κατάστασις τῶν δικαίων. 388 Θεωρία καὶ κοινωνία μετὰ τοῦ Θεοῦ. 389 Ἡ ἐνέργεια τῶν δικαίων 390 Βαθμοὶ τῆς μακαριότητος. 391 Ἡ αἰωνιότης τῆς μακαριότητος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΠΑΡΟΡΑΜΑΤΩΝ ΤΩΝ ΟΥΣΙΩΔΕΣΤΕΡΩΝ ΔΙΟΡΘΩΣΙΣ.

Σελ.	Στίχ.	Ἀντὶ	Γράφε
15	1	ὑποκαλύψεως	ἀποκαλύψεως
16	10	πρωτότοτος	πρωτότονος
19	3	ἕτερος ἐστιν	ἕτερός ἐστιν
21	20	οἱ ἅγιοι Θεοῦ	οἱ ἅγιοι τοῦ Θεοῦ
25	2	Παραδόσιν	Παράδοσιν
29	6	τουτέστι σύμφωνος	τουτέστιν ἡ σύμφωνος
30	16	παρ' ἅπάση	τῶν παρ' ἁπάση
31	22	τὴν ὅτε καὶ νῦν	τὴν ἔτι καὶ νῦν
32	27	ἐπαιροομένου	ἐπαιρομένου
37	1	χειραγωγίαι	χειραγωγία
42	19	περιέχωνται	περιέχονται
43	11	αἱδὲ	αἱ δὲ
67	9	λασῦ	λαοῦ
68	12	οτοῖς	τοῖς
71	5	ἰδιότητος εἰσιν	ἰδιότητές εἰσιν
76	28	Ηέτρου	Πέτρου.
77	1	τὸν ἀθάνατον	τὸ ἀθάνατον
84	15	τοῦτο μοι ἐστὶ	τοῦτομοί ἐστι
87	10	Αὐτῷ νῷ	Αὐτοῦ νῷ
95	16	εἰΣὺ	εἶ Σὺ
103	23	ἔτι	ὅτι
126	8 κάτ.	α) ἔλαβε τὴν ἀρχὴν διὰ δημιουργίας	α) ἔλαβε τὴν ἀρχὴν παρὰ τοῦ Τρισυποστάτου Θεοῦ. β) ἔλαβε κτλ.

127	5	ἡ ἐκτυφλῆς τύχης	ἢ ἐκ τυφλῆς τύχης
129	23	ὑτῶαν.	αὐτῶν.
132	21	κσθ' ἣν	καθ' ἣν
159	4	Οεοῦ	Θεοῦ
160	περὶ τὸ τέλ. εγίναι τ	Ἰὼβ γίνεται	(Ἰὼβ
161	24	ἠθιτὴν	ἠθικὴν
164	12	ϭατατᾶς	σατανᾶς
172	22	περιοριϛμὰς	προορισμὸς
173	10	ἡμῶν	ὑμῶν
176	17	τὴν πιστὸν	πιστὸν
176	ἐν τῷ τέλει	αὐτὸ μνετὰ	αὐτὸν μετὰ
184	5	περιεϕρουρηθείσας	περιϕρουρηθείσας
196	ἐν τῷ τέλει	αὐτήν.	αὐτὴν τοιαύτην.
198	5	συσιγημένον	σεσιγημένον
200	14	Τριάβος	Τριάδος
208	6	Σὰμ	Σὴμ
216	8	ἀνεβοᾷ	ἀναβοᾷ
229	3 κάτωθεν	αὐτῆς ἡμῶν	αὐτῆς ἡμῖν
233	5	καὶ ἡ θεία	ἥτε θεία
239	2	ἑαυτῆς	αὐτῆς
245	ἐντῷτέλει	τς	τὸ
253	4 κάτ.	ἀντὶ διαστολὴν	ἀντιδιαστολὴν
272	4	ἡ πιστεύοντες	οἱ πιστεύοντες
286	7 κάτ.	τις παρουσίας	τῆς παρουσίας
288	3	Ἀπολαλύψει	Ἀποκαλύψει
290	4	ἀκαταφαίνεται	καταφαίνεται
298	5	ἐκφράζονται	ἐκφράζεται
301	ἐντῷ τέλει	ἄχρ	ἄχρις
301	4 κάτ.	ἐν πνεῦμα	ἓν πνεῦμα
313	11	λύπητε	λύσητε
326	9 κάτ.	ἀντιῤῥήτως	ἀναντιῤῥήτως
335	16	πάσοι;	πᾶσι

341	3	εἰσάγων	εἰσάγον
344	8κάτ.	διακογιζομένων	διαλογιζομένων
360	8 »	καταλήψει	καταλείψει
366	6	πρέπουσα	προέπουσα
369	20	παριπιδήμους	παρεπιδήμους
411	1	τὸ πῦρ αἰώνιον	τὸ πῦρ τὸ αἰώνιον



ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
00700021031